# ΝΕΟΣ
# ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΤΡΙΜΗΝΙΑΙΟΝ

## ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ

ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ


ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΙΣΤΟΡΙΑΣ ΕΝ ΤΩΙ ΕΘΝΙΚΩΙ ΠΑΝΕΠΙΣΤΗΜΙΩΙ


*Ἠξιώθη τοῦ Ζαππείου βραβείου ὑπὸ τοῦ ἐν Παρισίοις Συλλόγου πρὸς διάδοσιν τῶν ἑλληνικῶν γραμμάτων*

ΤΟΜΟΣ ΕΝΑΤΟΣ


ΑΘΗΝΗΣΙΝ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Π. Δ. ΣΑΚΕΛΛΑΡΙΟΥ

1912

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ · 1969 · RÉIMPRESSION ANASTATIQUE

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ✱ BAS. N. GRÉGORIADÈS

ΟΔΟΣ ΦΕΙΔΙΟΥ 2 - ΑΘΗΝΑΙ (142) 2, RUE PHIDIAS - ATHÈNES (142)

**ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ**

*ΤΟΜΟΣ Θ'. — 30 Ἰουνίου 1912 — ΤΕΥΧΟΣ Α'—Β'.*

# ΠΑΙΑΝΙΟΥ
## ΜΕΤΑΦΡΑΣΙΣ ΕΙΣ ΤΗΝ ΤΟΥ ΕΥΤΡΟΠΙΟΥ ΡΩΜΑΪΚΗΝ ΙΣΤΟΡΙΑΝ

Τὴν ἑλληνικὴν ὑπὸ Παιανίου μετάφρασιν τῆς τοῦ Εὐτροπίου ῥωμαϊκῆς ἱστορίας πρῶτος ἐξέδωκε μετὰ τοῦ πρωτοτύπου ὁ Φρειδερῖκος Sylburg ἐν Φραγκοφορτίῳ τῷ 1590[1]. Μετ' αὐτὸν δ' ἐξεδόθη ὁ Παιάνιος καὶ πάλιν ὑπὸ τοῦ Χριστιανοῦ Φρειδερίκου Schmid τῷ 1736, ὑπὸ τοῦ Cellarius τῷ 1678[2], ὑπὸ τοῦ Hearne τῷ 1703[3], ἀνωνύμως ἐν Βρουνσβίγγῃ τῷ 1763[4], ὑπὸ τοῦ Kaltwasser τῷ 1780[5], ὑπὸ τοῦ Verheyk τῷ 1793[6] καὶ τέλος ὑπὸ τοῦ Νεοφύτου Δούκα ἐν Βιέννῃ τῷ 1807[7].

1 Romanae historiae scriptores graeci minores; qui partim ab urbe condita, partim ab augusto imperio res Romanas memoriae prodiderunt. Francofurdi. MDXC.

2 Eutropii Breviarium historiae Romanae cum metaphrasi graeca. Cizae. 1678.

3 Eutropii Breviarium historiae Romanae cum Paeanii Metaphrasi graeca. Oxonii, Theatro Scheldoniano. MDCCIII.

4 Paeanii metaphrasis in Eutropii Historiam κτλ. Brunswigae. 1763. Παρὰ Schröder.

5 Paeanii . . . In usum scholarum edidit indicemque verborum adjecit J. F. Sal. Kaltwasser. Gothae. 1780.

6 Eutropii Breviarium Historiae Romanae, cum metaphrasi graeca Paeanii, et Notis Integris El. Vineti, Henr. Glareani, Tan. et An. Fabri, Chr. Cellarii, Th. Hearnii, Ch. Aug. Heumanni et Sig. Havercampi. Item Selectis Frid. Sylburgii . . . Recensuit, suasque Adnotationes cum Indicibus copiossisimis Addidit Henricus Verheyk. Editio altera accuratior et emendatior. Lugduni Batavorum. Apud Samuelem et Joannem Luchtmans, Academiae Typographos. MDCCXCIII.

7 Εὐτροπίου Ἐπιτομὴ τῆς Ῥωμαϊκῆς ἱστορίας εἰς βιβλία δέκα μεταφρασθεῖσα ἐκ τῆς Λατινίδος εἰς τὴν Ἑλληνίδα παρὰ Παιανίου, κἀντεῦθεν αὖθις εἰς τὴν νῦν

Ἅπασαι αὗται αἱ ἐκδόσεις στηρίζονται εἰς ἕνα καὶ μόνον κώδικα. Εὑρίσκετο δ' οὗτος ἐν τῇ βιβλιοθήκῃ τοῦ Γάλλου Φραγκίσκου Pithou (Pithoei), ἐξ ἧς ἐξέγραψε τὴν μετάφρασιν τοῦ Παιανίου ὁ Sylburg[1], ἀνετύπωσαν δὲ μετ' αὐτὸν ἐξ αὐτῆς οἱ ἐν Ἑσπερίᾳ ἐκδόντες τὸν Παιάνιον, ὡς τὸ πλεῖστον ἄνευ μεταβολῶν. Ἤδη δὲ ὁ Havercamp εἶχεν ἐκφράσει τὴν γνώμην, ὅτι ὁ κῶδιξ οὗτος τοῦ Pithou εἶνε αὐτὸς ἐκεῖνος ὁ περιελθὼν ὀλίγα ἔτη μετὰ τὴν ἐξ αὐτοῦ ἔκδοσιν τοῦ κειμένου τοῦ Παιανίου ὑπὸ τοῦ Sylburg εἰς τὴν βιβλιοθήκην τοῦ Μονάχου[2]. Πράγματι δ' ἐν ταύτῃ ἀπόκειται ὑπ' ἀρ. 101[3] κῶδιξ τοῦ δεκάτου ἕκτου αἰῶνος, περιλαμβάνων ἀπὸ φ. 1α μέχρι φ. 50α τὴν μετάφρασιν τοῦ Παιανίου, μετ' αὐτὴν δὲ ἀποσπάσματα τοῦ ἱστορικοῦ Μέμνονος καὶ Διοδώρου τοῦ Σικελιώτου, λόγους τοῦ Λιβανίου καὶ ἄλλα τινά. Ἀλλ' ἡ ἀντιβολὴ τοῦ κώδικος τούτου πρὸς τὴν ἔκδοσιν τοῦ Sylburg δεικνύει οὐ μικρὰς διαφοράς. Καί τινες μὲν τῶν διαφορῶν τούτων δυνατὸν νὰ ὑποτεθῇ, ὅτι προέρχονται ἐκ παραναγνώσεων ἢ ἐξ ἀνεπιστασίας τοῦ Sylburg, ἀλλ' ὑπάρχουσι χωρία ἀποδεικνύοντα, ὅτι δὲν εἶνε δυνατὸν ὡς βάσις τῆς ἐκδόσεως αὐτοῦ νὰ ἐχρησίμευσεν ὁ νῦν ἐν Μονάχῳ ἀποκείμενος κῶδιξ. Ἀρκοῦσι δὲ πρὸς ἀπόδειξιν τοῦ ἰσχυρισμοῦ μου τούτου τρία ἐπιφανῆ τεκμήρια. Καὶ δὴ ἐν μὲν Βιβλίῳ Α' κεφ. α' σημειόνει ὁ Sylburg τάδε· pro ποιμαίνουσι vetus liber aliam quoque scripturam habet, ποιμέσι: recte. Ἀλλ' ὁ κῶδιξ τοῦ Μονάχου μόνην τὴν γραφὴν *ποιμαίνουσι* ἔχει, λείπει δ' ἔν τε τῷ κειμένῳ καὶ ἐν τῇ ὤᾳ ἡ γραφὴ *ποιμέσι*· ἐν δὲ τῷ Βιβλίῳ Ζ' κεφ. κ'

συνήθως ὁμιλουμένην παρὰ Νεοφύτου Δούκα παρ' οὗ καὶ ἐξεδόθη εἰς τόμους δύο. Ἐν Βιέννῃ τῆς Αὐστρίας ἐν τῇ τυπογραφίᾳ Γεωργίου Βενδώτου. 1807.

1 Ἔνθ' ἀν. σ. 63.

2 Codex iste idem videtur esse cum eo, cujus meminerunt Catalogi Bibliothecae Bavariensis qui anno MDCII prodierunt, duodecim nempe annis post editionem *Historiae Romanae Scriptorum graecorum* Sylburgianam. Havercamp παρὰ Verheyk ἔνθ' ἀν. σ.**** 3 ἐν σημ.

3 Ἐσφαλμένως ὁ *Δούκας* ἐν τῇ ἐκδόσει αὐτοῦ σ. κα' ἀναφέρει ὡς ἀριθμὸν τοῦ κώδικος τὸν CCXIII. Κἀγὼ δ' ἐν τῇ Classical Review Τόμ. ΙΑ' σ. 382.



ὁ Sylburg ἐξέδωκεν ἐν τῷ κειμένῳ ταῦτα καὶ μόνα ὡς ἐν τῷ κώδικι περιλαμβανόμενα· *ἐτελεύτησε δὲ... ἐννάτῳ καὶ ἡμέραις ἑπτά*, τὸ δ' ἐλλιπὲς τοῦτο κείμενον συνεπλήρωσεν ἐκ τοῦ λατινικοῦ πρωτοτύπου ὧδε· *ἐτελεύτησε δὲ τῆς ἡλικίας ἔτει ἑξηκοστῷ ἐννάτῳ τῆς δὲ ἀρχῆς ἐννάτῳ, καὶ ἡμέραις ἑπτά*. Ἀλλ' ὁ Μονάχειος κῶδιξ ἔχει τὰ ἑξῆς πληρέστερα τῶν ὑπὸ τοῦ Sylburg ἐν τῷ κειμένῳ ἐκδοθέντων· *ἐτελεύτησε δὲ ἐνάτῳ καὶ ἑξηκοστῷ τῆς ἡλικίας, τῆς βασιλείας δὲ ἐνάτῳ καὶ ἡμέραις ἑπτά*. Πολὺ δ' ἐνδεικτικώτεραι εἶνε αἱ περὶ τὰ περισελίδια σχόλια καὶ τὰς ἐν τῇ ὤᾳ ἐπιγραφὰς διαφοραὶ παρὰ τῷ Sylburg καὶ ἐν τῷ Μοναχείῳ κώδικι. Οὕτως ὁ Sylburg δὲν σημειόνει τὰ ἑξῆς παρασελίδια, ἅπερ εὑρίσκομεν ἐν τῷ κώδικι τοῦ Μονάχου· ἐν Βιβλίῳ Β' κεφ. γ' ἐν τέλει *περὶ τῆς τῶν ὑπατικῶν αὖθις ἀρχῶν ἀναλήψεως*· αὐτόθι κεφ. ς' *λεγεὼν πλῆθος στρατιωτικὸν ἀνδρῶν ͵ς' ἀπὸ τοῦ λέγω τοῦ ἐκλέγομαι ἤγουν ἐκλεκτῶν ἀνδρῶν*· αὐτόθι κεφ. ζ' ἐν τέλει (?) *περὶ Ἀλεξανδρείας*· αὐτόθι κεφ. θ' *περὶ σαμνιτῶν*· αὐτόθι κεφ. ια' *περὶ τοῦ πύρρου τοῦ ἠπειρώτου*. Λείπουσι δὲ παρὰ τῷ Sylburg ἐν τῇ ἱστορίᾳ τῶν αὐτοκρατορικῶν χρόνων καὶ τὰ ἑξῆς ἐν τῷ Μοναχείῳ κώδικι παρασελίδια ὀνόματα τῶν οἰκείων αὐτοκρατόρων· *τιβέριος, γάϊος, κλαύδιος, νέρων, γάλβας, ὄθων, βιτέλλιος, οὐεσπασϊανὸς, τίτος, δομετιανὸς, νέρβας, τραϊανὸς, ἀδριανὸς, ἀντωνῖνος ὁ εὐσεβὴς, μάρκος ἀντωνῖνος βῆρος, ετερος μάρκος ἀντωνῖνος ὁ σοφὸς, λεύκιος κόμοδος, περτίναξ, σευῆρος, αντωνῖνος φάκαλος, μακρῖνος, μάρκος αὐρήλιος, ἀλέξανδρος, μαξιμιανὸς, γορδιανὸς, φίλιππος, δέκιος, γάλλος, γαλλιῆνος, κλαύδιος, αὐρηλιανὸς, πρόβος, κάρος καὶ καρῖνος, διοκλητιανὸς, μαξιμιανὸς ὁ καὶ ἑρκούλιος*. Ἀφ' ἑτέρου δὲ λείπουσιν ἐν τῷ Μοναχείῳ τὰ ἑξῆς σημειώματα τῆς ὤας τοῦ κώδικος ὃν εἶχεν ὑπ' ὄψιν ὁ Sylburg· ἐν Βιβλίῳ Β' κεφ. ιη' *ἀνδρῶν μυριάδες ἐγγὺς λ' τότε ἦσαν ἐν Ῥώμῃ*, ἐν δὲ Βιβλίῳ Ζ' κεφ. η' *ὅτι ὁ Αὔγουστος νς τὰ πάντα ἐβασίλευσεν, ἀρξάμε-*

*νος ἀπὸ κ ἔτους τῆς ἡλικίας, ὧν τὰ μὲν ιβ σὺν Ἀντωνίῳ καὶ Λεπίδῳ τὰ δὲ μδ μόνος· καὶ ἔζησε πάντα ἔτη ἀπὸ γενέσεως ος*. Εὑρίσκονται δὲ καὶ αἱ ἑξῆς διαφοραὶ ἐν παρασελιδίοις σημειώμασιν ἀναγραφομένοις μὲν παρὰ τῷ Sylburg, ὑπάρχουσι δὲ καὶ ἐν τῷ κώδικι τοῦ Μονάχου· ἐν μὲν Βιβλίῳ Ε′ περὶ τὸ τέλος κεφ. γ′ ἀντὶ τῶν παρὰ τῷ Sylburg *πρώτης καὶ τοῦτον δὲ* ὁ Μονάχειος ἔχει *α′ῃ καὶ τοῦτον*, ἐν δὲ τῇ ἀρχῇ τοῦ Βιβλίου Η′ ἐκ τῶν παρὰ τῷ Sylburg *ἀπὸ κτίσεως Ῥώμης ἕως Νέρβα τοῦ αὐτοκράτορος ἔτη ω̅ν̅* λείπουσιν ἐν τῷ Μοναχείῳ αἱ λέξεις *ἕως Νέρβα τοῦ αὐτοκράτορος*.

Ἐκ *πάντων τούτων γίνεται κατάδηλον*, ὅτι ὁ ἐν χερσὶ τοῦ Sylburg κῶδιξ καὶ ὁ Μονάχειος δὲν εἶνε εἷς καὶ ὁ αὐτός. Τίς δ' ὁ τοῦ Sylburg δυνάμεθα νὰ διαγνώσωμεν προσέχοντες εἰς τὴν μαρτυρίαν αὐτοῦ, ὅτι καθ' ὃν χρόνον ἐξέγραφεν ἐξ αὐτοῦ τὸν Παιάνιον ὁ κῶδιξ εὑρίσκετο ἐν τῇ βιβλιοθήκῃ τοῦ Pithou. Τῆς βιβλιοθήκης δὲ ταύτης αἱ τύχαι δὲν εἶνε ἔκτοτε ἄγνωστοι. Γινώσκομεν ἀπ' ἐναντίας, ὅτι οἱ ἐξ αὐτῆς κώδικες διεσπάρησαν εἰς Λονδῖνον, εἰς Παρισίους, εἰς Montpellier καὶ εἰς ἄλλας βιβλιοθήκας τῆς Γαλλίας[1]· ῥητῶς δὲ μνημονεύεται, ὅτι κώδικες τοῦ Pithou περιῆλθον καὶ εἰς τὴν βιβλιοθήκην τοῦ μαρκίωνος de Rosanbo. Καὶ πράγματι ἐν ταύτῃ εὑρίσκομεν κώδικα τοῦ Παιανίου, γεγραμμένον τὸν δέκατον ἕκτον αἰῶνα καὶ συγκείμενον ἐκ φύλλων 49, ἐν ᾧ ἡ μετάφρασις τοῦ Παιανίου ἐν τῷ Μοναχείῳ καταλαμβάνει φύλλα 50, εἰς αὐτὴν δ' ἕπονται καὶ ἄλλα πολλά, τοῦ κώδικος ἀπαρτιζομένου ἐν ὅλῳ ἐκ φύλλων 396[3]. Ῥητῶς δὲ μνημονεύεται, ὅτι ὁ κῶδιξ οὗτος τοῦ μαρκίω-

1 Ἴδε P. J. Grosley Vie de Pierre Pithou. Ἐν Παρισίοις. 1756 Τόμ. Β′. σ. 275 κ. ἑ. ὅπου ὁ κατάλογος τῆς βιβλιοθήκης τοῦ Φραγκίσκου Pithou. Πρβλ. V. Gardthausen Sammlungen und Cataloge griechischer Handschriften. Ἐν Λειψίᾳ. 1903 σ. 17, 60, 94 ἐν λ. Pithou.

2 Omont ἐν Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale. Ἐν Παρισίοις 1888 Τόμ. Β′ σ. 381.

3 Hardt Catalogus codicum manuscriptorum bibliothecae regiae bavaricae. Ἐν Μονάχῳ. 1806 s. 538.



νος de Rosanbo προέρχεται ἐκ τῆς βιβλιοθήκης τοῦ Pithou. Ἀπορῶ δὲ πῶς ὁ κ. de Rosanbo, ὃν πρό τινων ἐτῶν παρεκάλεσα νά με διευκολύνῃ εἰς ἀντιβολὴν ἢ φωτογράφησιν τοῦ κώδικος, ὃν ῥητῶς ἀναγράφει ὁ Omont ὡς παρ' αὐτῷ ἀποκείμενον[1], μοὶ ἔγραψεν, ὅτι δὲν κέκτηται τὸν κώδικα τοῦτον.

Πλὴν δὲ τῶν δύο τούτων κωδίκων, τοῦ Μοναχείου καὶ τοῦ ἐκ τῆς βιβλιοθήκης τοῦ Pithou, σώζονται καὶ δύο ἄλλοι, οἵτινες δὲν ἔχουσι ληφθῆ ὑπ' ὄψιν ὑπὸ τῶν ἐκδοτῶν τῆς μεταφράσεως τοῦ Παιανίου. Ὁ ἕτερος τούτων εἶνε ὁ Λαυρεντιακὸς LXX cod. 5, γεγραμμένος τὸν δέκατον τέταρτον αἰῶνα τελευτῶντα καὶ περιλαμβάνων τὸν Παιάνιον ἐν φ. $198^{\alpha}$-$219^{\beta}$, καὶ ὁ πάντων ἀρχαιότατος, ὁ ὑπ' ἀρ. 812 τῆς ἐν Ἁγίῳ ὄρει μονῆς τῶν Ἰβήρων, τοῦ δεκάτου τετάρτου αἰῶνος, ἐν φ. 1-98, ἐξαιρουμένων τῶν φ. 3-6 καὶ 11-14, ἐγκαταμεμιγμένων μετὰ τῆς μεταφράσεως τοῦ Παιανίου[2], ἐν οἷς περιέχονται τὰ ὑπ' ἐμοῦ ἐκδοθέντα ἀποσπάσματα Ἰωάννου τοῦ Ἀντιοχέως[3].

Ἐξαιρουμένου δὲ τοῦ κώδικος τοῦ Pithou (de Rosanbo), οὗ δὲν ἠδυνήθην νὰ λάβω γνῶσιν διὰ τὸν προμνημονευθέντα λόγον, τοὺς μὲν δύο τῶν λοιπῶν, τὸν Λαυρεντιανὸν (Λ) καὶ τὸν Μονάχειον (Μ), ἀντέβαλον αὐτός, τὸν δὲ Ἰβηριτικὸν (Ι) διὰ τοῦ φίλου κ. Φιλίππου Γεωργαντᾶ, κατὰ παράκλησίν μου μεταβάντος εἰς Ἅγιον ὄρος τὸ θέρος τοῦ 1896. Εὐθὺς δ' ἀμέσως παρατηρητέον, ὅτι ὁ Ἰβηριτικὸς κατὰ τοῦτο εἶνε σπουδαιότερος τῶν ἄλλων τριῶν γνωστῶν μοι κωδίκων, ὅτι περιέχει μὲν τὸ ἐν τοῖς λοιποῖς κώδιξι λεῖπον μέρος τοῦ ἕκτου Βιβλίου, συνιστάμενον ἐκ μέρους τοῦ ἐνάτου κεφαλαίου, ἐξ ὅλου τοῦ δεκάτου καὶ τοῦ πρώτου μέρους τοῦ ἑνδεκάτου, καὶ τὸ μέγιστον μέρος τοῦ λείποντος τέλους τοῦ Εὐτροπίου, ἀρχόμενον μὲν ἀπὸ τῶν λέ-

1 Omont ἔνθ' ἀν.

2 ***Σπυρ. Π. Λάμπρου*** Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου ὄρους ἑλληνικῶν κωδίκων. Ἐν Καντάβριγίᾳ τῆς Ἀγγλίας. 1900. Τόμ. Β′ σ. 228.

3 Νέου Ἑλληνομνήμονος Τόμ. Α′ σ. 7 κ. ἑ.

ξεων *[ἀλλο]φύλλους τὸν ἀγῶνα εἶχον*, ἀντιστοιχουσῶν εἰς τὸ δωδέκατον κεφάλαιον τοῦ δεκάτου Βιβλίου τοῦ πρωτοτύπου, λῆγον δ' εἰς τὰς λέξεις *μάλιστα δὲ δικαιοσύνης*, ἀνταποκρινομένας εἰς τὰ in provinciales justissimus τοῦ ιϛ' κεφαλαίου. Κατὰ ταῦτα οὐδ' ὁ Ἰβηριτικὸς κῶδιξ περιέχει τὸ ὅλον τέλος τοῦ Παιανίου, ἀλλὰ λείπουσι τἀντίστοιχα τῆς μετὰ τὰς ἀνωτέρω λέξεις συνεχείας τοῦ ιϛ' κεφαλαίου τοῦ Εὐτροπίου μέχρι τοῦ ἐν τῷ ιη' κεφαλαίῳ τέλους τῆς Ῥωμαϊκῆς ἱστορίας. Τὸ δὲ περίεργον εἶνε, ὅτι τὸ κολοβὸν τοῦτο κείμενον τοῦ Παιανίου δὲν τελευτᾷ ἐν ἰδίῳ φύλλῳ τοῦ Ἰβηριτικοῦ κώδικος, ὥςτε νὰ ὑποτεθῇ ἐκπεσοῦσα ἡ συνέχεια, ἀλλ' εἰς τὰς ἀνωτέρω τελευταίας λέξεις τοῦ Παιανίου τὰς ἀντιστοιχούσας πρὸς τὸ πρωτότυπον κείμενον τοῦ Εὐτροπίου ἕπεται ἐν μέσῳ τῷ φύλλῳ ἄνευ διακοπῆς ἡ ἀκέφαλος ἀρχὴ ἀνωνύμου συγγραφῆς περὶ τοῦ Καισαρείου γένους. ἣν ἐξέδωκα ἤδη ἐν τῷ Νέῳ Ἑλληνομνήμονι, προςπαθήσας νὰ δικαιολογήσω καὶ τὸν λόγον τῆς συγχύσεως καὶ συναναμίξεως τῶν δύο συγγραφῶν[1]. Τῷ δὲ 1897 ἐξέδωκα καὶ τὰ νέα ταῦτα μέρη τοῦ Παιανίου μετ' ἀντιβολῆς τοῦ Ἰβηριτικοῦ κώδικος καὶ τοῦ Μοναχείου πρὸς τὴν ἔκδοσιν τοῦ Kaltwasser, οὖσαν ἐν τοῖς πλείστοις ἁπλῆν ἀνατύπωσιν τῆς τοῦ Sylburg, ἀναγράψας δὲ καί τινας ἐνδεικνυομένας ἀρίστας διορθώσεις τῶν λοιπῶν μερῶν τοῦ Παιανίου[2].

Ἐνταῦθα δ' ἐθεώρησα σκόπιμον νὰ προβῶ εἰς νέαν ἔκδοσιν τοῦ ὅλου κειμένου τοῦ Παιανίου, περιλαμβανομένων καὶ τῶν ἐκ τοῦ Ἰβηριτικοῦ κώδικος νέων μερῶν. Σκοπὸν δὲ τῆς ἐμῆς ἐκδόσεως προεβαλόμην οὐχὶ νὰ ἐπανορθώσω αὐτὸν τὸν Παιάνιον, προςαρμόζων αὐτὸν πρὸς τὸ πρωτότυπον, ἀλλ' ἁπλῶς νἀποκαταστήσω ὅσον τὸ δυνατὸν πιστῶς τὸ ἀρχικὸν κείμενον αὐτοῦ τοῦ Παιανίου ἐπὶ τῇ βάσει τῶν ἀρίστων γραφῶν τῶν κωδίκων, μόνον ἐν ταῖς κριτικαῖς σημειώσεσιν, ἐν αἷς αἱ διάφοραι γραφαὶ

1 Νέου Ἑλληνομνήμονος Τόμ. Α' σ. 129 κ. ἑ.

2 Ἐν τῇ Classical Review Τόμ. ΙΑ' (1897) σ. 382 κ. ἑ.



τῶν χειρογράφων δηλοῦνται διὰ τῶν γραμμάτων Ι, Λ καὶ Μ, σημειόνων ὅπου ἀναγκαῖον τὰς ἀσφαλεστέρας τῶν προταθεισῶν προςαρμογῶν πρὸς τὸ πρωτότυπον τοῦ Εὐτροπίου, ἰδίως ἐν τοῖς κυρίοις ὀνόμασιν, ἅτινα παρεφθαρμένα πολλάκις φαίνεται ἀποδοὺς αὐτὸς ὁ Παιάνιος, αν κρίνωμεν ἐκ τῆς ὁμοφωνίας τῶν σωζομένων κωδίκων. Σημειωτέον δὲ, ὅτι ἐν τῷ Μοναχείῳ διακρίνονται ποὺ καί που διορθώσεις δευτέρας χειρὸς, ἃς ἐφρόντισα ὁμοίως νἀναγράψω ἐν ταῖς κριτικαῖς σημειώσεσι. Τοῦ δὲ Λαυρεντιακοῦ κώδικος τὸ κείμενον εἶνε γεγραμμένον διὰ τριῶν εὐκόλως διακρινομένων χειρῶν. Τούτων ἡ μὲν πρώτη ἔγραψε τὰ φύλλα $200^{\alpha}$-$218^{\beta}$[1], ἡ δὲ δευτέρα τὸ φ. $219^{\alpha}$ μέχρι τῶν λέξεων *τῆς δὲ ἐξ αὐτῶν γενομένης συμφορᾶς* ἐν τῷ κεφαλαίῳ ε' τοῦ Θ' Βιβλίου, ἡ δὲ τρίτη πυκνοτέρα καὶ διάφορος τῶν ἄλλων τὰ φ. $220^{\alpha}$ - $221^{\beta}$. Παρατηρητέον δ' ὅτι εἶνε μὲν καὶ τὰ φύλλα $216^{\alpha}$ - $218^{\beta}$ διάφορά πως τὴν γραφὴν τῶν πρὸ αυτῶν, ἀλλὰ παρὰ τὴν διαφορὰν ταύτην ὁ καθ' ὅλοι γραφικὸς χαρακτὴρ εἶνε ὁ αὐτὸς, καὶ δυνάμεθα ἀσφαλῶς νἀποφανθῶμεν, ὅτι καὶ ταῦτα ἐγράφησαν ὑπὸ τῆς αὐτῆς πρώτης χειρός. Ἀλλὰ καὶ περὶ τοῦ φύλλου 219 λεκτέον, ὅτι διαφέρει πῶς ἡ γραφὴ τοῦ δευτέρου ἡμίσεος αὐτοῦ μετὰ τὰς ἄνω ἀναγραφείσας λέξεις *τῆς δὲ ἐξ αὐτῶν γενομένης συμφορᾶς*, καὶ πάλιν δὲ διαφόρως ἔχει ἡ γραφὴ τοῦ ὀπισθίου μέρους τοῦ φύλλου· ἀλλ' ἐπισταμένη μελέτη ἀποδεικνύει, ὅτι παρὰ τὰς διαφορὰς ταύτας τὸ ὅλον φύλλον ἔχει γραφῇ ὑπὸ μιᾶς καὶ τῆς αὐτῆς χειρός. Ἡ δὲ δευτέρα τῶν ἀνωτέρω χειρῶν ἐπήνεγκε καὶ διορθώσεις τοῦ κειμένου, ἃς περιέλαβον πάντοτε ἐν τῇ οἰκείᾳ θέσει τῶν κριτικῶν μου σημειώσεων. Ἔχει δὲ ὁ Λαυρεντιακὸς κῶδιξ καὶ οὐκ ὀλίγα παρασελίδια σημειώματα, ὀνόματα ἢ χρονολογίας, ὁμοίως πάντα ἀναγραφέντα ἐν ταῖς κριτικαῖς σημειώσεσιν. Εἶνε δὲ τὰ σημειώματα ταῦτα συνήθως μὲν ἐρυθρὰ, σπανιώτερον δέ ποτε μέλανα ἢ κιρρά. Καὶ ὁ ἐρυθρογράφος δὲ διώρθωσεν ἐνιαχοῦ τὸ κείμε-

1 Ἐννοῶ τὴν διὰ μολυβδίδος ἐν τῇ κάτω ᾤᾳ ἀρίθμησιν τῶν φύλλων.

νον ἢ κατέστησε ζωηρότερα γράμματα ἀμυδρὰ ἢ κακῶς ἐσχη-
ματισμένα. Φαίνεται δὲ, ὅτι ὁ ἐρυθρογράφος εἶνε ὁ αὐτὸς ἐκεί-
νος ὁ γράψας τὸ φύλλον 219 τοῦ κειμένου, ἤτοι ἡ δευτέρα χείρ.
Πρὸς τούτοις σημειόνω, ὅτι τὰς μὲν παρὰ τῷ Sylburg γρα-
φὰς τὰς παρειλημμένας ἐκ τοῦ κώδικος τοῦ Pithou ἐδήλωσα
διὰ τοῦ Σ, τὸ δὲ Π δηλοῖ ὁμοφωνίαν ἁπάντων τῶν κωδίκων ὡς
καὶ τῶν ἐνταῦθα ληφθεισῶν ὑπ' ὄψιν ἐκδόσεων ἢ κατ' ἀντίθεσιν
πάντων τῶν λοιπῶν πρὸς μίαν καὶ μόνην γραφήν, ἣν καὶ
ἀντιπαρατάσσω. Εὐνόητον δ' εἶνε, ὅτι οἱ κώδικες δὲν ἔχουσι
κεφαλαῖα γράμματα καὶ ὑπογεγραμμένας, καθ' ἃ ἐγράφησαν
ταῦτα ἐν ταῖς ἐμαῖς σημειώσεσι χάριν εὐκολίας. Περιττὸν δ'
ἐθεώρησα νὰ σημειώσω τὰ τονούμενα τὲ τῶν κωδίκων πλὴν ἢ
ὅπου παρουσιάζονται διαφοραὶ ὡς πρὸς τὴν ἔγκλισιν.
Ἄξιον δὲ σημειώσεως εἶνε καὶ τοῦτο, ὅτι ὁ Μονάχειος κώ-
διξ ἐν τῷ τελευταίῳ φύλλῳ ἑκάστου τετραδίου ἔχει ἐν τῇ κά-
τω ᾤᾳ πρὸς τῇ ῥάχει σεσημειωμένας τὰς πρώτας λέξεις τοῦ
ἑπομένου φύλλου. Οὕτως ἐν μὲν φ. 8ᵝ εὑρίσκομεν τὰς λέξεις
*ἐκστρατεύουσι πάλιν*, ἐν φ. 16ᵝ *πόλεις συνέλαβεν*, ἐν φ.
24ᵝ *γαμετὴν καὶ τοὺς παῖδας* ὅπου τὸ *γαμετὴν* γραφὲν τῇ
πρώτῃ χειρὶ διέγραψεν ἡ δευτέρα, προσθεῖσα μετὰ τοῦ σημείου <
ἐν τέλει τοῦ κειμένου, ἐπειδὴ ὁ πρῶτος βιβλιογράφος ἐλησμό-
νησε νὰ γράψῃ τὴν λέξιν ταύτην ἐν ἀρχῇ τοῦ φ. 25ᵅ, ἐν δὲ φ.
32ᵝ *αὖθις ἐγένετο φθορεύς*, ἐν δὲ φ. 40ᵝ *σαβῖνος ὁ κοινω-
νήσας*, ἐν δὲ φ. 48ᵝ *προσθήκαις*.
Τέλος παρατηρητέον, ὅτι αἱ ἐπιγραφαὶ *Βιβλίον Α'* καὶ
καθεξῆς λείπουσιν ὡς τὸ πλεῖστον ἐν τοῖς κώδιξι.

# ΠΑΙΑΝΙΟΥ

## ΜΕΤΑΦΡΑΣΙΣ ΕΙΣ ΤΗΝ ΤΟΥ ΕΥΤΡΟΠΙΟΥ ΡΩΜΑΪΚΗΝ ΙΣΤΟΡΙΑΝ

---

## ΒΙΒΛΙΟΝ Α'.

1. Τῆς ῥωμαϊκῆς βασιλείας ἐν προοιμίοις οὐδὲν ἐγένετο μεῖόν τε καὶ ταπεινότερον. Τῇ δὲ κατὰ μικρὸν αὐξήσει καὶ ταῖς ἀεὶ προςθήκαις κατὰ τὴν οἰκουμένην ἅπασαν οὐδὲν ἔτι μεῖζον οὔτε δυνατώτερον ἡ μνήμη τῶν ἀνθρώπων φέρει. Ταύτης δὲ τὴν πρώτην κρηπῖδα κατεβάλετο Ῥωμύλος· ὃς ἐκ Ῥέας Σιλβίας, οὕτω καλουμένης Ἑστιακῆς παρθένου, τῷ Ἄρει συνελθούσης, ὡς ὁ πολὺς κατεῖχε λόγος, ἐκ διδύμου γονῆς σὺν ἀδελφῷ Ῥέμῳ προῆλθεν εἰς φῶς. Οὗτος ὀκτωκαίδεκα γεγονὼς ἔτη βίον τε ἔχων τοῖς ποιμαίνουσι συλλῃστεύειν ἐλάχιστόν τι πολίχνιον ἐπὶ τοῦ ὄρους τοῦ Παλλαντίου κατεστήσατο πρώτῃ τοῦ Μαΐου μηνὸς ἔτει τρίτῳ τῆς ἕκτης Ὀλυμπιάδος, τῆς δὲ Ἰλίου καταστροφῆς κατὰ τοὺς τὸ πλεῖστόν τε καὶ ἐλάχιστον παραδεδωκότας ἔτει τετάρτῳ καὶ ἐνενηκοστῷ καὶ τριακοσιοστῷ.

2. Οἰκίσας δὲ τὴν πόλιν καὶ καλέσας αὐτὴν ἐξ ἑαυτοῦ Ῥώμην, πρῶτον μὲν πολὺ πλῆθος ἐκ τῶν περιοίκων εἰςεδέξατο, ἔπειτα δὲ τοὺς προβεβηκότας εἰς ἡλικίαν ἐκλεξάμενος, τούτους ἐπέστησε τοῖς λοιποῖς ἡγεμόνας τῶν πρακτέων, σενάτωρας αὐτοὺς καλέσας κατὰ τὴν

Ἐπιγραφή· *Παιανίου — ἱστορίαν* ΑΜΣ : *Παιανίου μετάφρασις τῆς Εὐτροπίου ῥωμαϊκῆς ἱστορίας. Ἑρμηνεία τῆς ῥωμαϊκῆς ἱστορίας ἣν ἔγραψεν Εὐτρόπιος, ἡ δὲ φράσις Παιανίου* Ι  1. *οὐδὲν* Π : *μὲν οὐδὲν* Α  *μεῖόν* ἔγραψα : *μεῖον* Π  *τε* ΜΔ : *τὲ* ΑΙΣ  2. *ταπεινότερον* Π : *ταπεινότερον* ἐκ τοῦ *ταπεινώτερον* Α  *ταῖς . . . προςθήκαις* Π : *τὰς . . . προςθήκας* Ι  4. *δὲ* ΑΜΔ : λείπει ΙΣ  *κρηπῖδα* ΜΣ : *κρηπίδα* ΑΙΔ  4. *κατεβάλετο* ΣΔ : *κατεβάλλετο* ΑΜΙ  5. *ῥωμύλος* ΣΔ : *ῥωμύλλος* ΑΜΙ  8. *ποιμαίνουσι* ΑΙ : *ποιμέσι* ΜΔ : pro *ποιμαίνουσι* vetus liber aliam quoque scripturam habet, *ποιμέσι* Σ  ἐλάχιστον Π : ἐλάχιστον Μ  9. *Παλλαντίου* Π. Γραπτέον *Παλατίνου*  10. *ἕκτης ὀλυμπιάδος* ΙΣΔ : *ὀλυ-* π μ ζ̄ ἐν τῇ ᾤᾳ ΑΜ  11. *πλεῖστόν τε* Δ : *πλεῖστον τὲ* Π  12. *ἐνενηκοστῷ* ΑΜΙ : *ἐννενηκοστῷ* ΣΔ  *τριακοσιοστῷ* ΜΙΔ : *τριακοστῷ* Α  13. Ἐν τῇ ᾤᾳ· *ἀπὸ τρωικοῦ πολέμου ἔτη ἐγγὺς ῡ μέχρι συνοικήσεως (συναικήσεως Μ) ῥώμης (ῥώμης ΜΣ)* ΑΜΣ  *ἑαυτοῦ* ΑΙΜ : *αὐτοῦ* ΣΔ  16. *σενάτωρας* ΣΔ : *σενάτορας* ΑΜΙ

τῶν Ἰταλῶν φωνήν, ἐπειδὴ σένης ἐκεῖνοι καλοῦσι τοὺς γέροντας· σύγκλητον δὲ Ἕλληνες ἐκάλεσαν τὸ συνέδριον ἐκ τοῦ πρότερον μὲν τοὺς βασιλεύοντας, μετὰ δὲ ταῦτα τοὺς ὑπάτους συγκαλεῖν τε αὐτοὺς ἐπὶ τὰς βουλὰς καὶ τῶν ψήφων ποιεῖσθαι κυρίους. Ἀλλ' ἐπειδὴ τὸ πλῆθος, αὐξηθὲν ἤδη, συνοίκων ἐστέρητο γυναικῶν, καὶ φόβος ἦν ἐπιλιπεῖν τοὺς ἄνδρας, τέχνῃ δέδωκε διαδοχὴν τῷ γένει. Παρακαλέσας γὰρ ὡς ἐπί τινα θέαν τὰ γειτνιῶντα τῶν ἐθνῶν, ἁρπαγὴν γενέσθαι παρεσκεύασε τῶν παρθένων· ἃς οἱ προκληθέντες ἐπὶ τὴν τέρψιν ἐπηγάγοντο. Καὶ τὰς μὲν ἔσχον γαμετὰς ἁρπάσαντες· πόλεμον δὲ τὸ ἔργον ἐκίνησεν. Οὗ συστάντος, ἡττῶνται Καινιναῖοι καὶ Ἀντεμνᾶται, Κρουστουμῖνοι, Σαβῖνοι, Φιδηνᾶται, Βέειοι. Συνοικίαι δὲ ἦσαν αὗται, καὶ κατ' οἰκείαν ἀρχὴν ἑκάστη, καὶ μετὰ ταῦτα ἐπολίσθησαν, καὶ ταύταις ἔτι καὶ νῦν ἡ Ῥώμη ταῖς πόλεσι περιεστεφάνωται. Τούτων δ' οὕτω πραχθέντων, χειμὼν ἐξαίφνης ἐπελθὼν ἀφανῆ τὸν Ῥωμύλον ἐποίησεν· ἐξ ἐκείνου δὲ εἰς τόδε πεπίστευται πρὸς θεοὺς ἀνειλῆφθαι. Καθιερώθη οὖν παρὰ τῶν ἀρχομένων ἔτη βασιλεύσας αὐτῶν ἑπτὰ καὶ τριάκοντα. Καὶ τέως μὲν τὴν πόλιν διεῖπον καὶ τὴν βασιλείαν ἐπετρόπευον οἱ καλούμενοι σενάτωρες ἐπ' ἐνιαυτὸν ὅλον ἐξ ἀμοιβῆς, δι' ἡμερῶν πέντε τῆς ἐπιτροπείας ἀντ' ἄλλων εἰς ἄλλους μεθισταμένης.

3. Μετὰ δὲ τὸν ἐνιαυτὸν Νουμᾶς Πομπίλιος ἀνερρήθη βασιλεύς. Οὗτος πολέμου μὲν ἀπέσχετο παντός, τῇ Ῥώμῃ δὲ οὐχ ἧττον ἢ Ῥωμύλος ἐγένετο χρήσιμος. Νόμους τε γὰρ αὐτοῖς ἔθηκεν ἔθη τε παρέδωκεν, ἀφ' ὧν λῃσταί τινες πρότερον ὑπειλημμένοι καὶ μιξοβάρβαροι ἀμεινόνων ἀνδρῶν δόξαν ἐκτήσαντο, ἱερά τε αὐτοῖς ἐτέλεσε ναούς τε κατεσκεύασεν. Οὕτω δὲ διαθεὶς τὴν πόλιν, τεσσαρακοστῷ καὶ τρίτῳ τῆς βασιλείας ἔτει νοσήσας ἐτελεύτησεν.

4. Τρίτος διαδέχεται τὴν βασιλείαν Τοῦλλος Ὁστίλλιος. Ὑπὸ τούτῳ πάλιν ἡ περὶ τοὺς πολέμους ἐπανῆλθε σπουδή. Νικῶνται γοῦν Ἀλβανοὶ μάχῃ, τῆς Ῥώμης δυοκαίδεκα διεστῶτες σημείοις· μίλια καλοῦσιν αὐτὰ Ῥωμαῖοι· τὰ χίλια γὰρ βήματα οὕτως ὀνομάζουσι, τοσούτοις βήμασι συμμετρούμενοι τὸ σημεῖον. Εἶτ' ἐφεξῆς ἡττῶνται Βέειοι καὶ οἱ ἀπὸ Φιδήνης, οἱ μὲν ἓξ χωριζόμενοι σημείοις, οἱ δὲ ὀκτωκαίδεκα. Μετὰ ταύτας δὲ τὰς νίκας καὶ τὴν πόλιν ηὔξησε, τὸν Κέλλιον αὐτῇ προσθεὶς λόφον. Ἐπὶ τούτοις τοῖς ἔργοις τριάκοντα καὶ δύο τὴν ἀρχὴν κατασχὼν ἐνιαυτούς, κεραυνοῦ πεσόντος συγκατεφλέχθη τῇ βασιλικῇ στέγῃ.

5. Τέταρτος παρῆλθεν ἐπὶ τὴν ἀρχὴν Ἄγκος Μάρκιος, ἔκγονος ἀπὸ θυγατρὸς τοῦ Νουμᾶ Πομπιλίου. Οὗτος ἤρατο πόλεμον πρὸς Λατίνους, καὶ τῇ πόλει συνῆψε τὸν Ἀβάντινον λόφον Ἰανίκουλόν τε, καὶ πολίχνην ἐδείματο ἐπὶ θαλάσσῃ πρὸς ταῖς τοῦ Θύμβριδος ἐκβολαῖς, αἳ τῆς Ῥώμης ἓξ καὶ δέκα διεστήκασι σημείοις. Τετάρτῳ τε καὶ εἰκοστῷ τῆς βασιλείας ἔτει νόσῳ διεφθάρη.

6. Διεδέξατο δὲ τὴν βασιλείαν Ταρκύνιος ὁ Πρίσκος ὀνομαζόμενος. Οὗτος τὸ μὲν τῆς συγκλήτου συνέδριον διπλάσιον ἐποίησε τῷ τῶν σωμάτων ἀριθμῷ, καὶ τῇ πόλει δὲ τὸν ἱππόδρομον ᾠκοδόμησε θεάτρων τε ἐνεστήσατο τέρψιν, Ῥωμάνην καλέσας τὴν θέαν, ἥτις ἐξ ἐκείνου καὶ εἰς τόδε τελεῖται, τὴν αὐτὴν ἔχουσα προσηγορίαν. Ἔτι δὲ Σαβίνους εἷλε μάχῃ, καὶ, πολλῆς αὐτοὺς ἀφελόμενος γῆς, προσεκύρωσε τῇ Ῥώμῃ. Πρῶτος δὲ θριαμβεύων εἰς τὴν Ῥώμην εἰσῆλθε. Τείχη τε ἐδείματο καὶ τὰς ὑδρορρόας ἤγουν ἁμάρας, καὶ τῆς τοῦ Καπιτωλίου κατασκευῆς ἤρξατο. Ὀκτὼ τε ἐπὶ τοῖς τριάκοντα βασιλεύσας ἐνιαυτοὺς ὑπὸ τῶν Ἄγκου παίδων ἀνῃρέθη, παρ' οὗ τὴν βασιλείαν αὐτὸς ἀνεδέξατο.

7. Ἕκτος δὲ ὑποδέχεται τὴν ἀρχὴν Σερούιος Τούλλιος, ἐξ ἐπισήμου γεγονὼς μητρός, ἣ καὶ αἰχμαλωσίας καὶ δουλείας περιέπεσε τύχῃ.

7. τὰ Π: λείπει Σ   ἀρπαγὴν Π : ἁρπαγὴν Ι   10. καινιναῖοι Π : καὶ νιναῖοι Μ   Ἀντεμνᾶται ἔγραψα : ἀντεμνάται Π   11. Φιδηνᾶται ἔγραψα : φιδηνάται ἐκ τοῦ φιδηνᾶται Μ : φιδηνάται Π   12. ἀρχὴν Π : ἀρχὴ Α   13. τούτων δ' ΑΔ : τούτων ΜΙΣ   14. ῥωμύλον ΣΔ : ῥωμύλλον ΑΜΙ   15. πεπίστευται Π : πιπίστευται Δ   18. σενάτωρες ΣΔ : σενάτορες ΑΜΙ   δι' ἡμερῶν Π : δι ἡμερῶν Μ   20. Ἐν τῇ ὤᾳ β ΑΜ   Πομπίλιος ΙΣΔ : πομπήλιος ΑΜ   ἀνερρήθη ἔγραψα: ἀνερρέθη Π : ἀνερέθη Μ   21. Ῥωμύλος ΣΔ : ῥωμύλλος ΑΜΙ   23. λῃσταί τινες ΜΣΔ : λῃσταὶ τινὲς Α   24. ἱερά τε ἔγραψα : ἱερὰ τὲ ΑΜΙ : ἱερὰ δὲ ΣΔ   27. ἐν τῇ ὤᾳ Γ ΑΜ   ὁστίλλιος ΣΔ : ὀστίλλιος ΑΜ

4. ἐφεξῆς ΑΜΔ : ἐφ' ἑξῆς Ι   6. ταύτας ΙΔ : ταῦτας Μ : ταῦτας ἐκ ταῦτα Α   Κέλλιον Π. Γραπτέον Καίλιον   7. τοῖς Π : δὲ τοῖς Δ   10. Ἐν τῇ ὤᾳ δ ΑΜ   ἔκγονος Π : ἔκγονος τοῦ κ γραφέντος μετὰ διάξεσιν ἄλλου γράμματος Μ   11. ἤρατο ΜΙΔ : ἤρατο τοῦ ἢ γραφέντος μετὰ διάξεσιν ἄλλου γράμματος Μ   12. Ἀβάντινον Π. Γραπτέον Ἀβεντῖνον   12-13. καὶ πολίχνην ΜΔ : πολίχνην ΑΙΣ   13. θαλάσσῃ ἔγραψα : θαλάσσης Π   14. ἓξ καὶ δέκα ΙΣΔ : ἑξκαίδεκα ΑΜ   18. θεάτρων Π : θεάτρων Μ   22. δὲ ΜΣΔ : τὲ ΑΙ   23. ὑδρορρόας ΙΣΔ : ὑδρορόας ΑΜ   25-26. ὑπὸ τῶν—ἀνεδέξατο ΑΜΙ : ἀνεδέξατο Σ : τοῦ βίου τὴν τελευτὴν ἐδέξατο παρ' Ἄγκου υἱῶν παρ' οὗ—ἀνεδέξατο Δ   27. δὲ ΑΔ : λείπει ΜΙΣ   Σερούιος ΙΣΔ : σερούλλιος ΑΜ

Οὗτος ὑπηγάγετο Σαβίνους καὶ τρισὶ λόφοις ηὔξησε τὴν πόλιν, τῷ Κυ-
ριναλίῳ καὶ τῷ Βιμιναλίῳ καὶ τῷ Ἐσκυλίνῳ, τάφρους τε ὤρυξε πρὸ
τοῦ τείχους κύκλῳ καὶ ταῖς ἀπογραφαῖς τῶν σωμάτων ἔδωκεν ἀρχήν,
οὔπω παρ' οὐδενὶ τῶν ἐθνῶν ἐγνωσμέναις. Ἀπογραφέντες οὖν οἱ τὴν
Ῥώμην οἰκοῦντες ὑπ' αὐτῷ, συνήχθησαν εἰς ἀριθμὸν ὀγδοήκοντα
τριῶν χιλιάδων μετὰ τῶν ἐν τοῖς ἀγροῖς οἰκούντων. Τελευτὴν μέντοι
τοῦ βίου ἐδέξατο παρὰ τοῦ γαμβροῦ Ταρκυνίου Σουπέρβου· δηλοῖ δὲ
τοῦτο [τὸ] ἐπώνυμον ὑπερήφανον. Παῖς δὲ ἦν οὗτος Ταρκυνίου τοῦ
Πρίσκου, παρ' οὗ τὴν βασιλείαν ὁ σφαγεὶς οὗτος ἐδέξατο.
8. Ἐπιλαμβάνεται δὴ τῆς βασιλείας οὗτος ὁ Σούπερβος Ταρκύνιος,
ἕβδομός τε ὢν τῶν βασιλέων καὶ ὕστατος, καὶ νικᾷ μὲν Βολούσκους,
ἔθνος ὂν ἐπὶ τὴν Καμπανίαν, οὐ πόρρω τῆς Ῥώμης· αἱρεῖ δὲ ἐπὶ
τούτοις Γαβίαν καὶ Σύεσσαν τὴν Πομητίαν πόλεις, ἔθετό τε μετὰ Τού-
σκων σπονδὰς ναόν τε ᾠκοδόμησεν ἐν τῷ καλουμένῳ Καπιτωλίῳ.
Μετὰ ταῦτα πολιορκῶν τὴν Ἄρδεαν, πολίχνην δέκα καὶ ὀκτὼ σημεί-
οις πόρρω τῆς Ῥώμης, τὴν ἀρχὴν ἀπέβαλεν. Ὁ γὰρ ὁμώνυμος αὐτοῦ
παῖς ἐπιφανῆ γυναῖκα Λουκρητίαν, ἧς πολὺς ἦν ἐπὶ σωφροσύνῃ λόγος,
Ταρκυνίῳ Κολλατίνῳ συνοικοῦσαν, ἐβιάσατο. Τοῦτο δὲ ἐξήγγειλεν ἡ
Λουκρητία τῷ ἀνδρὶ καὶ τῷ πατρί, καὶ μηνύσασα τὸ πάθος, ἐν ὀφθαλ-
μοῖς αὐτῶν ἑαυτὴν διεχρήσατο. Ἐνταῦθα δὲ Βροῦτος, γένει προσήκων
τῷ Ταρκυνίῳ, τὸν δῆμον ἀθροίσας, ἀφαιρεῖται τῆς βασιλείας τὸν Ταρ-
κύνιον, πλείω ποιησάμενος τοῦ κοινοῦ λόγον ἢ τοῦ γένους. Τούτῳ δὲ
καὶ τοῦ δήμου τῷ δόγματι ἡ στρατιὰ συνηκολούθησε, μεθ' ἧς ἐπολιόρ-
κει τὴν Ἄρδεαν. Τετάρτῳ τε καὶ εἰκοστῷ ἔτει τῆς βασιλείας μετὰ
τῆς γαμετῆς καὶ τῶν παίδων φυγὴν ἑαυτοῦ κατεψηφίσατο. Οὕτως ὑπὸ
βασιλεῦσιν ἑπτά, τοῖς ὅλοις ἔτεσι διακοσίοις τεσσαράκοντα καὶ τρισί,
τὰ τῆς Ῥώμης διῳκήθη πράγματα. Μικρὰ δὲ ἦν ἔτι τὰ τῆς δυνάμεως

5. *συνήχθησαν* Π : *σηνήχθησαν* Λ 6. *οἰκούντων* Π : *οἰκούντων* ἐκ τοῦ *οἰκοῦντας* Μ 7. *ἐδέξατο* Π : *ἐδέξετο* Λ 8. τὸ προσέθηκα : λείπει Π 11. *ἕβδομός τε* ΛΜΔ : *ἕβδομος τὲ* ΙΣ *Βολούσκους* Π : *βουλούσκους* Μ
13. *Γαβίαν καὶ Σύεσσαν* (*σύε[σ]αν* Μ) *τὴν Πομητίαν* ΜΔ : *γαβίαν καὶ πομη-τίαν καὶ σύεσσαν* ΛΙΣ *ἔθετό τε* Δ : *ἔθετο τὲ* Π 14. *ᾠκοδόμησεν ἐν τῷ* ΜΔ : *ᾠ-κοδόμησε τῷ* ΛΙΣ 15. *Ἄρδεαν* ΣΔ : *ἄρδεων* ΛΜΙ 16. *τὴν ἀρχὴν* ΣΔ : [*τὴν ἀρχὴν*] Σ : λείπουσι ΛΜΙ 18. *δὲ* ΛΜΔ : λείπει ΙΣ 19. *Λουκρητία* Π : *λουκρε-τία* Μ 23. *ἧς* Π : *ἣς* Μ 25. Ἐν τῇ ᾤᾳ ἀπὸ κτίσεως ῥώμης ἕως τέλους τοῦ [ζου] τῶν βασιλέων καὶ ἀρχῆς (*ἀρχῶν* Μ) τῶν ὑπάτων ἔτη σμγ ΛΜΣ



αὐτῆς, τῶν ὁρίων αὐτῆς οὐδαμόθεν ὑπὲρ πεντεκαίδεκα σημεῖα ἐκτει-
νομένων.
9. Ἐντεῦθεν τὸ μὲν τῶν βασιλέων ἐπαύσατο, μετηνέχθη δὲ εἰς τὴν
τῶν ὑπάτων ἀρχήν. Δύο δὲ ἦσαν οὗτοι καὶ ἐτήσιοι, ὥστε, κἂν ἕτερον
*φαῦλον εἶναι, καταφεύγειν ἐπὶ τὸν ἕτερον, τῷ δὲ χρόνῳ περαιουμένην,
ὥστε μετριωτέραν εἶναι τὴν δυναστείαν. Ἀνάγκη γὰρ ἦν ἀρίστους εἶ-
ναι δημαγωγούς, εἰδότας ὡς μετὰ τὸν χρόνον ἔσονται τῶν ἀρχομένων.
Γίνονται τοίνυν ὕπατοι τῷ πρώτῳ ἔτει μετὰ τοὺς βασιλεῖς Λούκιος
Ἰούνιος Βροῦτος ὁ τῆς Ταρκυνίου μάλιστα καθαιρέσεως αἰτιώτατος,
καὶ Ταρκύνιος Κολλατῖνος ὁ τῆς Λουκρητίας ἀνήρ, ἧς ὑβρισθείσης
ἐπράχθη τὰ περὶ Ταρκύνιον. Ἀλλ' ὁ Κολλατῖνος εὐθὺς τῆς ἐξου-
σίας ἀφῃρέθη· ἔδοξε γὰρ μηδένα ἐπὶ τῆς Ῥώμης εἶναι Ταρκύνιον
ὀνομαζόμενον, καὶ τῆς οὐσίας προςαφαιρεθεὶς ἀπώσθη τῆς πόλεως,
ἀντικατέστη δὲ αὐτῷ Λούκιος Οὐαλέριος Πουβλικόλας.
10. Τούτων οὖν τὴν ὕπατον ἐχόντων ἀρχήν, ὁ τῆς βασιλείας ἀφαι-
ρεθεὶς Ταρκύνιος ἐπηγάγετο τῇ Ῥώμῃ πόλεμον, καὶ συναγείρας ἔθνη
πολλὰ δι' ὅπλων ἔσπευδεν ἐπανελθεῖν εἰς τὴν βασιλείαν. Ὡς δὲ τὸ πρᾶ-
γμα συνέμιξαν, ὁ μὲν Βροῦτος καὶ ὁ Ταρκυνίου παῖς ἀλλήλους ἀνεῖ-
λον, οἱ δὲ λοιποὶ Ῥωμαῖοι ταύτῃ τῇ μάχῃ νικήσαντες ἀνεχώρησαν
ἐπ' οἴκου. Αἱ τοίνυν γυναῖκες ὡς τῆς σεμνότητος καὶ σωφροσύνης
ὑπέρμαχόν τε καὶ προστάτην ἐνιαυσιαίῳ πένθει καθάπερ πατέρα
κοινὸν ἐτίμησαν. Πουβλικόλας δὲ Σπούριον Λουκρήτιον Τρικιπιτῖνον
κοινωνὸν ἑαυτῷ καὶ συνύπατον ἐχειροτόνησε τὸν πατέρα τῆς Λου-
κρητίας, τούτου δὲ ὑπεξελθόντος νόσῳ τὸν βίον, αὖθις Ὁράτιον Πούλ-
βιλλον συνῆψεν ἑαυτῷ πρὸς τὴν ὕπατον ἀρχήν. Ὁ γὰρ δὴ λειπόμε-

1. *αὐτῆς τῶν* Ι : *οὐ[ου] τῆς τῶν* Λ : *αὐτῆς τῶν* Μ : *ὂν τῆς* Σ : *ὄντα τῆς* Δ
*σημεῖα* ΙΔ : *σημείων* ΛΣ : *σημείοις* Μ 4. *κἂν* Π : *κὰν* Μ 6. *ὥςτε* Π : λείπει Δ 9. Ἐν τῇ ᾤᾳ *βροῦτος* Λ 14. Ἐν τῇ ᾤᾳ· *περὶ ποπλικόλα* (*πε-πλικόλα* Μ) ΛΜ 15. *οὖν τὴν ὕπατον* Π : *τὴν ὑπάτων οὖν τὴν ὕπατον* Μ
19. *ταύτῃ* ΙΜ : λείπει ΛΣΔ 22. *ἐτίμησαν* Π : *ἐτίμωσαν* Ι [η] Ἐν τῇ ᾤᾳ *οὗτος ἐστὶν* (*οὗτός ἐστιν* Σ) *ὁ ποπλικόλας* (ἐκ τοῦ *πεπλικόλας* Μ) *ὃν πλούταρχος σόλωνι παράλληλον τίθησι* (*τίθησιν* Σ) (διαγεγραμμένων μετὰ τὸ τίθησι τῶν καὶ πά-λιν γραφεισῶν λέξεων *τῷ σόλωνι* Λ) ΛΜΣ 23-24. *Λουκρητίας* Π : *λουκρήτῖας* ἤτοι τὸ μὲν πρῶτον *λουκρήτιας* εἶτα δὲ *λουκρητίας* Λ 24. *Ὁράτιον* ΙΣΔ : *ὀρά-[ε]τιον* ΛΜ 24-25. *πούλβιλλον* ΛΜΣ : *πούλβινον* Ι : *Πούλβιον* Δ 25. *ἑαυτῷ* Π : *αὐτῷ* Μ

νος ἀεὶ κύριος ἦν τῆς τοῦ κοινωνοῦ χειροτονίας. Οὕτω δὴ συνέδη τὸν πρῶτον τῶν ὑπάτων ἐνιαυτὸν πέντε σχεῖν ὑπάτους, Ταρκυνίου μὲν Κολλατίνου διὰ τὴν προσηγορίαν ἀπωσθέντος, Βρούτου δὲ πεσόντος ἐν τῇ μάχῃ, Λουκρητίου δὲ τὴν ἐκ τῆς ἀρρωστίας τελευτὴν ὑπομείναντος.

11. Τῷ δευτέρῳ δὲ μετὰ τοὺς βασιλέας ἔτει Ταρκύνιος αὖθις ἐκίνησεν ὅπλα κατὰ τῆς Ῥώμης ὑπὲρ τῆς βασιλείας, πρὸς συμμαχίαν ἐπικαλεσάμενος τὸν Πορσήναν· οὗτος δὲ ἦν Τούσκων βασιλεύς· καὶ μικροῦ μὲν τῆς Ῥώμης κατεκράτησεν, ἡττηθεὶς δὲ ὅμως ἀπῆλθε. Καὶ τρίτῳ μετὰ τοὺς βασιλέας ἐνιαυτῷ, ὡς εἶδεν αὐτῷ τὰ περὶ τῆς βασιλείας οὐ χωροῦντα κατὰ νοῦν· ἤδη γὰρ καὶ Πορσήνας σπονδὰς ἐπεποίητο πρὸς Ῥωμαίους· ἐν Τουσκώλῳ πολιχνίῳ τῆς Ῥώμης οὐ πόρρω, καταπλαγεὶς τὸν Μούκιον ἐπιβάλλοντα τῇ φλογὶ τὴν δεξιὰν εἰκόνα τε γενόμενον ἀνδρείας τε καὶ καρτερίας τῆς Ῥωμαίων, μεταστὰς σὺν τῇ γαμετῇ καὶ τοῖς φιλτάτοις τεσσαρεσκαίδεκα διετέλεσεν ἐνιαυτοὺς ἐκεῖ τε κατεγήρασε. Τετάρτῳ δὲ μετὰ τοὺς βασιλέας ἔτει Σαβῖνοι Ῥωμαίοις ἐπήγαγον πόλεμον. Ἡττηθέντων δὲ αὐτῶν πανστρατί, οἱ Ῥωμαῖοι τὴν νίκην ἐθριάμβευσαν. Ἔτει πέμπτῳ Οὐαλέριος ὁ Βρούτου συνύπατος, τετάρτην ἤδη πεπληρωκὼς ὑπατείαν, τὸ κοινὸν ὑπέμεινε τέλος ἐν τοσαύτῃ πενίᾳ καὶ ἀπορίᾳ τῶν ἀναγκαίων, ὥστε ἐκ συνεισφορᾶς τοῦ δήμου τὴν ταφὴν αὐτοῦ γενέσθαι. Καὶ τοῦτον δὲ αἱ γυναῖκες ὥσπερ τὸν Βροῦτον κατὰ τὸν ἴσον χρόνον ἐπένθησαν.

12. Ἐνάτῳ δὲ μετὰ τοὺς βασιλέας ἔτει ὁ τοῦ βασιλεύοντος Ταρκυνίου Σουπέρβου γαμβρὸς τιμωρῆσαι τῷ κηδεστῇ βουληθείς, παμμεγέθη στρατιὰν συνέλεξε. Τότε τοίνυν προσεπενοήθη τε καὶ ᾑρέθη κατὰ τὴν Ῥώμην ἀρχή· δικτατοῦραν αὐτὴν ἐκάλουν ἐπιχωρίως, σημαίνει δὲ ἀναγόρευσιν ἡ φωνὴ ἢ διὰ τὸ λέγειν μὲν τὸν δῆμον, οὐ ψηφηφορεῖν δὲ ὡς ἐπὶ τῶν ὑπάτων, τῷ ῥήματι δὲ ἀκολουθεῖν τὴν

1. *χειροτονίας* Σ : *χειροτονείας* Π 3. *ἀπωσθέντος* ἔγραψα (Πρβλ. σ. 13, 13) : *ἀπεωσθέντος* Π 8. *Πορσήναν* ΣΔ : *πορσίνναν* ΛΜΙ 10-11. *ἐνιαυτῷ—βασιλείας* ἐν τῷ κειμένῳ Π : πρόσθετα ἐν τῇ ῷᾳ διὰ παραπεμπτικοῦ σημείου ·/. Λ 11. *χωροῦντα* Π : *χωροῦντα* ἐκ τοῦ *χοροῦντα* Μ *Πορσήνας* ΣΔ : *πορσίνας* ΛΜ : *πορσίννας* Ι 12. *Τουσκώλω* ΛΜΙ : *Τουσκόλῳ* ΣΔ 13. *Μούκιον* ΙΣΔ : *Λούκιον* ΛΜ 14. *ἀνδρείας* Π : *ἀνδρίας* Δ 15. *τεσσαρεσκαίδεκα* Π : *τεσσαρασκαίδεκα* Δ 18. *ἔτει* Π : *ἔτει δὲ* Δ 22. *ἴσον* ΜΣΔ : *ἴσον* Λ : *ἴσον* Ι *ἐπένθησαν* Π : *ἐπέθησαν* Μ 24. *ἐνάτω* Ι : *ἐννάτῳ* Π *δὲ* ΜΔ : λείπει ΛΙΣ 27. *δικτατοῦραν* ἔγραψα : *δικτατούραν* Π 29. *ψηφηφορεῖν* ΜΣ : *ψηφοφορεῖν* ΛΙΔ



ἐξουσίαν. Αὕτη δὲ δυνατωτέρα μὲν τῆς μεγίστης ὑπατείας ἦν, ἑξ μησὶ δὲ παρετείνετο μόνοις. Τοσοῦτον γὰρ ἔδοξεν αὐτὴν συστεῖλαι κατὰ τὸν χρόνον ὅσον ὑπερέβαινε τῷ μεγέθει. Κατὰ δὲ τὸν αὐτὸν τοῦτον χρόνον καὶ ἄρχων ἱππέων ἀνεδείχθη· ἀκολουθεῖ δὲ καὶ αὐτὸς τῷ δικτάτωρι καθάπερ τις ἀξιόχρεως ὑπουργός. Συνελόντι δὲ εἰπεῖν οὐδεμία τῶν ἐπὶ τῆς Ῥώμης ἀρχῶν ὡς ἡ δικτατοῦρα τῇ νῦν βασιλείᾳ προσέοικει. Μετὰ ταύτης γοῦν, μᾶλλον δὲ ὑπὸ ταύτῃ τῇ προσηγορίᾳ καὶ Αὔγουστος Ὀκταβιανός, περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν, καὶ πρὸ ἐκείνου Γάϊος Καῖσαρ κατὰ μικρὸν τὴν μὲν πολιτείαν καταλύοντες, ἁρπάζοντες δὲ τὴν βασιλείαν διέλαθον. Πρῶτος οὖν ἐγένετο δικτάτωρ Λάρκιος, μάγιστρος δὲ τῶν ἱππέων πρῶτος Σπούριος Κάσιος.

13. Ἕκτῳ δὲ καὶ δεκάτῳ μετὰ τοὺς βασιλέας ἐνιαυτῷ στάσις ἐπέπεσε τῷ δήμῳ τῶν Ῥωμαίων ἀγανακτοῦντι καὶ δεινὰ πάσχοντι ὑπό τε τῆς συγκλήτου καὶ τῶν ὑπάτων. Καὶ οὐ πρότερον ἐπέσχεν οὗτος ὁ θόρυβος, πρὶν καὶ αὐτὸς αὐτῷ κατέστησεν ἄρχοντας οἰκείους καὶ οἱονεί τινας ἐκδίκους τοῦ πλήθους, οὓς δημάρχους ἐκάλεσε, τριβούνους πλήβις κατὰ τὴν αὐτῶν φωνήν. Ἐπίστευε δὲ ὁ δῆμος διὰ τούτων ἀσφάλειαν αὐτῷ πρὸς τὴν τῆς συγκλήτου καὶ τῶν ἀρχόντων ἐξουσίαν ὑπάρξειν.

14. Τῷ δὲ ἑξῆς ἐνιαυτῷ Βολοῦσκοι τὸν πόλεμον ἀνενεώσαντο, καὶ συμμίξαντες ἡττήθησαν καὶ τὴν μεγίστην ἑαυτῶν πόλιν Κουριόλους ἀπώλεσαν, τῶν νικησάντων γενομένην.

15. Ὀκτωκαιδεκάτῳ δὲ μετὰ τοὺς βασιλέας ἔτει Κόντος Μάρκιος, ὁ τοῦ πολέμου τοῦ κατὰ Βολούσκων στρατηγὸς ὁ καὶ τὴν πόλιν

2. *μόνοις* ἔγραψα : *μόνος* Μ : *μόν*ᵒˢ Λ : *μόνον* ΙΣΔ 4. *αὐτὴ* Δ : *αὐτὴ* Π 5. *δικτάτωρι* ΣΔ : *δικτάτορι* ΛΜΙ *τις* Π : λείπει Μ 6. *δικτατοῦρα* ἔγραψα *δικτατούρα* Π 13. Ἐν τῇ ῷᾳ· *ἀπὸ κτίσεως ῥώμης (Ῥώμης Σ) ἕως τῆς τῶν δημάρχων καταστάσεως ἔτη* $\overline{σξ}$ *ἐγγὺς* ΛΜΣ 14. *πάσχοντι* ἔγραψα. Πρβλ. τὸ τοῦ Εὐτροπίου tanquam . . . premeretur : *πάσχειν* Π 15. *ὑπάτων* Π : *ὑπάτων αἰτιωμένῳ* Δ *ἐπέσχεν* ΣΔ : *ἀπέσχεν* ΛΜΙ 16. *αὐτῷ* ΣΔ : *αὐτῶ* ΛΜΙ 17. *οἱονεί τινας* ἔγραψα : *οἱονεὶ τινὰς* Π 18. *πλήβις* Π : *πλῆβις* Λ *ἐπίστευε* ΛΜΣ : *ἐπίστευσε* ΙΔ 21. *Βολοῦσκοι* Δ : *βολούσκοι* Ι : *βουλοῦσκοι* ΛΜΣ 24. Ἐν τῇ ῷᾳ· *οἱ δήμαρχοι τῷ* $\overline{β}$ *ἔτει τῆς ἑαυτῶν ἐξουσίας ἐπαρθέντες κατὰ τῶν ὑπάτων, ἐξόριστον τῆς ῥώμης ἐποίησαν γάϊον μάρκιον ὃν πλούταρχος παράλληλον τίθησιν (τίθησὶ Μ) ἀλκιβιάδη τῶ ἀθηναίω* ΛΜΣ 25. *Βολούσκων* ΙΔ : *βουλούσκων* ΛΜΣ

αὐτῶν ἑλὼν τοὺς Κουριόλους, ἀπολιπὼν τὴν Ῥώμην, προσεχώρησε
τοῖς Βολούσκοις, ὑπό τινος ὀργῆς τοῦτο παθών, καὶ πολὺ συνήγαγε
συμμαχικόν, καὶ πολλάκις ἐνίκησε πολέμῳ τοὺς οἰκείους. Καὶ πλη-
σίον αὐτῆς ἐγένετο τῆς πόλεως ἀπὸ πέντε σημείων, ὡς αὐτίκα πο-
λιορκήσων· πρεσβευσαμένων δὲ τῶν Ῥωμαίων, οὐ πρότερον ἔφη τῆς
ὀργῆς λήξειν ἢ τὴν αὐτοῦ μητέρα Βετουρίαν καὶ τὴν γαμετὴν
Βουλουμνίαν πρὸς αὐτὸν ἐλθεῖν. Γίνεται δὴ τοῦτο, καὶ τοῖς ὀδυρμοῖς
τῶν γυναικῶν ἐπικλασθεὶς ἀπεκίνησε τὸν στρατόν. Καὶ δεύτερος οὗ-
τος μετὰ τὸν βασιλέα Ταρκύνιον ὅπλα κατὰ τῆς πατρίδος ἐκίνησεν.

16. Φαβίου δὲ καὶ Βεργινίου τὴν ὑπατείαν ἐχόντων, τριακόσιοι
τῆς Ῥώμης ἄνδρες ἐπιφανεῖς, ἐκ τῆς Φαβίου καταγόμενοι συγγε-
νείας, αὐτοὶ καθ' ἑαυτοὺς κατὰ τῶν Βεεγέντων ἐξεστράτευσαν, ὑπο-
σχόμενοι καὶ τῷ δήμῳ καὶ τῇ συγκλήτῳ τὸν πάντα κατορθώσειν πό-
λεμον. Οὗτοι δὲ πάντες, ἀξιόχρεως ἕκαστος μεγάλης ἡγεμὼν εἶναι
στρατιᾶς, πανωλεθρίᾳ διεφθάρησαν. Ἐκ τοσούτου δὲ τοῦ Φαβίου γέ-
νους εἷς ὑπελείφθη μόνος, ὃς οὐχ οἷός τε ἐγένετο διὰ τὴν νεότητα
παραγενέσθαι τῇ μάχῃ. Μετὰ ταῦτα γίνεται τῶν σωμάτων πάλιν ἀπο-
γραφὴ κατὰ τὴν πόλιν, καὶ συνηριθμήθη πλῆθος ἀνδρῶν ἑκατὸν δέκα
καὶ ἑπτὰ χιλιάδες καὶ τριακόσιοι καὶ δέκα καὶ ἐννέα.

17. Τῷ δὲ ἑξῆς ἐνιαυτῷ κατὰ τὸ Ἄλγιδον ὄρος, δωδεκάτῳ τῆς
πόλεως σημείῳ, ἐνεδρευθεὶς ὁ ῥωμαϊκὸς στρατὸς συνεκλείσθη. Χει-
ροτονεῖται τοίνυν δικτάτωρ Λούκιος Κύντιος Κιγκιννάτος· ἐν γὰρ ταῖς
μεγίσταις ἀνάγκαις ἐπὶ ταύτην ἐφέροντο τὴν ἀρχήν. Ἀγρὸν δὲ ἔχων
ὁ Κιγκιννάτος καὶ τοῦτον αὐτῷ σώματι γεωργῶν, ἐφεστηκώς τε ἀρό-
τρῳ, παρέλαβε τὴν ἐξουσίαν, καὶ τὸν ἱδρῶτα τὸν ἀπὸ τῆς γηπονίας
μεταβαλὼν ἐνέδυ τὸ σχῆμα τραβέαν· τόγαν αὐτὴν ὀνομάζουσιν· ἐκ
τῆς ὁπλίσεως τῆς Ῥωμύλου μετενεχθεῖσαν εἰς φᾶρος· καὶ τοὺς πο-
λεμίους ἀπολέσας ἠλευθέρωσε τὴν στρατιάν.

18. Τριακοστῷ δὲ καὶ ἑνὶ μετὰ τὸν τῆς Ῥώμης συνοικισμὸν ἐνι-

2. *Βολούσκοις* Δ : *βουλούσκοις* Π 5. *ἔφη* Π : *ἔμελλε* Α 6. *Βετου-ρίαν* ΣΔ : *βετουλίαν* ΑΜΙ 9. *ἐκίνησεν* : *ἐκίνησε* προστεθέντος ἐν τέλει τοῦ ν ὑπὸ τοῦ ἐρυθρογράφου Α 14. *ἀξιόχρεως* ΣΔ : *ἀξιοχρέως* ΑΜΙ 17. *γί-νεται* Π : *δὲ γίνεται* Δ 19. *ἐννέα* Π : *ἐννέα* ἐκ τοῦ *ἐνέα* Α 20. *ἑξῆς* Π : *ἑξῆς* Μ *Ἄλγιδον* ΣΔ : *ἄλκιδον* ΙΑ : *ἄλβιδον* Μ 21. *πόλεως* Π : *πόλεως πόλεως* τῆς δευτέρας λέξεως εἶτα διαγραφείσης Μ 22. *κιγκιννάτος* Π : *κιγκινάτος* Μ 25. *καὶ τὸν* Π : *καὶ τῶν* Δ 27. *ῥωμύλου* Δ : *ῥωμύλλου* Π *φᾶρος* ἔγρα-ψα : *φάρος* ΣΔ : *φάρας* ΑΜΙ 29. Ἐν τῇ ᾤᾳ· *ἀπὸ κτίσεως ῥώμης* (Ῥώμης Σ) *ἕως τῆς τῶν δέκα ἀρχῆς ὑπατικῶν ἀνδρῶν ἔτη* $\overline{τα}$ *ὀλυμπιὰς* $\overline{πδ}$ ΑΜΣ. Αἱ λέ-



αυτῷ τὸ τῶν ὑπάτων μετεβάλετο εἰς ἑτέραν ἀρχήν. Ἀντὶ γὰρ τῶν ὑπάτων δέκα κατέστησαν, οἷς [ἡ] πᾶσα τῆς πόλεως ἐπετράπη διοίκησις. Ἐκαλοῦντο δὲ οὗτοι δεκανδρικοί. Ὀρθῶς δὲ διαγενόμενοι κατὰ τὸ πρῶτον ἔτος εἶτα μετεβλήθησαν. Ἄππιος γὰρ Κλαύδιος, εἷς ἐκ τῶν δέκα, Βεργινίου τινὸς θυγατέρα παρθένον, ὃς ἐν τῷ πολέμῳ κατὰ τὸ Ἄλγιδον ὄρος πρὸς Λατίνους ἐτύγχανεν ἀνδρειότατα μεμαχημένος, ἠβουλήθη διαφθεῖραι πρὸς βίαν· ἀλλ' ὁ πατὴρ αὐτὴν πρὸ τῆς ὕβρεως ἀνεῖλε. Τοῦτο συνεκίνησε τὸν στρατόν, καὶ τοὺς δέκα τιμωρίᾳ παραδόντες καὶ αὐτὴν αὐτοῖς συνανεῖλον τὴν ἀρχήν.

19. Τῷ δὲ ἑξῆς ἐνιαυτῷ Φιδηνᾶται πρὸς τὴν Ῥώμην ἤραντο πόλεμον, συμμάχοις κεχρημένοι Βεείοις καὶ τῷ τούτων βασιλεῖ Τολουμνίῳ. Βέειοι δὲ καὶ Φιδηνᾶται, καθάπερ ἐν τοῖς πρόσθεν εἴρηται, τῆς Ῥώμης ἐκ γειτόνων οἰκοῦσι, Φιδηνᾶται μὲν ἓξ κεχωρισμένοι σημείοις, Βέειοι δὲ ὀκτωκαίδεκα. Συνεπῆλθον δὲ καὶ Βολοῦσκοι. Τότε τοίνυν Μάμερκος Αἰμίλιος, δικτάτωρ χειροτονηθεὶς καὶ λαβὼν ἄρχοντα τῶν ἱππέων Λούκιον Κυΐντιον Κιγκιννάτον, τόν τε πόλεμον ἔλυσε καὶ τὸν βασιλέα Τολούμνιον ἀνεῖλε, Φιδῆναί τε ἡ πόλις ἑάλω καὶ κατεσκάφη.

20. Εἴκοσι δὲ ὕστερον ταύτης τῆς μάχης ἐνιαυτοῖς Βέειοι πάλιν ἐκίνησαν τὸν πόλεμον· καὶ χειροτονεῖται κατ' αὐτῶν δικτάτωρ Φούριος Κάμιλλος, ὃς πρότερον μὲν αὐτοὺς κατεπολέμησε, μετὰ ταῦτα δὲ τὴν πόλιν περικαθίσας καὶ αὐτὴν εἷλεν, ἀρχαιοτάτην τε τῆς Ἰταλίας καὶ τοῖς πᾶσιν ἀφθονωτάτην. Μετὰ ταύτην αἱρεῖ Φαλίσκους, πόλιν οὐχ ἧττω τῆς προτέρας· ἀλλ' ἐπανέστη φθόνος ἐκ ταύτης αὐτῷ τῆς εὐημερίας. Αἰτίαν δ' ἔσχεν ὡς οὐ προσηκόντως διέλοι τῇ στρα-

ξεις *ὀλυμπιὰς* $\overline{πδ}$ ἐν τῷ Α κεχωρισμέναι τῶν λοιπῶν. Ἕπονται δὲ ἐν τῇ ᾤᾳ τοῦ αὐτοῦ κώδικος, ἐπ' ἴσης χωριστά, καὶ αἱ λέξεις + *περὶ τῆς νεάνιδος* λείπουσαι ἀπὸ τῶν λοιπῶν 1. *μετεβάλετο* Π : *μετεβάλλετο* Α 2. *ἡ* προσέθηκα : λείπει Π 6. *Ἄλγιδον* ΣΔ : *ἄλκιδον* Ι : *ἄλκιμον* ΑΜ 10. (καὶ 12). *φιδηνᾶται* ἔγραψα : *φιδηνάται* Π *ἤραντο* ΑΜΙ : *ἦραντο* ΣΔ 11-12. *Βεείοις—Τολουμνίῳ* (*τουλουμνίῳ* ΜΣ) ἐν τῷ κειμένῳ Π : *Βεείοις—τουλουμνίω* ἐν τῇ ᾤᾳ διὰ παραπεμπτικοῦ σημείου ·/. Α 15. *Αἰμίλιος* ΣΔ : *αἰμίλιος* ΑΙΜ Ἐν τῇ ᾤᾳ *οὗτος ἐστὶν ὁ κάμιλλος ὃν παράλληλον τίθησι πλούταρχος θεμιστοκλεῖ (θεμιστοκλῇ* Μ*) τῷ ἀθηναίῳ* ΑΜΣ 16. *Κυΐντιον* ΑΜΣ : *Κύντιον* ΙΔ *Κιγκιννάτον* ἔγραψα : *Κικιννάτον* Π 17. *Φιδῆναί τε* ἔγραψα : *φιδῆναι τὲ* Π 22-23. *εἷλεν—μετὰ ταύτην* ἐν τῷ κειμένῳ Π : ἐν τῇ ᾤᾳ διὰ παραπεμπτικοῦ σημείου ·/. Μ 23. *ταύτην* Π : *ταύτην δὲ* Δ 24. *ἧττω* ΣΔ : *ἧττω* ἐκ τοῦ *ἧττον* ἄλλῳ μέλανι Α : *ἧττων* Μ : *ἧττον* Ι 25. *ἔσχεν* ΣΔ : *ἔσχον* ΑΜΙ

τιῷ τὰ τοῦ πολέμου λάφυρα, κατεκρίθη τε καὶ ἀπεώσθη τῆς Ῥώμης. Κατὰ δὲ τοῦτον τὸν χρόνον Γάλλοι Σένωνες ὥρμησαν ἐπὶ τὴν Ῥώμην, καὶ γενομένης μάχης ἑνδεκάτῳ τῆς πόλεως σημείῳ παρὰ τὸν Ἄλλιον ποταμόν, ἐπεξῆλθον φεύγουσι τοῖς Ῥωμαίοις, οὐδενὸς ἀντάραντος, μέχρι τῆς πόλεως αὐτῆς. Καταφεύγοντες δὲ εἰς τὸ Καπιτώλιον, ἐκεῖ συνέσωζον ἑαυτούς. Λιμοῦ δὲ λοιπὸν συνέχοντος αὐτούς, ἐφίσταται κάμνουσιν ὁ Φούριος Κάμιλλος, ἐκτὸς τῆς πόλεως ἐκ τῆς τῆς εἰρημένης κρίσεως διάγων. Καὶ νικᾷ μὲν αὐτοὺς τῇ πρώτῃ συμπλοκῇ· ὡς δὲ οὐκ ἐξεχώρουν τοῦ ἄστεως, ὠνήσαντο Ῥωμαῖοι τὴν ἀναχώρησιν αὐτοῦ χρυσίῳ. Τοῦτο οὐκ ἤνεγκε μετρίως ὁ Κάμιλλος· παραχρῆμα δὲ ἐπεξελθὼν τῇ τῶν Γάλλων στρατιᾷ, αὐτήν τε διέφθειρε καὶ τὸ δοθὲν ἀνέλαβε χρυσίον, καὶ τὰ σημεῖα τὰ στρατιωτικά, ἅπερ ἦσαν ἐν τῇ προτέρᾳ μάχῃ παρὰ τῶν Ῥωμαίων ἀφῃρημένοι· σίγνα καλοῦσιν αὐτὰ Ῥωμαῖοι· πάντα ἀναλαβών, τρίτον ἐν τῇ πατρίδι θρίαμβον ἐθριάμβευσεν, ἐπεκλήθη τε δεύτερος Ῥωμύλος, ὡς οἰκιστὴς καὶ αὐτὸς τῆς Ῥώμης γεγενημένος.

## ΒΙΒΛΙΟΝ Β΄

1. Ἔτει τριακοστῷ καὶ ἑξηκοστῷ πέμπτῳ μετὰ τὸν τῆς Ῥώμης συνοικισμόν, πρώτῳ δὲ μετὰ τὴν ὑπὸ Γάλλοις γενομένην ἅλωσιν ἐνηλλάγησαν αἱ δυναστεῖαι. Ἀντὶ γὰρ τῶν ὑπάτων ἄρχοντες ἐγένοντο στρατιωτικοί, τὴν τῶν ὑπάτων ἔχοντες δύναμιν. Ἐντεῦθεν καὶ τὰ τῆς Ῥώμης ηὐξήθη πράγματα. Κάμιλλος γὰρ Βολούσκων πόλιν, ἑβδομήκοντα τοῖς πᾶσιν ἐνιαυτοῖς οὐκ ἀποσχομένην τοῦ κατὰ τῆς Ῥώμης πολέμου, αὐτήν τε εἷλε τὴν Βολούσκων ὡς καὶ πόλιν ἑτέραν

3. *ἐνδεκάτῳ* Μ : *ἐνδεκάτω* Π   4-5. *ἀντάραντος* ΙΔ : *ἀντήραντος* Σ : *ἀντάρατος* ΛΜ   5-6. *Καπιτώλιον* Δ : *Καπετώλιον* Π. Ἴδε ἀνωτέρω σ. 11,23 καὶ 12,14   7. *Φούριος* ΣΔ : *φρούριος* ΛΜΙ   10. *χρυσίῳ* Π : *χρησίω* Μ   *τοῦτο οὐκ* Π : *τοῦτο δὲ ἐκ* Δ   *ἤνεγκε* Π : *ἤνεγκε* Μ   13. *Ῥωμαίων* Π : *ῥωμαίων* ἐπὶ *προτέρων* διαγεγραμμένου Μ   14. *σίγνα* Δ : *σίγνα δὲ* Δ   15. *Ῥωμύλος* ΣΔ : *ῥωμῦλος* ΛΜΙ

1. *τριακοσιοστῷ* Π : *τριακοστῷ* τῆς διορθώσεως γενομένης δευτέρᾳ χειρὶ Λ (σιο)   3. *δυναστεῖαι* Π : *δυναστείαι* Λ   3-4. *ἄρχοντες—ὑπάτων* ἐν τῷ κειμένῳ Π : πρόσθετα ἐν τῇ ᾤᾳ ἄλλῃ χειρὶ Ι   7. *αὐτήν τε* Π : *αὐτὴν δὲ* Σ   *τὴν βολούσκων ὡς (ὢ ΜΣ) καὶ πόλιν ἑτέραν ἐτρούσκων* ΛΜΙ : *καὶ ἑτέραν Αἰκανῶν* Δ



Ἐτρούσκων καὶ Σουτρίνων ἄλλην, πάσας τε αὐτὰς ὑφ᾽ ἑαυτὸν ποιησάμενος καὶ τοὺς πολεμίους διαχρησάμενος, τρεῖς ἐπὶ τοῖς τρισὶν ἔθνεσιν ἐπετέλεσε θριάμβους.

2. Καὶ Τίτος δὲ Κυίντιος Κιγκιννάτος Πραινεστίνους, οἳ μέχρι τῶν προπυλαίων αὐτῶν πολεμοῦντες ἐχώρησαν, ἄχρις Ἀλλίου ποταμοῦ διώξας, νίκην τε ἤρατο κατ᾽ αὐτῶν καὶ πόλεις αὐτῶν ἑπτὰ τῇ Ῥώμῃ προσένειμε, καὶ αὐτοὺς δὲ τοὺς Πραινεστίνους, παραδόντας ἑαυτούς, ἐκτήσατο· πᾶν δὲ τοῦτο τὸ ἔργον εἴκοσιν ἐπετέλεσε ταῖς πάσαις ἡμέραις, καὶ ἐπὶ τούτοις ἐθριάμβευσεν.

3. Ἀλλ᾽ οὐκ ἐπὶ πολὺ τῶν στρατιωτικῶν ἀρχόντων ἡ δυναστεία· μικρῷ γὰρ ὕστερον κατελύθη, καὶ σχεδὸν ἔξω πάσης ἀρχῆς ἡ Ῥώμη διετέλεσεν, εἰ καὶ τῶν στρατιωτικῶν ἀρχόντων τινὲς καὶ μετὰ τὴν κατάλυσιν τῆς ἀρχῆς ἐβιάζοντο δύνασθαι καὶ τὸ κῦρος ἔχειν. Ἀλλ᾽ οὐχ ὑπὲρ τρεῖς ἐνιαυτοὺς τοῦτο ἐδυνήθησαν· ἐπανῆλθε γὰρ πρὸς τοὺς ὑπάτους ἡ ἐξουσία.

4. Λουκίου τοίνυν Γενουκίου καὶ Κυιντίου Σερβιλίου γενομένων ὑπάτων, τελευτᾷ Κάμιλλος, τιμαί τε αὐτῷ δεύτεραι μετὰ τὸν Ῥωμύλον ἐψηφίσθησαν.

5. Γάλλων δὲ πόλεμον ἐπὶ τὴν Ἰταλίαν κινησάντων, στρατοπεδευσαμένων δὲ ἀντιπέραν τοῦ Ἀνιήνου ποταμοῦ, Τίτος Κυίντιος δικτάτωρ ἀναδειχθεὶς ἐξῆλθεν ἐπὶ τοὺς πολεμίους. Ἀλλ᾽ ἔλυσε τὴν μάχην οὐχ ἡ συμπλοκὴ τῶν στρατευμάτων, ἀλλ᾽ ἀνὴρ νεανίας Μανίλιος. Ὑφ᾽ ἑνὸς γὰρ τῶν Γάλλων εἰς μονομαχίαν προκληθεὶς ἐκεῖνόν τε καθεῖλε καὶ τῷ πολέμῳ τέλος ἔδωκε, τὸν στρεπτόν τε, ᾧ

1. *ἑαυτὸν* ΛΙΔ : *ἑαυτὸν* ἐκ τοῦ *ἑαυτῶν* Μ   4. *Κυίντιος* ἔγραψα (Ἴδε ἀνωτέρω σ. 17,16) : *κύντιος* Π   *Κιγκιννάτος* ἔγραψα : *κικιννάτος* ΛΙΔ : *κικινάτος* Μ (ν ὑπεράνω, Λ)   *Πραινεστίνους* Δ : *πρενεστίνους* Π   5. *προπυλαίων* ΜΙΔ : *προπυλάκων* Λ   6. *ἤρατο* Ι : *ἤρατο* ΣΔ : *ἤξατο* ΛΜ   7. *Πραινεστίνους* Δ : *Πραινεστηνοὺς* Σ   *πρενεστηνοὺς* ΛΜΙ   8. *ἐπετέλεσε* Π : *ἐπετέλεσεν* Λ   10. *ἐπὶ πολὺ* Π : *ἐπιπολὺ* Λ   *τῶν* ΛΜΙ : *διεγένετο* Σ : *περὶ τῶν* Δ : λείπει Σ   12. Ἐν τῇ ᾤᾳ· *περὶ τῆς τῶν ὑπάτων αὖθις ἀρχῆς ἀναλήψεως* Σ : *περὶ τῆς τῶν ὑπατικῶν αὖθις ἀρχῶν ἀναλήψεως* Μ   16. *Γενουκίου* Π : *γενκίου* Μ   *Κυιντίου* ἔγραψα (Πρβλ. ἀνωτέρω σ. 17, 16 καὶ 19,4) : *κύντου* Π : *κύντου* Μ   17-18. *Ῥωμύλον* ΣΔ : *ῥωμῦλον* ΛΙΜ   19. *Γάλλων* Δ : *γάλλων* ἄνωθεν δ᾽ αὐτοῦ *γαλατῶν* νεωτέρᾳ χειρὶ ἐν τῷ Μ, ἐρυθρὸν ἐν τῷ Λ   20. *ἀντιπέραν* ἔγραψα : *ἀντιπέρα* Π : *ἀντιπέρα* ἐκ τοῦ *ἀντίπερα* Μ   *Τίτος* ΙΔ : *τῖτος* ΛΜΣ   *Κυίντιος* ἔγραψα : *Κίντιος* Π.   22-23. *Μανίλιος* Σ : *μανήλιος* ΛΜΙ : *Μάνλιος* ὀρθῶς Δ   23-24. *ἐκεῖνόν τε* Δ : *ἐκεῖνον τὲ* Π   24. *καθεῖλε* ΙΣΔ : *καθεῖλεν* ΛΜ

κεκόσμητο τὸν τράχηλον ὁ Γάλλος, ἑαυτῷ περιθείς, ἐκ τούτου Τορκουάτος αὐτός τε προσηγορεύθη καὶ οἱ ἐξ αὐτοῦ πάντες, μηνύοντες τῇ προσηγορίᾳ τὸν ἀπὸ τοῦ λαφύρου κόσμον· τόρκυς γὰρ ἐπιχωρίως ὁ στρεπτὸς καλεῖται. Τότε μὲν οὖν φυγῇ παρέδοσαν ἑαυτούς· μετὰ δὲ ταῦτα καὶ κατεπολεμήθησαν ὑπὸ τοῦ δικτάτωρος Σουλπικίου. Καὶ Τοῦσκοι δὲ ὑπὸ Γαΐου Μαρκίου συνεκόπησαν. Ὡς ὀκτὼ δὲ χιλιάδας αἰχμαλώτων τῷ θριάμβῳ ποιήσας πλῆθος ὁ νικήσας ἐθριάμβευσε.

6. Μετὰ τοῦτο γίνεται τῶν Ῥωμαίων ἀπογραφή, καὶ τῶν Λατίνων τῶν ὑπὸ Ῥωμαίοις ἤδη γεγενημένων σώματα παρέχειν εἰς στρατιὰν οὐ βουλομένων, ἐξ αὐτῶν τῶν Ῥωμαίων πολιτῶν *συλλεγῆναι τὸ στράτευμα. Δέκα δὲ ἐξ αὐτῶν συντάξεις ἐγένοντο, λεγεῶνες κατὰ τὴν αὐτῶν καλούμεναι φωνήν, ἐκ τῆς γενομένης τῶν νέων ἐπιλογῆς· λέγερε γὰρ παρ' αὐτοῖς τὸ ἐπιλέξασθαι λέγεται. Αἱ δέκα δὲ αὗται λεγεῶνες ἑξήκοντα χιλιάδας ἀνδρῶν εἶχον, ὡς ἑκάστην εἰς ἑξακισχιλίους τελεῖν. Καὶ οὕτως ὁ τοσοῦτος συνήχθη στρατός, οὔπω τῶν ῥωμαϊκῶν πραγμάτων εἰς τὸ πᾶν ἐπιδεδωκότων. Τοσαύτη τῶν στρατιωτικῶν ἦν ἐπιθυμία καὶ τῶν πολιτῶν ἀνδρεία. Τοῦτο δὴ τὸ στράτευμα τῶν πολιτῶν ἐξάραν ἐπὶ τοὺς Γάλλους ἐχώρησεν, ἡγουμένου τῆς στρατιᾶς Φουρίου. Ἀλλά τις ἐκ τοῦ Γάλλων στρατεύματος, πρὶν ἢ συμμῖξαι τὰ πλήθη, ἐκ προκλήσεως τὸν ἄριστον τῶν Ῥωμαίων εἰς μονομαχίαν ἐκάλει. Τότε τοίνυν ἐθελοντὴς ἐξανέστη Μάρκος Οὐαλέριος ἐν τοῖς ἄρχουσι τῶν στρατιωτῶν τεταγμένος, καὶ σκευασάμενος ἐπῆλθεν. Ὁρμῶντι δὲ αὐτῷ κατὰ τοῦ πολεμίου κόραξ ἐπιστὰς κατὰ τὸν δεξιὸν ἔστη βραχίονα. Καὶ μετὰ τοῦτο οἱ μὲν ἄνδρες συνέμιξαν· ὁ δὲ κόραξ τοῖς τε ὄνυξι καὶ τοῖς πτεροῖς ἔπαιε τοῦ Γάλλου τὰ ὄμματα, κωλύων εὐθὺ τῷ πολεμοῦντι προσβλέπειν. Καὶ οὕτω πίπτει μὲν ὁ Γάλλος, τῷ Οὐαλερίῳ δὲ ὁ τῆς νίκης τρόπος δέδωκε τὴν προσηγορίαν. Κορβῖνος

*5. δικτάτωρος* ΑΣΔ : *δικτάτορος* ΙΜ 6. *Τοῦσκοι* Π : *τούσκοι* Μ *χιλιάδας* Π : *χιλιάδας ἐκ τοῦ χιλιάδες* Μ 8. *γίνεται* ΑΜΣ : *γίγνεται* ΙΔ 9. *τῶν* ΑΜΣ : λείπει ΙΔ 10. *ῥωμαίων διαγεγραμμένον εἰς ὃ ἕπεται λατίνων* Μ : *λείπει* Π *πολιτῶν* ἔγραψα : *πολιτικῶν* Π *συλλεγῆναι* Π : *συνελέγη* Δ 11. *δέκα δὲ* Δ : *δὲ δεκάδες* Π 13. Ἐν τῇ φᾳ' *λεγεὼν πλῆθος στρατιωτικὸν ἀνδρῶν ,ς ἀπὸ τοῦ λέγω τὸ ἐκλέγομαι ἤγουν ἐκλεκτῶν ἀνδρῶν* ΑΜ 14. *ἀνδρῶν* Π : *ἀνδῶν* (ρ) Λ *ἑξακισχιλίους* Π : *ἑξάκις χιλίους* Μ 17. *ἀνδρεία* ΑΜΣ : *ἀνδρία* ΙΔ 18. *ἐξάραν* Π : *ἐξᾶραν* Σ 19. *Φουρίου* Δ : *φρουρίου* Π *συμμῖξαι* ἔγραψα : *συμμίξαι* Π 22. *στρατιωτῶν* Π : *στρατιωτικῶν* Δ 26-27. *Οὐαλερίῳ* ΙΣΔ : *οὐα λερίω* (λ) ΑΜ 27. *προσηγορίαν* Π : *προσηγορίαν ἐκ τοῦ προσηγόριαν* Μ



γὰρ ὠνομάσθη, τοῦ κόρακος οὕτω κατὰ τὴν τῶν Ἰταλῶν ὀνομαζομένου φωνήν. Καὶ οὐδὲ μέχρι τούτων τὰ τῆς εὐημερίας ἔστη· ἀλλὰ τρίτον καὶ εἰκοστὸν γεγονὼς ἔτος ἐπὶ τὴν ὑπατείαν ἐκλήθη.

7. Λατῖνοι δὲ οἱ τὴν στρατολογίαν ἀρνησάμενοι καθάπερ ἔκ τινος μελέτης ἐπὶ μεῖζον ἐχώρησαν. Ἔφασκον γὰρ τὸν ἕτερον τῶν ὑπάτων ἐκ σφῶν αὐτῶν χρῆναι χειροτονεῖσθαι. Τῶν Ῥωμαίων δὲ οὐ συνθεμένων, ἀνήφθη πόλεμος μέγιστος εἴπερ τις ἄλλος· καὶ τοῦτον μὲν ἡττήθησαν οἱ Λατῖνοι, καὶ θρίαμβον ἔσχεν ἡ νίκη. Τοῖς ὑπάτοις δὲ ὡς ὑπὲρ ἔργου μεγάλου κατά τι χωρίον, ὃ Ῥῶστρα καλοῦσιν, ἀνδριάντας ἀνέστησαν. Τοῦτο δὲ τὸ χωρίον τὰς πρὸς τὸν δῆμον ἐδέχετο τῶν ὑπάτων τε καὶ τῶν λοιπῶν ἀρχόντων δημηγορίας· ἐκεῖθεν γὰρ ἐν ταῖς καταλαμβανούσαις χρείαις διελέγοντο τῷ δήμῳ. Κατὰ δὲ τὸν αὐτὸν ἐνιαυτὸν Ἀλεξάνδρεια παρὰ τοῦ Μακεδόνος Ἀλεξάνδρου συνῳκίσθη, καὶ ταύτην ἐδέξατο τὴν προσηγορίαν ἡ τῆς Αἰγύπτου πάσης μήτηρ.

8. Ἐντεῦθεν δὴ καὶ τὰ τῆς δυνάμεως ηὐξήθη Ῥωμαίοις καὶ πρὸς ἄκρον ἀφίκοντο δυναστείας. Ἀμέλει πορρωτάτω λοιπὸν αὐτοῖς οἱ πόλεμοι συνεκροτοῦντο. Ἐπὶ Σαμνίτας γοῦν, τριακοσίοις ἀπῳκισμένους σημείοις, τὴν στρατιὰν ἐκίνησαν, ἧς ἀφηγεῖτο Παπίριος Κούρσωρ, τὴν τῆς δικτατωρίας ἔχων ἐξουσίαν. Χρείας δὲ αὐτὸν ἐπὶ τὴν Ῥώμην καλούσης, τὸν ἄρχοντα τῆς ἵππου Φάβιον Μάξιμον· ἠκολούθει δὲ αὕτη, καθάπερ ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν, ἡ δυναστεία τῷ δικτάτωρι· κατέλιπεν ἐπιτροπεύειν τοῦ στρατοῦ, προαγορεύσας μὴ συμμῖξαι μήτε εἰς χεῖρας ἐλθεῖν, πρὶν ἂν ἐκ τῆς Ῥώμης ἐπανήκῃ. Λαβόμενος δὲ ὁ Φάβιος καιροῦ καὶ μικρὰ φροντίσας τῶν τοῦ δικτάτωρος ἐντολῶν, ἐμαχέσατο μὲν μετὰ λαμπρᾶς τῆς τύχης, καὶ τοὺς Σαμνίτας ἀπώλεσε πανστρατιᾷ· ἐπὶ τούτοις ψῆφον ἐπήγαγεν ὁ δικτάτωρ αὐτῷ θανάτου·

1. *τοῦ* ΑΜΙ : *[ἀπὸ] τοῦ* ΙΣ : *ἀπὸ τοῦ* Δ 3. *ἐκλήθη* ΑΙΔ : *ἐλήθη* Μ : *ἠλήθη* Σ 5. *ἐπὶ μεῖζον* ΙΣΔ : *ἐπιμεῖζον* ΑΜ 7. *εἴπερ* ΙΔ : *εἴπέρ* ΑΜΣ 9. *ῥῶστρα* ΙΔ : *ῥώστρα* ΑΜ : *Ῥώστρα* Σ 9-10. *ἀνδριάντας* ἔγραψα : *ἀνδριάντες* Π 10-11. *τῶν ὑπάτων τὲ καὶ* Π : λείπουσι Δ 12. *διελέγοντο* Π : *διαλέγοντο* Δ 14. Ἐν τῇ φχ' *Cῆ* (μέλαν) *καὶ χωριστὰ περὶ ἀλεξανδρείας* (ἐρυθρᾷ) Λ : *Cῆ περὶ ἀλεξανδρείας* Μ 20. *δικτατωρίας* Δ : *δικτατορίας* Π *ἔχων ἐξουσίαν* Π : *ἐξουσίαν ἔχων* Ι 21. *ἠκολούθει* Π : *ἠκολούθη* Δ 22. *ἡ* ΑΜ : λείπει ΙΣΔ *δικτάτωρι* Π : *δικτάτορι* Μ 23. *συμμῖξαι* ἔγραψα : *συμμίξαι* Π 25. *δικτάτωρος* ΙΔ : *δικτάτορος* ΑΜΣ 26. *ἐμαχέσατο* ἔγραψα : *ἐμαχήσατο* Π 27. *ἐπὶ* Π : *ἀλλ' ἐπὶ* Δ *αὐτῷ* ΙΣΔ : *αὐτοῦ* ΑΜ

διεσώθη δὲ τῇ τε τοῦ στρατεύματος περὶ αὐτὸν σχέσει καὶ τῇ τοῦ δήμου σπουδῇ, τοσαύτη τε ἐκινήθη κατὰ τοῦ Παπιρίου στάσις, ὡς παρὰ μικρὸν ἐλθεῖν αὐτὸν θανάτου.

9. Μετὰ ταῦτα οἱ Σαμνῖται τοὺς Ῥωμαίους, ὑπατευόντων Τίτου Βετουρίου καὶ Σπουρίου Ποστουμίου, μετὰ πολλῆς κατεπολέμησαν τῆς αἰσχύνης, καὶ κύριοι καταστάντες αὐτῶν, ἔθεντο σπονδὰς τοῖς ἡττημένοις ἀπρεπεῖς. Ἀλλ᾽ ἡ σύγκλητος καὶ ὁ δῆμος τὰς μὲν σπονδὰς παρεσάλευσαν ὡς ἐν δυσπραγίᾳ γεγενημένας, ἀνέλαβον δὲ τὴν μάχην, καὶ οἱ πρότερον νενικηκότες ἡττήθησαν, Παπιρίου τοῦ ὑπάτου τῇ μάχῃ στρατηγοῦντος. Πεσόντων δὲ τῶν πλειόνων, ἑπτὰ χιλιάδες ἀνδρῶν αἰχμαλώτων ὑπὸ τοῖς νενικηκόσιν ἐγένοντο, καὶ πρῶτος οὗτος κατὰ Σαμνιτῶν ἐδόθη τῷ Παπιρίῳ θρίαμβος. Κατὰ δὲ τὸν αὐτὸν τοῦτον χρόνον Ἄππιος Κλαύδιος κήνσωρ αἱρεῖται, ἤγουν τιμητής· ἀρχὴ δὲ ἦν αὕτη τῶν μεγίστων, καὶ ἦν ἔργον αὐτῇ τοὺς τῶν πολιτῶν διερευνᾶσθαί τε καὶ κρίνειν βίους, τιμωρίας τε κατὰ πάσης ἠδύνατο δυναστείας, καὶ οὐδεὶς ἦν ἔξω τῆς τοῦ κήνσωρος ἐξουσίας. Κύριοι δὲ ἦσαν οἱ κήνσωρες καὶ ἔργοις καινοῖς κατακοσμεῖν τὴν πόλιν. Ὁ Κλαύδιος γοῦν πηγὴν ὠχέτευσεν εἰς τὴν Ῥώμην, ἥτις αὐτῷ μέχρι νῦν ἐπονομάζεται Κλαυδία, ὁδόν τε ἐστόρεσεν, ἥτις ἐπεκλήθη καὶ αὐτὴ τῷ πεποιηκότι, Ἀππία προσαγορευθεῖσα. Οὕτως ἡ μέντοι ἐπώνυμον ἔσχε τοῦ πεποιηκότος, ἡ δὲ αὐτὸ τοὔνομα. Τούτων ὧδε πεπραγμένων, Σαμνῖται τὴν μάχην ἀνενεώσαντο, Κόντου Φαβίου Μαξίμου τὴν ὑπατείαν ἔχοντος· παῖς δὲ ἦν οὗτος τοῦ μικροῦ πρόσθεν εἰρημένου Φαβίου Μαξίμου. Οὗτος ἡττᾶται τὴν μάχην καὶ τρισχιλίους ἀποβάλλει τῶν μαχιμωτάτων. Ληγάτος δὲ αὐτῷ χειροτονηθεὶς ὁ πατὴρ Φάβιος ἐνίκησέ τε τοὺς Σαμνίτας καὶ πολλὰς αὐτῶν πόλεις εἶ-

1-2. *δὲ τῇ—ἐκινήθη* ἐν τῷ κειμένῳ Π : ἐν τῇ ῷᾳ διὰ παραπεμπτικοῦ σημείου ⸸ Λ  2. *Παπιρίου* Π : *παπϊρΐου* ἐκ τοῦ *παπειρίου* Μ  3. *παρὰ μικρὸν* Π: *παραμικρὸν* Μ  *ἐλθεῖν αὐτὸν* Π : *αὐτὸν ἐλθεῖν* Ι  4. *οἱ* Π : *δὲ οἱ* Δ  *σαμνῖται* Π : *Σαμνῖται* Σ  *Τίτου* ΙΣΔ : *τίτου* ἐκ τοῦ *τίττου* Λ : *τίττου* Μ
6. *αἰσχύνης* Π : *αἰχύνης* Δ  8. *παρεσάλευσαν* Π : *παρασάλευσαν* Μ
12. *αὐτὸν* ΜΙΣ : λείπει ΛΔ  13. *Ἄππιος* Π : *ἄπιος* Ι  *ἤγουν τιμητὴς* ἐν τῷ κειμένῳ Π : πρόσθετον νεωτέρᾳ χειρὶ ἐν τῇ ἄκρᾳ τοῦ στίχου κατὰ τὴν ῷαν Δ
15. *διερευνᾶσθαί τε* Δ : *διερευνᾶσθαι τὲ* Π  *πάσης* ΛΔ : *πάσης τὲ* ΜΙ
16. *κήνσωρος* Δ : *κήνσορος* Π  17. *κήνσωρες* Δ : *κήνσορες* Π  *καινοῖς* ΣΔ : *κενοῖς* ΛΜΙ  20-21. *ἐπώνυμον* ΙΔ : *ἐπωνύμως* ΛΜΣ  21. *αὐτὸ* ΙΣΔ : *αὐτῷ* ΛΜ  22. Ἐν τῇ ῷᾳ· *περὶ σαμνιτῶν* ΛΜ  23. *μικροῦ* Π. Γραπτέον *μικρόν*;  24. *καὶ* Π : *[καὶ]* Σ  25. *ληγάτος* Δ : *λήγατος* ΙΣ : *λήτατος* ΛΜ
26. *ἐνίκησέ τε* ΙΔ : *ἐνίκησε τὲ* ΛΜΣ



λεν. Ἔπειτα διαδέχονται τὴν ὕπατον ἀρχὴν Πούβλιος Κορνήλιος Ῥουφῖνος καὶ Μάρκος Κούριος Δεντάτος· καὶ συνάψαντες πρὸς τοὺς Σαμνίτας πόλεμον πολλαῖς τε μάχαις λαμπροὶ ὑπερέσχον καὶ παντάπασιν αὐτοὺς ἐκπολιορκήσαντες δι᾽ ἐτῶν ἐννέα καὶ τεσσαράκοντα τέλος ἔδοσαν τῷ πολέμῳ. Ὡς ἔπος δὲ εἰπεῖν, οὐδὲν τῶν ἐντὸς τῆς Ἰταλίας ἐθνῶν οὕτω τὰς ῥωμαϊκὰς δυνάμεις κατειργάσατο.

10. Πολλοῖς τε ὕστερον ἐνιαυτοῖς πλῆθος Γάλλων ἀξιομάχητον Τούσκοις τε καὶ Σαμνίταις κατὰ τῆς Ῥώμης ἐκοινώνησαν, καὶ τὸν δρόμον ἐπ᾽ αὐτὴν ποιούμενοι παρὰ Γνέου Κορνηλίου Δολοβέλλου τοῦ ὑπάτου πανωλεθρίᾳ διεφθάρησαν.

11. Ὑπὸ τούτους τοὺς χρόνους Ταραντίνοις, ἐν ὑστάτῳ τῆς Ἰταλίας πάσης κειμένοις, ἐπήχθη παρὰ Ῥωμαίων πόλεμος. Αἰτία δὲ ἦν τοῦ πολέμου παροινία καὶ ἀσέλγεια παρὰ τοῦ δήμου τοῦ Ταραντίνου κατὰ τῶν πρεσβευτῶν ἐκ τῆς Ῥώμης τετολμημένη. Ἀκμαζόντων δὲ τῶν κατὰ τὴν μάχην, Πύρρον ἐπεκαλέσαντο σύμμαχον Ταραντῖνοι, γένος μὲν τῶν ἀπ᾽ Ἀχιλλέως, βασιλεύοντα δὲ τῶν Ἠπείρων. Καταλαμβάνει τοίνυν τὴν Ἰταλίαν ὁ Πύρρος, καὶ τοῦτον πρῶτον πόλεμον ἐπολέμησαν Ῥωμαῖοι πρὸς στρατιὰν ἐξ ὑπερορίων ἥκουσαν. Ἐπὶ τούτων ὕπατος ἐχειροτονήθη Πούβλιος Οὐαλέριος Λεουιανός. Οὗτος, τοῦ Πύρρου κατασκόπους ἑλών, προσέταξεν ἅπαν αὐτοῦ ἐπιδειχθῆναι τὸ στρατόπεδον, εἶτα ἀφεθῆναι καὶ τῷ Πύρρῳ γενέσθαι μηνυτὰς ὧν ἐθεάσαντο. Μετὰ ταῦτα γίνεται μάχη, καί, τραπέντος τοῦ Πύρρου, μεταβολὴν ἔσχε διὰ τοὺς ἐλέφαντας ἡ τοῦ πολέμου τύχη. Ἀγνῶτες γὰρ ὄντες τούτων οἱ Ῥωμαῖοι τῶν θηρίων καὶ τῶν ἵππων πρὸς τὴν ἀθρόαν ὄψιν ἐκπλαγέντων, φοβηθέντες ἔσχον ἔλαττον. Κακῶς δὴ τῶν ῥωμαϊκῶν ἐκ τούτου διακειμένων, ἡ νὺξ ἔδωκε τῇ συμπλοκῇ τέλος· ᾗ χρησάμενος ὁ Λεουιανὸς ὑπεχώρησε. Κατὰ δὴ ταύτην τὴν μάχην χιλίους ὀκτακοσίους ὁ Πύρρος αἰχμαλώτους εἷλε καὶ τῶν μεγίστων αὐτοὺς ἠξίωσε τιμῶν· τοὺς δὲ πεσόντας ἐξ αὐτῶν τῶν Ῥωμαίων

2. *Ῥουφῖνος* Π : *ῥουφίνος* Μ  6. *οὕτω* Δ : *τούτω* Π  7. *τε* ΛΙ : *τὲ* ΜΣ : *δὲ* Δ  9. *Γνέου* Π. Γραπτέον *Γναίου*  11. Ἐν τῇ ῷᾳ· *περὶ τοῦ πύρρου τοῦ ἠπειρώτου* ΛΜ  13. *ἀσέλγεια* Π : *ἀσελγεια* Λ  15. *Ταραντῖνοι* Π : *ταραντῖνοι* ἐκ τοῦ *ταραντίνοι* Μ  16. *Ἠπείρων* Π. Γραπτέον *Ἠπειρωτῶν*;  17. *Ἰταλίαν* ΜΙΔ : *βασιλείαν* ΛΣ  18. *ἥκουσαν* Π : *ἥκουσαν* ἐκ τοῦ *ἤκουσαν* Λ
19. *τούτων* Π : *τούτῳ* Δ  19. *Λεουϊανὸς* ΛΜΙ : *Λευῖνος* ΙΔ  20. *τοῦ* Π : λείπει Δ  *αὐτοῦ* Π : *αὐτοῖς* Δ  23. *ἔσχε* ΙΔ : *ἔσχεν* ΛΜΣ  27. *Λεουιανὸς* ἔγραψα (Πρβλ. *ἀνωτέρω* στ. 19) : *λεουΐνιος* ΛΜΙ : *Λευῖνος* ΔΣ  *ὑπεχώρησε* ΙΔ : *ὑπεχώρησεν* ΛΜΣ  28. *εἷλε* ΙΔ : *εἷλεν* ΛΜΣ

ταφῇ παραδέδωκεν. Ἰδὼν δὲ αὐτοὺς καὶ ἐν νεκροῖς τοῖς σώμασιν φοβεροὺς πάντων τε τὰς πληγὰς ἐμπροσθίους, τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνασχὼν, ἔφη πάσης ἂν κρατῆσαι τῆς γῆς, εἰ τοιούτοις αὐτῷ χρῆσθαι στρατιώταις ἐξεγένετο.

12. Μετὰ ταῦτα συνάπτουσιν ἑαυτοὺς τῷ Πύρρῳ Σαμνῖται καὶ Λουκανοὶ καὶ Βρούττιοι· καὶ γίνεται δρόμος ἁπάντων ἐπὶ τὴν Ῥώμην πᾶν τε τὸ προστυχὸν ἢ πυρὸς ἦν ἔργον ἢ σιδήρου. Καὶ τὴν μὲν Καμπανίαν ἐξεπολιόρκησαν, ἧκον δὲ ἐπὶ τὴν Πραίνεστον, τῆς πόλεως ὀκτωκαιδεκάτῳ σημείῳ ἀφεστῶσαν. Φοβηθεὶς δὲ ὁ Πύρρος τὸν ὕπατον καὶ τὴν σὺν αὐτῷ στρατιὰν, ὄπισθεν αὐτῷ κατακολουθήσασαν, εἰς τὴν Καμπανίαν ὑπεχώρησε. Καὶ παραγίνονται πρὸς αὐτὸν πρέσβεις Ῥωμαίων, ἐξωνήσασθαι βουλόμενοι τοὺς αἰχμαλώτους. Τούτους διὰ πάσης αἰδοῦς καὶ τιμῆς ἐποιήσατο, εἰδέ τε ὡς ἔνι μάλιστα φιλοφρόνως· τὰ λύτρα τε ἀπωσάμενος, προῖκα τοὺς αἰχμαλώτους ἀπέπεμψεν. Ἕνα δὲ ἐκ τῶν πρέσβεων Φαβρίκιον οὕτως ἠγάσθη καὶ ἐθαύμασεν, ὥστε, ἐπειδὴ πενίᾳ συζῆν αὐτὸν ἔγνω, τοὺς θησαυροὺς ἐπιδείξας, τὸ τέταρτον αὐτῷ προὔθηκεν αὐτῶν τε καὶ τῆς ἀρχῆς, εἰ τὴν πρὸς αὐτὸν ἕλοιτο συνουσίαν καὶ μετὰ τῶν πολιτῶν αὐτὸν προσθείη. Καταφρονηθείσης δὲ τῆς ὑποσχέσεως, ηὐξήθη τῷ Πύρρῳ τὸ περὶ τὴν Ῥώμην τε καὶ τοὺς ἐξ αὐτῆς θαῦμα, καὶ πρέσβεις ὁ νενικηκὼς πέμπει παρὰ τῶν ἡττημένων σπονδὰς ἐπαγγέλλειν ἴσας ἑκατέροις. Τῆς δὲ πρεσβείας ἐξῆρχεν ἀνὴρ ἐπιφανὴς Κινέας. Τῶν σπονδῶν δὲ μέρος ἦν καὶ τόδε, τῆς Ἰταλίας ὅσον ἤδη ἐδέδεκτο τὸν Πύρρον, ἢ πολιορκηθὲν ἢ ἑκούσιον, τῆς αὐτοῦ δεσποτείας εἶναι.

13. Ταύτην οὐκ ἐδέξαντο τὴν συνθήκην οἱ Ῥωμαῖοι· ἀπεκρίναντο δὲ τοῖς πρέσβεσι σπονδὰς οὐδαμῶς ἔσεσθαι Πύρρῳ τε καὶ αὐτοῖς, εἰ μὴ πάσης τῆς Ἰταλίας ἐκχωρήσειε μέγα τε μηδὲν ἡγεῖσθαι σφᾶς παρεσχηκέναι Πύρρον τὸ κατὰ τοὺς αἰχμαλώτους. Τοῦτο δὲ εἶναι σημεῖον, τὸ τοὺς ἀφεθέντας ἀτίμους εἶναι παρ' αὐτοῖς ὡς ἀναξίους

3. εἰ ἐν τῷ κειμένῳ ΙΣΔ : εἰ ἄνωθεν πρόςθετον χειρὶ νεωτέρᾳ Λ : λείπει Μ
5. *Σαμνῖται* ΙΔ : *σαμνῖται* ΛΜΣ 6. *Λουκανοὶ* ΣΔ : *Λουκάνοι* ΛΜΙ 8. *Πραίνεστον* ΣΔ : *πρένεστον* ΛΜΙ 11. *εἰς* Π : *ἐκ* Μ *ὑπεχώρησε* ΜΔ : *ὑπεχώρησεν* ΛΙΣ *καὶ* Π : λείπει Μ 13. *εἰδέ τε* ἔγραψα : *εἶδε τὲ* Π : *εἶχέ τε* Δ
17. *προὔθηκεν* ΙΛΣ : *προύθηκεν* Μ : *προὔθησεν* Δ 18. *μετὰ* Π : *κατὰ* Δ *αὑτὸν* ἔγραψα : *αὐτὸν* ΛΜΣ : *αὐτῷ* ΙΔ *προςθείη* Π : *προςτεθείη* Δ
21. *ἐπαγγέλλειν* ΙΣΔ : *ἐπαγγέλειν* ΙΜ 22. *Κινέας* ΣΔ : *κιννέας* ΛΜΙ
28. *τοῦτο* Π : *τούτου* Δ 29. *ἀφεθέντας* ΙΣΔ : *ἀφέντας* ΛΜ



τῆς ῥωμαϊκῆς πολιτείας δι' ἄλλο μὲν οὐδὲν, ὅτι δὲ πολεμοῦντες ληφθεῖεν, λύσιν τε αὐτοῖς οὐκ ἔσεσθαι τοῦ κακοῦ πρὶν ἂν τῶν διεγνωσμένων ἀνδρῶν ἐκ τοῦ στρατεύματος τῶν πολεμίων λάφυρα κομίσειεν. Οὕτω μὲν οὖν ἐπανῆλθεν ἄπρακτος ἡ πρεσβεία. Πυνθανομένῳ δὲ τῷ Πύρρῳ παρὰ τῶν πρέσβεων, οἵαν εὕροιεν τὴν πόλιν, φασὶ τὸν Κινέαν εἰπεῖν πατρίδα βασιλέων ἑωρακέναι, τούτῳ δηλοῦντα ὡς οἱ τῆς πόλεως ἔνοικοι πάντες τοιοῦτοι τυγχάνουσιν οἷος αὐτὸς ὁ Πύρρος κατὰ τὴν Ἤπειρον καὶ τὴν Ἑλλάδα πᾶσαν ὑπείληπται. Ἐντεῦθεν ἐκστρατεύουσι πάλιν ἐπὶ τὸν Πύρρον ὑφ' ἡγεμόσιν ὑπάτοις Πουβλίῳ Σουλπικίῳ καὶ Δεκίῳ. Καὶ γενομένης μάχης τιτρώσκεται Πύρρος καὶ τῶν ἐλεφάντων ἀναιρεῖται τὸ πλεῖστον, πίπτουσί τε τῶν μετὰ Πύρρου χιλιάδες εἴκοσι, Ῥωμαίων δὲ πεντακισχίλιοι μόνοι. Φεύγει τοίνυν ὁ Πύρρος ἐπὶ τὴν Τάραντα.

14. Καὶ διελθόντος ἐνιαυτοῦ μετὰ ταύτην τὴν μάχην, Φαβρίκιος αὖθις ἐπιπέμπεται τῷ Πύρρῳ μετὰ στρατιᾶς, ᾧ τὸ τέταρτον τῆς βασιλείας ἦν ὑπεσχημένος. Στρατοπεδευσάμενοι δὲ ἐκ τοῦ πλησίον αὐτός τε καὶ ὁ Πύρρος ἀνέμενον τὴν μάχην. Μιᾷ δὲ τῶν νυκτῶν ἰατρός τις τῷ Πύρρῳ συνὼν προσφεύγει τῷ Φαβρικίῳ, ὑπισχνιούμενος φαρμάκῳ τὸν Πύρρον ἀναιρήσειν, εἴ τις αὐτῷ τοῦ ἔργου τούτου καρπὸς γένοιτο. Τοῦτον ὁ Φαβρίκιος δέσμιον ἐκπέμπει τῷ Πύρρῳ, σημάνας ὡς οὐκ ἔστι Ῥωμαίων δόλῳ τοὺς ἐχθροὺς, ἀλλ' ὅπλοις ἀναιρεῖν. Τότε τὸν Φαβρίκιον ὑπεραγασθεὶς ὁ Πύρρος Οὗτός ἐστιν, ἔφη, Φαβρίκιος, ὃν οὐκ ἔστιν ἀφελκυσθῆναι τοῦ πρέποντος, ὥςπερ οὐδὲ τὸν ἥλιον τῆς αὐτοῦ φορᾶς. Καὶ ταῦτα εἰπὼν ἐπὶ τὴν Σικελίαν ἀπεχώρησεν. Φαβρίκιός τε, Λουκανούς τε καὶ Σαμνίτας ἑλὼν, ὑπὲρ τῆς νίκης ἐθριάμβευσε. Δέχονται δὲ τὴν ὑπατείαν Μάρκος Κούριος Δεντάτος καὶ Κορνήλιος Λέντουλος· εὐθὺς δὲ ἐπὶ τὸν Πύρρον ἐκστρατεύουσιν. Ὁ τοίνυν Κούριος συνῆψε πρὸς αὐτὸν μάχην· καὶ τὸ μὲν στράτευμα σχεδὸν ἅπαν ἀπώλεσε τοῦ Πύρρου, αὐτὸν δὲ ἡ Τάρας

6. Ἐν τῇ ᾤᾳ· Cῆαί Λ 10. *Δεκίῳ* Δ : *Δεκείῳ* Π 11. *πίπτουσί τε* ἔγραψα : *πίπτουσι τὲ* ΛΜΙΣ : τοῦ τὲ προςτεθέντος κατόπιν Λ : *πίπτουσι τε* Δ 12. *εἴκοσι* ΙΣΔ : *εἴκοσιν* ΛΜ : 15. *μετὰ στρατιᾶς* Π : *μεταστρατιᾶς* Μ 17. *αὐτός τε* ΛΜΔ : *αὐτὸς τὲ* ΙΣ 20-21. *σημάνας* Π : *σημήνας* Σ 22. *οὗτός ἐστιν* Δ : *οὗτος ἐστὶν* Π 22-23. *ἐστιν—πρέποντος* ἐν τῷ κειμένῳ ΛΙΔ : ἐν τῇ ᾤᾳ πρόςθετα διὰ παραπεμπτικοῦ σημείου ⁒ Λ) 24-25. *ἀπεχώρησεν* Π : *ἀπεχώρησε* Δ 25. *Φαβρίκιός τε* ἔγραψα : *φαβρίκιος τὲ* ΛΜΙ : *Φαβρίκιος δὲ* ΣΔ 27. *Λέντουλος* ΣΔ : *Λεντοῦλος* ΛΜΙ 29. *αὐτὸν δὲ* ΛΜΙ : *αὐτόν τε* Δ

ὑπεδέξατο φεύγοντα, καὶ γίνεται τῆς παρεμβολῆς τῶν πολεμίων ὁ Κούριος ἐγκρατής. Ὁ δὲ τῶν πεσόντων πολεμίων ἀριθμὸς εἴκοσι τρεῖς ἦσαν χιλιάδες. Οὗτος ὁ πόλεμος ἔδωκε τῷ Κουρίῳ θρίαμβον ἐπισημότατός τε οὗτος ἐγένετο τῶν πώποτε, τεσσάρων ἐλεφάντων τότε πρῶτον ἐν τῇ Ῥώμῃ φανέντων. Τούτων οὕτω πραχθέντων καὶ τὴν Τάραντα ἀπολιπὼν ὁ Πύρρος ἐπὶ τὸ Ἄργος ἐχώρησεν, ἔνθα τὸ τέλος τοῦ βίου ἐδέξατο, πεσὼν ἐν πολέμῳ.

15. Ἐντεῦθεν Γάϊος Φάβιος Λικίννιος καὶ Γάϊος Κλαύδιος Κανίνας ὕπατοι χειροτονοῦνται τετρακοσιοστῷ καὶ ἑξηκοστῷ ⸌καὶ πρώτῳ τῆς Ῥώμης ἔτει. Κατὰ τοῦτον τὸν ἐνιαυτὸν πρέσβεις ἀπὸ τῆς Ἀλεξανδρείας πεμφθέντες πρὸς τοῦ βασιλέως Πτολεμαίου κατέλαβον τὴν Ῥώμην, αἰτούμενοι παρ' αὐτῶν εἰρήνην τε καὶ φιλίαν.

16. Ἐκδεξαμένων δὲ τὴν ὑπατείαν Κύντου Κυλληνίου καὶ Γαΐου Φαβίου Πίκτωρος, Πικένται πόλεμον ἐκίνησαν. Χρόνου δὲ διελθόντος οὐ πολλοῦ παρὰ τῶν ἑξῆς ὑπάτων Πουβλίου Σεμπρωνίου καὶ Ἀππίου Κλαυδίου κατεπολεμήθησαν ὡς καὶ θριάμβῳ γενέσθαι χώραν. Τότε δὴ καὶ πόλεις παρὰ Ῥωμαίοις ᾠκοδομήθησαν, Ἀρίμινός τε ἐν Γάλλοις καὶ Βενεβενδὸς ἐν Σαμνίῳ.

17. Μάρκου δὲ Ἀτιλίου Ῥηγούλου καὶ Λουκίου Ἰουνίου Λίβωνος ἐλθόντων ἐπὶ τὴν ἀρχήν, κατὰ Σαλλεντίνων ἐδογματίσθη πόλεμος. Ἡττήθησαν δέ, καὶ τῆς πόλεως ἐξέπεσον τῆς ἑαυτῶν, καὶ μετὰ τούτων Βρουνδισηνοί, καθ' ὧν ἁπάντων οἱ νικήσαντες ἐθριάμβευσαν.

18. Τετρακοσιοστῷ δὲ καὶ ἑβδομηκοστῷ [καὶ ἑβδόμῳ] τῆς πόλεως ἐπὶ πολὺ λοιπὸν ἦν καὶ παρὰ πᾶσι λαμπρὸν τὸ τῆς Ῥώμης

1. *γίνεται* ΛΣΔ : *γίγνεται* ΙΜ 2. *πολεμίων* Π : *πολεμίω* Μ *εικοσι τρεῖς* ΛΙΣ : *εἴκοσϊτρεῖς* Μ : *εἴκοσι τρεῖς* Δ 3-4. *ἐπισημότατός τε* Δ : *ἐπισημότατος τὲ* Π 6. Ἐν τῇ φ̅χ̅' *ἀπὸ κτίσεως Ῥώμης ἕως τελευτῆς Πύρρου τοῦ ἠπειρωτῶν βασιλέως, ἔτη* υ̅ξ̅α̅ ΛΜΣ 8. *Λικίννιος* ΛΜΙ : *Λίκινος* ΣΔ. Γραπτέον *Λικῖνος* 8-9. *Κανίνας* ΣΔ : *καμιλίας* ΛΜΙ 9. *ἑξηκοστῷ* Π : *ἑξηκοστῶ* Λ 13. *Κυλληνίου* Π. Γραπτέον *Ὀγουλνίου* 14. *Φαβίου* Π : *Φαβίου τοῦ* Δ *Πίκτωρος* ΣΔ : *πίκτορος* ΛΜΙ 15. *Πουβλίου* Δ : *Πουπλίου* Π. Ἴδε ἀνωτέρω σ. 23,1,19 καὶ κατωτέρω πολλαχοῦ *Σεμπρωνίου* ΣΔ : *ἐμπρωνίου* ΑΙ : *ἐμπρωνίου* διαγραφείσης εἶτα τῆς ψιλῆς Μ 16-17. *ὡς καὶ — ᾠκοδομήθησαν* ἐν συνεχείᾳ τοῦ κειμένου Π : ἐν τῇ φ̅φ̅ ὑπὸ τοῦ ἐρυθρογράφου διὰ παραπεμπτικοῦ σημείου ℭ Λ 17. *Ἀρίμινός τε* ΣΔ : *ἀριμῆνος τὲ* ΛΜΙ 18. *Βενεβενδὸς* ΛΜΙ : *Βενεβεντὸς* ΣΔ

19. *Ῥηγούλου* ΣΔ : *καὶ ῥηγούλου* ΛΜΙ *Λουκίου* ΣΔ : *νικίου* ΛΜΙ 19. *Ἰουνίου* ΣΔ : *υἰουνίου* ΙΜ : *ὑϊουνίου* Λ. Διορθωτέον *Ἰουλίου* 20. *Σαλλεντίνων* ΙΣΔ : *σελλαντίνων* ΛΜ 21. *ἐξέπεσον* ΛΣΔ : *ἐξέπεσαν* ΜΙ 23. *καὶ ἑβδόμῳ* προσέθηκε Δ : λείπει Π 23-24. *πόλεως* Π : *πόλεως ἔτει* Δ 24. *πᾶσι* Π : *πᾶσιν* Ι



ὄνομα. Οὔπω δὲ τῆς Ἰταλίας ἐκτὸς αὐτοῖς συνεκεκρότητο πόλεμος. Τότε τοίνυν βουληθέντες τὸ τῶν πολιτῶν γνῶναι πλῆθος, ἀπογραφὴν ἐποιήσαντο, καὶ συνηριθμήθησαν ἀνδρῶν ἐννέα καὶ εἴκοσι μυριάδες καὶ δισχίλιοι διακόσιοι τριάκοντα τέσσαρες, καίτοι παρὰ πάντα τὸν ἔμπροσθεν χρόνον οὐδὲ μιᾶς γενομένης ἀνακωχῆς πολέμου. Ἐν ταύτῃ τῇ δυνάμει τῆς πόλεως πρὸς Ἄφρους αὐτοῖς ὁ πρότερος κινεῖται πόλεμος, Ἀππίου Κλαυδίου καὶ Κύντου Φαβίου τὴν ὕπατον ἐχόντων ἀρχήν. Γίνεται τοίνυν ἐκ τῆς Σικελίας συμπλοκή, καὶ νικήσας ὁ Κλαύδιος Ἄφρους τε καὶ τὸν βασιλέα Σικελίας Ἱέρωνα καθ' ἑκατέρων ἐθριάμβευσε.

19. Τῷ δὲ ἑξῆς ἐνιαυτῷ Οὐαλέριος Μάρκος καὶ Ὠτακίλιος Κράσσος ὕπατοι μεγάλα κατὰ τὴν Σικελίαν εἰργάσαντο. Ταυρομένιον γὰρ καὶ Κατάνην καὶ πεντήκοντα πρὸς τούτοις ἑτέρας πόλεις τῇ ῥωμαϊκῇ συνῆψαν ἀρχῇ. Τρίτῳ δὲ ἔτει τοῦ πρὸς Ἄφρους πολέμου, παρασκευῆς ἐπὶ τὸν βασιλέα γενομένης Ἱέρωνα, φθάνει τὴν μάχην Ἱέρων καὶ μετὰ τῆς συγκλήτου τῆς ἐκ Συρακουσίων αἰτεῖ παρὰ τῶν Ῥωμαίων εἰρήνην ἐπὶ διακοσίοις ἀργυρίου ταλάντοις καὶ λαμβάνει. Τρέπεται τοίνυν ἡ παρασκευὴ ἐπὶ τοὺς Ἄφρους, καὶ ἡττῶνται, καὶ θριαμβεύει κατ' αὐτῶν ὁ νενικηκώς.

20. Ἔτει δὲ πέμπτῳ τοῦ προτέρου πρὸς Ἄφρους πολέμου, Γαΐου Δουελλίου καὶ Γναίου Κορνηλίου Ἀσιανοῦ καθεστηκότων ὑπάτων, ἐναυμάχησαν Ῥωμαῖοι, τοῦτο πρῶτον ἐν θαλάττῃ πολεμοῦντες· ναυσί τε ἐχρῶντο μακραῖς, ἃς αὐτοὶ μὲν ἐκάλουν ῥῶστρα ἀπὸ τοῦ τὰς πρῴρας αὐτῶν ὀρνέων τινῶν μιμεῖσθαι ῥάμφη. Λιβύρνας δὲ ἡ συν-

1. *ὄνομα* Π : *ὄνομα* Ι *ἐκτὸς* Π : *ἐκτὸς* Ι *συνεκεκρότητο* Π : *συνεκρότητο* (/κε) Λ 2. *γνῶναι* Π : *γνῶνε* Ι 3. Ἐν τῇ φ̅χ̅' *ἀνδρῶν μυριάδες ἐγγὺς λ' (λ̈ Δ) τότε ἦσαν ἐν ῥώμῃ* ΛΣ 4. *τριάκοντα τέσσαρες* ΙΣΔ : *τριακοντατέσσαρες* ΛΜ 8. *ἐκ τῆς Σικελίας* Π : *ἐν τῇ Σικελίᾳ* ὀρθῶς Δ 10. *ἑκατέρων* ΙΣΔ : *ἑκάτερων* ΛΜ 14. *τρίτῳ* Π : *τρίτων* Μ 15. *Ἱέρωνα* Π : *ἱερώνα* Μ 20. Ἐν τῇ φ̅φ̅' *ἀπὸ κτίσεως Ῥώμης ἕως ὑδ πρώτως θαλάσσης ἐπέβησαν ῥωμαῖοι καὶ ἐναυμάχησαν καρχηδονίοις ἔτη* υ̅ο̅ *ἔγγιστα* ΛΜΣ *ἔτει* Π : *ἔτει* κατὰ διόρθωσιν μεταγενεστέραν τοῦ *ἔτϊ* Λ *Ἄφρους* ΙΣΔ : *ἄφρους* κάτωθεν (ἐν τῷ Λ μέλαν) καὶ *καρχηδονίους* ἄνωθεν (ἐν τῷ Λ ἐρυθρὸν) ΛΜ 21. *Δουελλίου* Π. Γραπτέον *Δουιλλίου* *Γνέου* Π. Γραπτέον *Γναίου* *Ἀσιανοῦ* Π. Γραπτέον *Ἀσινᾶ*

22. *τοῦτο* Π. Γραπτέον *τότε* ; 22-23. *ναυσί τε* Δ : *ναυσὶ τὲ* Π 23. *ῥῶστρα* Π : *ῥωστράτας* Δ 24. *μιμεῖσθαι* Δ : *μεμίχθαι* Π *ῥάμφη* χειρὶ νεωτέρα ἐκ τοῦ *ῥάμφει* Λ : *ῥάμφει* Ι *λιβύρνας* ἔγραψα : *λιβύρνα* ΛΜΣ : *λίβυρνα* ΙΔ

ὑγίεια προσαγορεύει. Κατὰ ταύτην δὴ τὴν ναυμαχίαν ἐξ ἀπάτης ὑπὸ τοῖς πολεμίοις ἐγένετο Κορνήλιος· κρατῶν γὰρ τοῖς ὅπλοις, δόλῳ τῶν Ἄφρων, ὡςανεὶ σπονδὰς αἰτούντων, τῆς αὐτῶν ἐπιβὰς τριήρους συνελήφθη τε καὶ δεθεὶς ἀπήχθη. Δουέλλιος δὲ, ἐπεξελθὼν τῇ μάχῃ, νικᾷ τὸν στρατηγὸν τῶν πολεμίων μίαν τε καὶ τριάκοντα ναῦς αἱρεῖ, δέκα καὶ τέσσαρας ἑτέρας καταποντίσας· ἑπτὰ δὲ χιλιάδας αἰχμαλώτων ὑφ' ἑαυτὸν κατεστήσατο, τρεῖς δὲ διέφθειρε χιλιάδας, σιδήρῳ τε καὶ τοῖς ὕδασι νίκην κατεπράξαντο Ῥωμαῖοι, ἧς ἄλλην οὐχ ἡγήσαντό λαμπροτέραν οὐδ' αὖ χαριεστέραν, ἐπειδήπερ, ὡμολογημένου τοῦ κατὰ γῆν κράτους, κρείττους καὶ κατὰ θάλασαν ὤφθησαν, ἐν ᾧ πλεονεκτεῖν Ἄφροι τὸ πρὶν ἐνομίζοντο. Γαΐου δὲ Ἀκκυλίου Φλώρου καὶ Λουκίου Σκηπίωνος διαδεξαμένων τὴν ὑπατείαν, Κορσίκη καὶ Σαρδὼ, πάντα τρόπον πολιορκηθεῖσαι πολύ τε ἀποβαλοῦσαι πλῆθος ἀνδρῶν αἰχμαλώτων, ὑπὸ τοῖς ὑπάτοις γενομένων, ἀφορμὴ θριάμβου τοῖς νενικηκόσιν ἐγένοντο.

21. Λουκίου δὲ Μανιλίου Βούλσωνος καὶ Μάρκου Ἀτιλίου Ῥηγούλου τὴν ἀρχὴν ὑποδεξαμένων, ἐκ τῆς Ἰταλίας τε καὶ Σικελίας ἐπὶ τὴν Ἀφρικὴν ὁ πόλεμος μετηνέχθη. Καὶ γίνεται ναυμαχία καρτερὰ πρὸς Ἀμιλκάρην, τὸν τῶν πολεμίων στρατηγὸν, καθ' ἣν τέσσαρες καὶ ἑξήκοντα ναῦς οἱ Ῥωμαῖοι καταποντίσαντες, τὸν μὲν στρατηγὸν ἔτρεψαν εἰς φυγὴν, ἀπέβαλον δὲ καὶ αὐτοὶ δύο καὶ εἴκοσι ναῦς. Ἀποβάντες δὲ εἰς τὴν πολεμίαν γῆν, εὐθὺς μὲν Κλυπέαν εἷλον, ἐπιφανῆ τῶν Ἄφρων πόλιν, δρόμος δὲ ἦν αὐτοῖς ἐπὶ τὴν Καρχηδόνα. Πᾶν δὲ ὃ διῆλθον ἐκπολιορκήσαντες ἐχωρίσθησαν. Καὶ Μανίλιος μὲν εἰς τὴν Ῥώμην ἐπανῆκε μετὰ λαμπρᾶς νίκης, ἑπτὰ καὶ εἴκοσι χιλιάδας αἰχμαλώτων ἄγων· Ῥήγουλος δὲ προσμείνας ἔτι τοῖς πράγμασιν, ἐπανέλαβεν ἐπ' αὐτῆς τῆς Ἀφρικῆς τὴν μάχην, τρισὶ τῶν

1. *τοῖς* Π : *τῆς* Μ  4. *Δουέλλιος* Π. Γραπτέον *Δουίλιος*  8. *ὕδασι* ΙΣΔ : *ὕδασιν* ΛΜ  *νίκην* ἔγραψα : *νίκην τὲ* Π : *νίκην τότε* Δ  10. *ᾧ* ΛΜΙ : *ᾗ* ΣΔ
11. *Ἀκκυλίου* ΛΜΙ : *Ἀκυλίου* Σ : *Αἰκυλίου* Δ  12. *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΛΜΣ  *Κορσίκη* Π. Γραπτέον *Κορσική*  16. *Μανιλίου* Π. Γραπτέον *Μαλλίου*  17. *τε* ἔγραψα : *τὲ* ΛΜΣ : λείπει ΙΔ  19-20. *τέσσαρας* Π : *τέσσαρας* χειρὶ νεωτέρᾳ ἐκ τοῦ *τέσσαρες* Λ  20. *ἑξήκοντα* Π : *ἐξήκοντα* Λ  22. *Κλυπέαν* Δ : *κλϊπέαν* Π  23. *Ἄφρων* ΛΣΔ : *ἄφων* ΛΜ  23-24. *Καρχηδόνα* ΙΣΔ : *καλχηδόνα* ΛΜ  24-25. *Μανίλιος* ΙΣΔ : *μανήλιος* ΛΜ. Γραπτέον *Μάλλιος*
25. *μετὰ λαμπρᾶς* Π : *μεταλαμπρᾶς* Μ  26. *Ῥήγουλος* Π : *Ῥηγοῦλος* Δ  *προσμείνας* Π : *προμείνας* Λ  27. *αὐτῆς* ΙΣΔ : *αὐτοῖς* ΛΜ



πολεμίων στρατηγοῖς ἀντιπαραταξάμενος· περιγενόμενος δὲ τοῦ πολέμου ὀκτώ τε καὶ δέκα χιλιάδας ἀνελὼν καὶ πέντε ζώντων ἑλὼν ἐλέφαντάς τε ὀκτὼ καὶ δέκα λῃσαμένος, ἑβδομήκοντα καὶ τέσσαρας πόλεις ὑποσπόνδους τῇ Ῥώμῃ συνῆψε, τάξας αὐταῖς οὓς ἐβουλήθη φόρους. Ἐνταῦθα λοιπὸν οἱ Ἄφροι, κεκμηκότων αὐτοῖς τῶν πραγμάτων, εἰρήνην αἰτοῦσιν· οὐ δεξαμένου δὲ τὴν ἱκετείαν Ῥηγούλου, συνθήκας δὲ ἀπαιτοῦντος τῶν σπονδῶν ἀπηνεῖς τε καὶ τραχείας, Λακεδαιμονίους ἐπεκαλέσαντο πρὸς συμμαχίαν· καὶ πέμπεται αὐτοῖς στράτευμα λακωνικὸν ὑφ' ἡγεμόνι Ξανθίππῳ. Συγκροτηθέντος οὖν πολέμου, μεταπίπτει τῷ Ῥηγούλῳ τὰ τῆς τύχης· ἡττᾶται γὰρ ἧτταν οὕτω μεγάλην, ὥστε πάσης μὲν τῆς στρατιᾶς δισχιλίους διαφυγεῖν μόνους, αὐτὸν δὲ μετὰ πεντακοσίων ὑπὸ τοῖς πολεμίοις γενόμενον δεθῆναι, τρεῖς δὲ χιλιάδας ἀνδρῶν μαχιμωτάτων πεσεῖν.

22. Ἀλλ' οἱ μετὰ τούτοις ὕπατοι Μάρκος Αἰμίλιος Παῦλος καὶ Σέρβιος Φούλβιος τὴν μὲν κατὰ τὸν πόλεμον δυσπραγίαν ἐπηνώρθωσαν, οὐδὲ αὐτοὶ δὲ συμφορᾶς ἔξω κατέστησαν. Τριακοσίαις γὰρ ναυσὶ συμμίξαντες τοῖς Ἄφροις ὑπερέσχον, ὥστε τέσσαρας μὲν καὶ ἑκατὸν νῆας καταποντίσαι, τριάκοντα δὲ μετὰ τῶν ἐν αὐταῖς μαχομένων ἑλεῖν, ἀνδρῶν δὲ δεκαπέντε χιλιάδας τὰς μὲν διαφθεῖραι, τὰς δὲ αἰχμαλώτους ἀπάγειν, τὸ δὲ στράτευμα τὸ οἰκεῖον πᾶσι χρήμασι τοῖς ἐκ τῆς λείας πλουσιώτατον ἀποφῆναι. Οὐδὲν δ' ἂν ἐκώλυσε δουλεῦσαι τότε τοὺς Ἄφρους, εἰ μὴ λιμὸς ἐπελθὼν προαπήγαγε τὴν στρατιὰν τοῦ τέλους. Ἐν οὕτω λαμπροῖς τοῖς κατὰ τὴν μάχην καὶ μετὰ τοσούτων λαφύρων ἐπανιόντα τὸν στόλον σχεδὸν ἅπαντα θαλάσσιος κλύδων κατειργάσατο, καὶ τοσοῦτον ἐγένετο ναυάγιον, ὥστε ἐκ τετρακοσίων καὶ ἑξήκοντα καὶ τεσσάρων νηῶν ὀγδοήκοντα μόνας ἀθλίως διασωθῆναι. Οὐδείς τε χρόνος τοσοῦτον χειμῶνα μνήμῃ παρέδωκεν ἀνθρώπων οὐδὲ τοσοῦτον σύμπτωμα θαλάσσιον. Οὐ μὴν τοῦτο παρέλυσε τὸ φρόνημα τὸ ῥωμαϊκὸν, οὐδὲ ἀφεῖλέ τι τῆς ἀκμῆς,

1-2. *τοῦ πολέμου* Π : *τῷ πολέμῳ* Δ  2. *ὀκτώ τε* ἔγραψα : *ὀκτὼ τὲ* ΛΜΙ : *ὀκτὼ δὲ* ΣΔ  3. *ἐλέφαντάς τε* Δ : *ἐλέφαντας τὲ* Π  *λῃσάμενος* Π : *λῃΐσάμενος* ἐκ τοῦ *λῃΐσάμενοι* Λ  8. *ἐπεκαλέσαντο* Π : *ἀπεκαλέσαντο* Μ  13. *χιλιάδας* Π : *μυριάδας* Δ  14. *Ἀλλ' οἱ* Δ : *ἄλλοι* Π  15. *Σέρβιος* ΣΔ : *ἐρβίλιος* ΛΜ : *ἐυβίλιος* Ι
17. *συμμίξαντες* Π : *συμμίξαντι* προςτεθέντος ἐν τέλει ς ὑπὸ τῆς δευτέρας χειρὸς Λ  18. *νῆας* Π : *νήας* Μ  20. *ἀπάγειν* Π : *ἐπάγειν* Ι  21. *ἀποφῆναι* Π : *ἀποφῆναι* Σ  21-22. *δουλεῦσαι* ΛΜΙ : **δουλοῦσαι* Σ : *δουλοῦσθαι* Δ
26. *ἑξήκοντα* Π : *ἐξήκοντα* Λ  *νηῶν* ΛΜΙ : *νεῶν* ΣΔ  29. *ἀφεῖλέ τι* ΙΔ : *ἀφεῖλε τὶ (τί Λ)* ΛΜΣ

παραχρῆμά τε διακοσίας ἐπισκευασάμενοι ναῦς, πρὸς ἑτέρας παρεσκευάσαντο ναυμαχίας.

23. Οἱ οὖν ἑξῆς ὕπατοι, Γνέος Σερβίλιος Σκηπίων καὶ Γάϊος Σεμπρώνιος Βλέσος ἑξήκοντα καὶ διακοσίας ναυσὶν ἐπὶ τὴν Ἀφρικὴν ἐξέπλευσαν. Καί τινας μὲν τῶν πόλεων εἶλον· λαφύρων δὲ ἐμπλήσαντες τὰς ναῦς ἀπῄεσαν· ἀλλὰ καὶ τούτοις χειμὼν διέφθειρε τὴν εὐπραγίαν, ναυαγίῳ περὶ τὸ πλεῖστον τοῦ στόλου χρησαμένοις. Αὗται τοίνυν αἱ συμφοραί, ἀλλήλαις ἐφάμιλλοί τε καὶ συνημμέναι, τὴν περὶ τὸ ναυμαχεῖν προθυμίαν ἐξέβαλον τῶν Ῥωμαίων, δόγμα τε ἡ σύγκλητος ἐποιήσατο μηκέτι ταῖς κατὰ θάλατταν χρῆσθαι μάχαις μηδὲ ναῦς ἔχειν πλὴν ἑξήκοντα φυλακῆς ἕνεκα τῶν ἰταλικῶν ὁρίων πρὸς τὰς ἔξωθεν ἐκ θαλάττης ἐφόδους.

24. Λουκίου δὲ Καικιλίου Μετέλλου καὶ Γαΐου Φουρίου Πλακίδου πρὸς τὴν ὑπατείαν κληθέντων, γίνεται μάχη περὶ τὴν Σικελίαν πρὸς Ἄφρους, ἑνὸς τῶν ὑπάτων Μετέλλου στρατηγοῦντος. Ἐν ταύτῃ νικᾶται τῶν Ἄφρων ὁ στρατηγός, τριάκοντα μὲν καὶ ἑκατὸν ἐλέφαντας ὁπλίτας ἄγων, στρατιὰν δὲ πασῶν τῶν ἔμπροσθεν μεγίστην. Καὶ πίπτουσι μὲν εἴκοσι χιλιάδες ἀνδρῶν, ἐλέφαντες δὲ ἐζωγρήθησαν παρ' αὐτὸν μὲν τὸν πόλεμον ἓξ καὶ εἴκοσι, τοὺς λοιποὺς δὲ οἱ συμμαχοῦντες αὐτῷ Νουμίδαι πλανωμένους συνέλαβόν τε καὶ παρεστήσαντο τῷ ὑπάτῳ. Μετὰ θαυμαστῆς οὖν πομπείας εἰς τὴν Ῥώμην εἰσῆλθε, τῶν ἐλεφάντων μεγέθει τε καὶ πλήθει τὰς ὁδοὺς πληρούντων.

25. Οὗτος δὲ ὁ πόλεμος ἠνάγκασε τοὺς Ἄφρους καταφυγεῖν ἐπὶ τὸν Ῥηγοῦλον, ὃν ἐν δεσμοῖς εἶχον, παρεκάλουν τε αὐτὸν συμπρεσβεῦσαι τοῖς ὑπ' αὐτῶν πρὸς Ῥωμαίους ἐκπεμπομένοις, ὥστε αὐτοῖς γενέσθαι σπονδὰς καὶ τοὺς ἑκατέρων αἰχμαλώτους ἀντιδοθῆναι τοῖς

1. *παραχρῆμά τε* ΔΜ : *παραχρῆμα τὲ* ΑΙΣ 1-2. *παρεσκευάσαντο* Π : *παρασκευάσαντο* Μ 3. *οὖν* Π : *οὒν* Μ *ἑξῆς* ΣΔ : *ἐξῆς* ΑΜΙ *Γνέος* Π : *γνεος* Ι. Γραπτέον *Γναῖος* *Σκηπίων* Π : *Κηπίων* ὀρθῶς Δ 4. *ἑξήκοντα* Π : *συνεξήκοντα* Ι 6. *διέφθειρε* Π : *διέφθειρεν* ἐκ τοῦ *διέφθειρε* Μ 7. *χρησαμένοις* ΣΔ : *χρησαμένους* ΑΜΙ 8. *ἀλλήλαις* ἔγραψα : *ἀλλήλοις* Π 9. *ἐξέβαλον* ΣΔ : *ἐξέβαλεν* ΑΜΙ 11. *μηδὲ* ἔγραψα : *μὴδὲ* Μ : *μήτε* ΙΣΔ *ἑξήκοντα* ΙΣΔ : *ἐξήκοντα* ΑΜ *ἰταλικῶν* Ι : *Ἰταλῶν* Π 13. *Καικιλίου* ΣΔ : *καικιλίου* ἐκ τοῦ *καὶ κιλίου* διαξεσθείσης τῆς βαρείας τοῦ *καὶ* Μ : *καὶ κιλίου* ΙΑ *Μετέλλου* ΣΔ : *μετέλου* ΑΜΙ *Φουρίου* ΜΣΔ : *φρουρίου* ΑΙ 14. *γίνεται* Π : *γίγνεται* Ι 20. *συνέλαβόν τε* ΣΔ : *συνέλαβον τὲ* ΑΜΙ 21. *θαυμαστῆς* Π : *θαυμαστῆς* ἐκ τοῦ *θαυμαστοῖς* Μ 24. *Ῥηγοῦλον* Π. Γραπτέον *Ῥήγουλον*



οἰκείοις. Τὸ μὲν οὖν πρῶτον ἀντιβολοῦντος αὐτοὺς ὁ Ῥηγοῦλος, καίτοι δέσμιος ὤν, ἀπειθεῖτο. Νικηθεὶς δὲ τῇ προσεδρείᾳ, παραγίνεται μὲν εἰς τὴν Ῥώμην· δοθέντος δὲ αὐτῷ λόγου, οὐδὲν ἠνέσχετο κατὰ Ῥωμαῖον ὑπατικὸν καὶ ἄνδρα πρᾶξαι, φάσκων ἀφ' ἧς ἡμέρας ὑπὸ τοῖς πολεμίοις ἐγένετο τῆς ῥωμαϊκῆς ἐκπεπτωκέναι πολιτείας. Οὔτε οὖν τὴν γαμετὴν ἐδέξατο περιπλοκὰς ζητήσασαν, καὶ σύμβουλος γίνεται Ῥωμαίοις μὴ προσίεσθαι τοὺς Ἄφρους ἐπαγγέλλοντας εἰρήνην· περικεκόφθαι γὰρ αὐτοῖς τὰς δυνάμεις· καὶ μήτε αὐτὸν μήτε τοὺς συνειλημμένους αὐτῷ ἀξιοχρέους ὑπειλῆφθαι χρῆναι πρὸς τοσούτων αἰχμαλώτων, τῶν ἐξ Ἀφρικῆς κατεχομένων, ἀντίδοσιν. Ταῦτα συμβουλεύσας ἐκράτησε, πάντων τῶν αὐτοῦ τὰ τοῦ δήμου προσθείς. Οὐ δὴ καὶ τοῦτο γενναιότατον τῶν ἔργων· τῶν γὰρ πρεσβευτῶν ἀπράκτων ἀποπεμφθέντων, συναπῆλθε καὶ ὁ Ῥηγοῦλος· καὶ βουλομένων αὐτὸν τῶν πολιτῶν κατέχειν, οὐκ εἶξεν, ὡς οὐ δυνάμενος πρέπον ἀξίωμα πολίτῃ Ῥωμαίῳ ἔχειν μετὰ τὴν παρὰ τοῖς Ἄφροις δουλείαν. Τοσοῦτον ἦν τὸ φρόνημα τῶν Ῥωμαίων· ἐπεὶ τὸ τῶν ὅρκων, οὓς ἐδεδώκει τοῖς Ἄφροις, ἦ μὴν ἐπανήξειν εἰ μὴ καταπράξαι τὰς σπονδάς, οὐδὲν ἐκώλυε μένειν. Ὁ γὰρ ἀρχιερεὺς ὁ καλούμενος παρ' αὐτοῖς ποντίφεξ οὐκ εἶναι τὸ πρᾶγμα ἐπιορκίαν ἐκ τῶν ἱερῶν ἐψηφίσατο νόμων. Ἐπανελθὼν οὖν πρὸς τὴν Ἀφρικὴν πολυτρόποις ἐξεδόθη κολάσεσιν, ἃς ἄλλοι ἄλλως ἐκδεδώκασιν, καὶ παρ' αὐταῖς τὸν βίον ἐτελεύτησεν.

26. Ἐντεῦθεν Πούβλιος Κλαύδιος Ποῦλχρος καὶ Γάϊος Ἰούνιος ὕπατοι χειροτονηθέντες ἐπίσης ἐδυσημέρησαν. Κλαύδιος μὲν γὰρ οὐκ ἀφοσιωσάμενος, ἣ ὁ νόμος ἐνεανιεύσατο κατὰ τῶν συμβόλων· αὐσπίκεια καλοῦσιν αὐτὰ οἱ Ῥωμαῖοι· σημεῖα δὲ ἦν ταῦτα δαιμονίοις διδόμενα τοῖς ἐπὶ πόλεμον ἐξιοῦσι· καὶ διὰ τοῦτο χεῖρον ἔσχεν ἐν τῇ τῶν Ἄφρων μάχῃ, ὥστε ἐκ διακοσίων εἴκοσι νηῶν, αἷς ἐναυμάχει, τριάκοντα διασωθῆναι καὶ αὐτὸν μετ' αὐτῶν φυγεῖν, τὰς δὲ ἄλλας

1. *Ῥηγοῦλος* Π. Γραπτέον *Ῥήγουλος* 3-4. *Ῥωμαῖον* Π : *ῥωμαῖον* ἐκ τοῦ *ῥωμαίων* Μ 4. *καὶ* ΑΜΙ : λείπει ΣΔ 7. *προσίεσθαι* ἔγραψα : *προσέσθαι* Π 11. *αὐτοῦ* ΙΔ : *αὑτοῦ* ΑΜΣ 13. *Ῥηγοῦλος* Π. Γραπτέον *Ῥήγουλος* 15. *Ῥωμαίῳ* ΙΣΔ : *ῥωμαίων* ΑΜ 17. *ἦ* ΙΣΔ : *ἢ* ΑΜ *καταπράξαι* Π : *καταπράξαιτο* Μ 21. *ἐκδεδώκασιν* Π : *ἐκδεδώκασι* Δ 22. *Πούβλιος* ἔγραψα. Ἴδε ἀνωτέρω σ. 23, 1. 19 καὶ ἀλλαχοῦ : *Πούπλιος* Π 25. *αὐτὰ* ΣΔ : *αὐ*[τ] ΑΜ : *αὐτὸν* Ι *οἱ* Π : λείπει Α *δαιμονίοις* Π : *δαιμονίως* Δ 26. *ἐξιοῦσι* Π : *ἀξιοῦσι* Μ *διὰ τοῦτο* ΙΣΔ : *διατοῦτο* ΑΜ *ἔσχεν* Π : *ἔσχον* Ι 27. *τῶν* Π : *κατὰ τῶν* Δ *νηῶν* Π : *νεῶν* Δ 28. *αὐτὸν* Π : *αὐτὸν* ἐκ τοῦ *αὐτῶν* Μ

τὰς μὲν καταποντισθῆναι, τὰς δὲ ὑπὸ τοῖς πολεμίοις μετὰ τῶν ἐμπλεόντων πολεμιστῶν γενέσθαι. Ὁ δὲ ἕτερος ὕπατος ναυαγίῳ τὰς ναῦς ἀποβαλὼν τὸ στράτευμα σῶον ἐπανήγαγεν· ἐπ' αὐτῇ γὰρ τῇ χέρσῳ ἐφθάρησαν αἱ νῆες, ὥστε τοὺς ἄνδρας ἄνευ πόνου τῆς γῆς ἐφικέσθαι.

27. Μετὰ τούτους ὕπατοι γίνονται Γάϊος Λουτάτιος Κάτουλος καὶ Αὖλος Ποστούμιος Ἀλβῖνος. Τρίτον δὲ ἦν τοῦτο καὶ εἰκοστὸν ἔτος τοῦ πρὸς Ἄφρους πολέμου. Κάτουλος τοίνυν τὰ πρὸς Ἄφρους ἐκλεξάμενος, τριακοσίαις ναυσὶν ἐπ' αὐτοὺς ἐχώρησεν· ἐκεῖνοι δὲ τετρακοσίαις ἀντεπαρετάξαντο. Τοσούτῳ δὲ οὔτε πώποτε ἔμπροσθεν στόλῳ ἀλλήλοις οὗτοι οἱ δῆμοι συνέμιξαν. Ἀλλὰ καὶ αὐτὸς ὁ Κάτουλος ἐπέβη τῆς νεὼς ἀρρωστῶν· τέτρωτο γὰρ ἐν τῇ προτέρᾳ μάχῃ. Συμμιξάντων δὲ αὐτῶν περὶ τὸ Λιλύβαιον τῆς Σικελίας, τοσαύτην ἐπεδείξαντο Ῥωμαῖοι τὴν προθυμίαν, ὡς ἑξήκοντα μὲν ναῦς πολεμίας ἑλεῖν, πέντε δὲ καὶ εἴκοσι καὶ ἑκατὸν καταποντίσαι, δύο δὲ καὶ τριάκοντα χιλιάδας αἰχμαλώτων ἀνδρῶν λαβεῖν, τρισκαίδεκα δὲ διαχρήσασθαι, καὶ πάντα δὲ τὸν πλοῦτον· ἐτύγχανον γὰρ αὐτὸν ἐναποθέμενοι τὰς ναυσί, τῷ μεγέθει τοῦ στόλου πεποιθότες, οἱ πολέμιοι· ἑαυτῶν ποιήσασθαι. Τῶν Ῥωμαίων δὲ αὐτῶν δυοκαίδεκα νῆες διεφθάρησαν. Ὁ μὲν οὖν πόλεμος ὁ αὐτὸς συνέστη πρὸ ἓξ εἰδῶν Μαρτίων κατὰ τοὺς Ῥωμαίους. Ἄφροι δὲ παραχρῆμα τὴν εἰρήνην ἐπήγγειλαν, καὶ ταύτην ἔδοσαν οἱ Ῥωμαῖοι, λαβόντες τοὺς αἰχμαλώτους τοὺς ὑπὸ τοῖς Ἄφροις ὄντας· ὧν δὲ αὐτοὶ κατεῖχον, προσκομιζόντων λύτρα τῶν Ἄφρων, οὐκ ἐδέξαντο, ἀλλὰ καὶ αὐτοὶ προῖκα διαφῆκαν· εἰ δέ τινες ἦσαν ὑπὸ δεσπόταις ἐκ δημοσίας πράσεως γεγενημένοι, τούτων ἐψηφίσαντο τὰ τιμήματα καταβληθῆναι τοὺς ἐωνημένους. Καὶ οὐδὲ ταῦτα τοὺς Ἄφρους ἐζημίωσαν, ἀλλὰ τὸν ταμίαν τῶν δημοσίων χρημάτων ἀπαριθμῆσαι προσέταξαν.

28. Μεταστάσης δὲ τῆς ἀρχῆς ἐπὶ Κύντον Λουτάτιον καὶ Αὖλον Μάλλιον ἐπηνέχθη Φαλίσκοις πόλεμος· πόλις δὲ ἦν αὕτη τῆς Ἰταλίας δυνατωτάτη· καὶ τούτων ἑκάτεροι κατώρθωσαν ὕπατοι ἐν ἓξ ταῖς

*3. αὐτῇ γὰρ τῇ* Π : *αὐτῷ γὰρ τῷ* Ι 6 (καὶ 11). *Κάτουλος* Σ : *Κατοῦλος* Π 7. *Αὖλος* ΣΔ : *αὐτός* ΛΜΙ 8. *Κάτουλος* ἔγραψα : *Κατοῦλος* Π *τὰ* ἔγραψα : *τὰς* Π 10. *ἀντεπαρετάξαντο* Π : *ἀντιπαρετάξαντο* Δ 14. *ἑξήκοντα* Π : *ἐξήκοντα* Λ 21. *παραχρῆμα* Π : *παραχρῆμα* ἐκ τοῦ *παρὰ χρῆμα* Μ 21-22. *ἐπήγγειλαν* Π : *ἐπήγγειλαν* τῇ δευτέρα χειρὶ ἐκ τοῦ *ἀπήγγειλαν* Λ 23. *αὐτοὶ* Π. Γραπτέον *αὐτοὺς* ; 25. *δεσπόταις* Π : *δεσπόταις* ἐκ τοῦ *δεσπότες* Μ 31. *κατώρθωσαν* ΣΔ : *κατόρθωσαν* ΛΜ



πάσαις ἡμέραις, μυρίων μὲν καὶ πεντακισχιλίων πεσόντων ἐκ τοῦ στρατεύματος τῶν πολεμίων, τοῖς δὲ λοιποῖς εἰρήνης δοθείσης ἐφ' ἡμίσει τῆς γῆς, ὃ Ῥωμαίοις ἔδοξε γενέσθαι.

## ΒΙΒΛΙΟΝ Γ'.

1. Οὕτω μὲν οὖν ὁ πρὸς Ἄφρους ἔληξε πόλεμος εἴκοσι καὶ τρισὶ παρεκταθεὶς ἐνιαυτοῖς. Ῥωμαῖοι δὲ ἤδη γνωριμώτατοι παρὰ πᾶσι γεγενημένοι πρέσβεις ἀπέστειλαν πρὸς τὸν Αἰγύπτου βασιλεύοντα Πτολεμαῖον, ὑπισχνούμενοι συμμαχίαν αὐτῷ κατὰ τοῦ Σύρων βασιλεύοντος Ἀντιόχου. Ὁμολογήσας δὲ Πτολεμαῖος τῇ πρεσβείᾳ χάριν οὐκ ἐδεήθη τῆς συμμαχίας, ἐπειδήπερ εἶχεν ἤδη πέρας ἐκεῖνος ὁ πόλεμος. Κατὰ δὲ τὸν αὐτὸν χρόνον τῆς Σικελίας βασιλεὺς Ἱέρων, δυνατώτατος τῶν πώποτε, εἰς τὴν Ῥώμην ἀφίκετο, μεθέξων τῆς τελουμένης αὐτόθι θέας, σῖτόν τε εἴκοσι μυριάδας ἐδωρήσατο τῷ δήμῳ.

2. Ἡνίκα δὲ Ἱέρων κατέλαβε τὴν Ῥώμην, Λούκιος Κορνήλιος Λεντοῦλος καὶ Φούλβιος Φλάκκος ὕπατοι κατὰ Ῥηγούλων ἤραντο πόλεμον ἐντὸς τῶν ἰταλικῶν ὁρίων, καὶ νίκης γενομένης ἐθριάμβευσαν. Καρχηδόνιοι δὲ, παρεγχειροῦντες ταῖς σπονδαῖς, τοὺς Σάρδους, οὓς αἱ συνθῆκαι Ῥωμαίοις ὑπακούειν ἠβούλοντο, παρηρέθιζον καὶ ἔπειθον ἀντιτάττεσθαι. Τοῦ δὲ πράγματος εἰς φῶς κεχωρηκότος, πρεσβεία Καρχηδονίων παραγενομένη τὴν εἰρήνην ἐκύρωσεν.

3. Ὑπάτων τε ἀναδειχθέντων Τίτου Μαλλίου Τορκουάτου καὶ Γαΐου Ἀνιλίου Βούσκλου, θρίαμβος μὲν γίνεται κατὰ Σάρδων, μάχῃ κρατηθέντων· μετὰ δὲ τοῦτο πᾶς πανταχόθεν ἐπέπαυτο πόλεμος, καρτερά τε ἦν ἡσυχία, οἵαν οὐδενὶ χρόνῳ συνέβη γενέσθαι πλὴν ἐπὶ Νουμᾶ Πομπιλίου, ὃς μετὰ Ῥωμύλον ἐβασίλευσε.

1. *πάσαις* Π : *πάσαις* ἐκ τοῦ *πᾶσαις* Μ 3. *ἡμίσει* Π : *ἡμίσει* ἐκ τοῦ *ἡμῖν* Μ 8. *σῖτόν τε* Δ : *σῖτον τὲ* Π 7. *τῆς* Π : *ὁ τῆς* Δ 11. *Λεντοῦλος* Π : *λεντοῦτος* Λ. Γραπτέον *Λέντουλος* *Ῥηγούλων* Π : *Λιγύρων* Δ : Διορθωτέον *Λιγύων* *ἤραντο* ΛΜΙ : *ἤραντο* ΣΔ 13. *ἰταλικῶν* Ι : *Ἰταλῶν* Π *γενομένης* Π : *γεναμένης* διορθωθὲν εἰς *γενομένης* Μ 13-14. *ἐθριάμβευσαν* Π : *ἐθριάβευσαν* Δ 14. *παρεγχειροῦντες* Π : *παρεχειροῦντες* 18. *τὲ* ΛΜΙ : *δὲ* Δ : λείπει Σ *Τίτου* ΣΔ : *τίττου* ΛΜΙ *Τορκουάτου* ΣΔ : *τορκουάτου* μετὰ διάξεσιν τοῦ πρώτου καὶ ἕκτου γράμματος Μ : *κορκουάτου* ΛΙ 19. *Βούσκλου* Π. Διορθωτέον *Βούλβου* 22. *Ῥωμύλον* ΙΣΔ : *ῥωμύλον* ΛΜ

4. Διαδεξαμένων δὲ τὴν ὑπατείαν Λουκίου Ποστουμίου Σαβίνου καὶ Γνέου Φαβίου Κεντουμάλου, πόλεμος συνέστη πρὸς Ἰλλυριοὺς Ῥωμαίοις. Καὶ πρότερον μὲν αἱ πλεῖσται τῶν πόλεων, μετὰ δὲ ταῦτα καὶ οἱ βασιλεῖς τῆς χώρας ἐκείνης τοῖς ὑπάτοις ἑαυτοὺς ἐνεχείρισαν.

5. Μετὰ τούτους, Λουκίου Αἰμιλίου διαδεξαμένου τὴν ἀρχήν, πλῆθος Γάλλων ὑπὲρ ἀριθμὸν ἐπὶ τὴν Ἰταλίαν ὥρμησε, καὶ τὰς Ἄλπεις ἤδη· ὅρος δέ ἐστι τοῦτο Γάλλους Ἰταλῶν διορίζον· ὑπερβεβήκεσαν. Ἔνθα δὴ πάσης ὁμοῦ τῆς Ἰταλίας ἐγένετο σύμπνοια, καὶ συνεκροτήθη συμμαχικὸν εἰς ὀκτὼ μυριάδας, ὡς ὁ τῆς ἱστορίας συγγραφεὺς ἐξηγήσατο Φάβιος, αὐτὸς καὶ τοῦ πολέμου κεκοινωνηκώς. Ἀλλ' οὐ δεηθεὶς τῶν συλλεγέντων ἐπικούρων Αἰμίλιος μετὰ τῆς αὐτοῦ στρατιᾶς κατειργάσατο τοὺς πολεμίους, ὥστε τεσσαράκοντα χιλιάδας πεσεῖν καὶ τὴν νίκην διὰ τοῦτό τοι ψήφῳ τῆς πόλεως ἐθριάμβευσεν.

6. Ἐπὶ πλεῖστον δὲ ἡσυχάσαντες οἱ Γάλλοι πολλοῖς ὕστερον χρόνοις πάλιν ἤραντο πόλεμον ἐντὸς τῆς Ἰταλίας πρὸς τοὺς Ῥωμαίους. Ὕπατοι δὲ ἦσαν Μάρκος Κλαύδιος Μάρκελλος καὶ Γνέος Κορνήλιος Σκιπίων. Ἀλλ' οὐκ εἰς μακρὸν κατελύθησαν. Μάρκελλος γάρ, ἵππον οὐ πολλὴν ἄγων, νικᾷ τε αὐτοὺς μάχῃ καὶ τὸν βασιλέα Βουριδόμαρον αὐτοχειρὶ διεχρήσατο. Ἐφεξῆς δέ, μετὰ τοῦ συνυπάτου τὸν πάντα κατορθώσας πόλεμον καὶ τὴν Μεδιόλανον ἑλὼν πολύν τε συναγείρας χρημάτων ὄγκον, ἐθριάμβευσεν, ἐπὶ τῶν ὤμων τὰ λάφυρα φέρων τοῦ πεσόντος βασιλέως.

7. Μάρκου δὲ Μινουκίου Ῥούφου καὶ Πουβλίου Κορνηλίου τὴν ἀρχὴν ἐκδεξαμένων, πρὸς Ἴστρους ἐγένετο πόλεμος, ἐπειδὴ τὸν ῥωμαϊκὸν ἐλῄστευον στόλον, καὶ πάντες ὑπὸ Ῥωμαίοις ἐγένοντο. Ὑπὸ δὲ τὸν αὐτὸν τοῦτον χρόνον δεύτερος ἐπῆλθε Ῥωμαίοις ἐξ Ἀφρικῆς

1. *Σαβίνου* Π. Διορθωτέον *Ἀλβίνου* 2. *Γνέου* Π. Διορθωτέον *Γναίου* *Ἰλλυριοὺς* Π : *Ἰλλιριοὺς* Δ 5. *Αἰμιλίου* ΣΔ : *αἰμιλίου* ΑΜΙ 6. *Γάλλων* Π : *γάλλων κάτω μέλαν, γαλατῶν* ἄνωθεν ἐρυθρὸν Μ 7. Ἐν τῇ ᾤᾳ· *ὅτι τὰ ὄρη τῶν ἄλπεων διορίζουσιν ἰταλίαν ἐκ γαλατῶν* ΑΜΣ 8. *σύμπνοια* Π : *σύμπνια* Μ 10. *αὐτὸς καὶ* ΜΙ : *καὶ αὐτὸς* ΛΣΔ 11. *Αἰμίλιος* ΣΔ : *αἰμίλιος* ΑΜΙ *αὐτοῦ* ΣΔ : *αὐτοῦ* ΑΜΙ 13. *καὶ τὴν νίκην διὰ τοῦτο (διὰ τοῦτό* Μ : *διατοῦτό* Α*)* Π : *καὶ διὰ τοῦτο τὴν νίκην* Ι *τοι ψήφω* ΑΜ : *τῇ ψήφῳ* ΙΣΔ

15. *ἤραντο* ΑΜΙ : *ἦραντο* ΣΔ 16. *Γνέος* Π. Διορθωτέον *Γναῖος* 17. *Σκιπίων* ΙΣΔ : *σκηπίων* Α : *σκηπίων* ἐκ τοῦ *σκηπίον* Μ Ἐν τῇ ᾤᾳ· *οὗτος πατὴρ ἦν τοῦ τὴν ἀφρικὴν δουλώσαντος ὕστερον σκηπίωνος* ΑΜΣ *μακρὸν* ἔγραφα· *μακρὰν* Π 18-19. *Βουριδόμαρον* Π. Διορθωτέον *Βιριδόμαρον* 20. *ἑλὼν* Π : *ἔλων* Α



πόλεμος, Ἀννίβου Καρχηδονίοις στρατηγοῦντος. Ὃς ἔτη γεγονὼς εἴκοσι τὴν Σαγοῦντον, Ἱσπανίας πόλιν, Ῥωμαίοις ὑπόσπονδον οὖσαν, ἐνεστήσατο πολιορκεῖν, καὶ συλλέξας στρατιὰν εἰς τεσσαρεσκαίδεκα μυριάδας ἀνδρῶν, εἴχετο τοῦ ἔργου. Τοῦτο γνόντες οἱ Ῥωμαῖοι πρεσβείαν ἐπ' αὐτὸν στέλλουσι, προαγορεύοντες αὐτῷ τῆς πολιορκίας ἀπέχεσθαι. Μὴ πεισθέντος δέ, πρεσβεύονται πρὸς Καρχηδονίους, ὥστε ἀποστῆσαι τὸν Ἀννίβαν τῆς κατὰ τῶν οἰκείων ἐφόδου. Οἱ δὲ τὸ καθῆκον ὑπερβάντες θρασύτερον ἀπεκρίναντο. Παρασυρομένου δὲ τοῦ χρόνου, μετὰ πολλὴν τὴν προσεδρείαν λιμῷ νικηθέντες οἱ Σαγούντιοι σφᾶς αὐτοὺς ἐξέδωκαν καὶ μεγίστης ἐπειράθησαν ὠμότητος.

8. Ἐνεκρίθη τοίνυν παρὰ Ῥωμαίοις πρὸς Ἄφρους πόλεμος, ὅτε σαφῶς ἀπεδείχθησαν παραβεβηκότες τὰς σπονδάς. Καὶ Πούβλιος μὲν Κορνήλιος Σκιπίων μετὰ τοῦ στρατεύματος ἔδραμεν ἐπὶ τὰς Ἱσπανίας, Τιβέριος δὲ Σεμπρώνιος Γράκχος ἐπὶ τὴν Σικελίαν. Ὁ τοίνυν Ἀννίβας, καταλιπὼν ἐν Ἱσπανίαις τὸν ἀδελφὸν Ἀσδρούβαν, ὑπερῆλθε τὸν Πυρρηναῖον καὶ τὰς καλουμένας Ἄλπεις, αὐτῷ πρώτῳ γενομένας τότε βασίμους. Εἵπετο δὲ αὐτῷ στρατιὰ τὴν Ἰταλίαν ἰόντι πεζῶν ὀκτὼ μυριάδες καὶ ἱππέων δέκα ἐλέφαντές τε ἑπτὰ καὶ τριάκοντα. Προϊὼν δὲ προσελάμβανεν ὅσοις ἂν τύχοι. Λίγουρες γοῦν καὶ Γάλλοι προσέθεντο. Ταῦτα γνοὺς Σεμπρώνιος Γράκχος ἀπὸ τῆς Σικελίας μετέστησε τὴν στρατιὰν εἰς Ἀρίμινον.

9. Καὶ πρότερον μὲν ἀπήντησε τοῖς Ἄφροις ὁ Σκιπίων καὶ συμμίξας ἧττόν τε ἔσχε, τραπέντος αὐτῷ τοῦ στρατοῦ, καὶ τιτρώσκεται καὶ εἰς τὴν παρεμβολὴν καταφεύγει. Γράκχος δὲ συνεπλάκη μὲν καὶ

1. *πόλεμος* Π : *πόλεμος* ἐκ τοῦ *πόλεμον* Α 2. *Σαγοῦντον* ΙΣΔ : *σάγουντον* ΑΜ *Ἱσπανίας* ΣΔ : *Ἰσπανίας* ·/. ἐν δὲ τῇ ᾤᾳ ἐρυθροῖς γράμμασι *Γρ. ζακανθίαν* Μ : *ἰσπάνη* διωρθωμένον εἰς *ἰσπανίας* · ἐν δὲ τῇ ᾤᾳ ἐρυθροῖς γράμμασι *Γρ. ζακανθίαν* Α : *ἰσπάνην* Ι 3. *στρατιὰν* διώρθωσε Δ : *στρατείαν* Π *τεσσαρεσκαίδεκα* ΑΜΣ : *τεσσαρασκαίδεκα* ΙΔ 9. *Σαγούντιοι* Π : *Σαγούντιοι* Δ 10. *αὐτοὺς* Π : *αὑτοὺς* Ι 12. *Πούβλιος* Π : *πούβλιος* ἐκ τοῦ *πούβριος* Α 13. *Σκιπίων* ἔγραφα ἐνταῦθα καὶ πανταχοῦ κατωτέρω : *Σκηπίων* Π : λείπει Δ

13-14. *Ἱσπανίας* ΙΣΔ : *ἰσπανίας* ΑΜ 15. *Ἱσπανίαις* ΙΣΔ : *ἰσπανίαις* ΑΜ *Ἀσδρούβαν* Π : *ἀσδρούβαν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἀνδρούβαν* Α 16. *Πυρρηναῖον* Μ : *πυρρηναῖον* ἐκ τοῦ *πυρρηνέον* Μ *Ἄλπεις* Π : *Ἄλπεις [Ποινὰς]* Δ

18. *ἐλέφαντές τε* ΣΔ : *ἐλέφαντες τὲ* ΑΜΙ 20. *Γράκχος* ΙΔ : *βράγχος* ΑΜΣ

21. *Ἀρίμινον* ΙΣΔ : *ἀρίμηνον* ΑΜ 22. *ὁ Σκηπίων* ΙΑΜ ἐν δὲ τῇ ᾤᾳ ἐρυθρᾷ ·/. *ὁ πατὴρ τοῦ σκηπίωνος (σκηπίονος* Μ*)* ΑΜ : *ὁ πατὴρ τοῦ σκηπίωνος* ἐν τῷ κειμένῳ ΣΔ 23. *ἧττόν τε* ἔγραφα : *ἧττον τὲ (τε Δ)* Π 24. *Γράκχος* ΙΔ : *βράκχος* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *γράκχος* Α : *βράκχος* ἐκ τοῦ *βράγχος* Σ

αὐτὸς περὶ τὸν Τέβριον, μετὰ δὲ τῆς ἴσης ἀνεχώρησε τῷ Σκιπίωνι τύχης. Ἐκ τούτου πολλοὶ τῶν Ἰταλῶν παρέδοσαν ἑαυτοὺς τοῖς πολεμίοις. Λαμπρός τε ὢν ἐκ τούτων Ἀννίβας τῶν προοιμίων συνέμιξε τῷ Φλαμινίῳ τὴν ὑπατικὴν στρατιὰν ἄγοντι, καὶ αὐτόν τε καὶ τὸ σὺν αὐτῷ στράτευμα διεχρήσατο, ἐγγὺς πέντε καὶ εἴκοσι χιλιάδας, τῶν λοιπῶν φυγῇ σωθέντων. Πέμπεται λοιπὸν πρὸς αὐτὸν ὁ Φάβιος, δικτάτωρ ἀναδειχθείς· ὃς ἀεὶ μὲν ἀναβαλλόμενος τὴν μάχην, ἀεὶ δὲ αὐτὴν προσδοκᾶσθαι ποιῶν, ἀνέκοπτε τῆς πολλῆς ὁρμῆς τὸν στρατηγὸν τῶν Ἄφρων, καί ποτε ἀπροσδόκητος εἰς χεῖρας ἐλθὼν ἐκ τοῦ κρείττονος ἀνεχώρησε.

10. Πεντακοσιοστοῦ δὲ καὶ τεσσαρακοστοῦ τῆς πόλεως ἔτους Αἰμίλιος Παῦλος καὶ Πούβλιος Τερέντιος Βάρρων, ὕπατοι χειροτονηθέντες, ἐδέξαντο παρὰ τοῦ Φαβίου τὴν ἐξουσίαν. Ὃς χωριζόμενος τῶν πραγμάτων συνεβούλευε τοῖς ὑπάτοις τοῖς αὐτοῦ κατακολουθεῖν περὶ τὴν μάχην ἴχνεσι καὶ τὴν συμπλοκὴν ἀναβάλλεσθαι, κωλύοντες μὲν ἐπιφερομένους, συμμῖξαι δὲ παραιτουμένους· τοῦτον γὰρ εἶναι μόνον τῆς νίκης τῆς κατ᾽ ἐκείνου τὸν τρόπον. Ἀτιμάσας δὲ ταύτην Βάρρων τὴν παραίνεσιν εἱλκύσθη πρὸς συμπλοκήν, τοῦ Παύλου κωλύοντος καὶ τῶν τοῦ Φαβίου λόγων ἀναμιμνήσκοντος. Συνέμιξαν τοίνυν ἐν Κάνναις, χωρίῳ τῆς Ἀπουλίας, καὶ νικᾶται τῶν ὑπάτων ἑκατέρων τὸ στράτευμα. Πίπτει μὲν γὰρ ἕτερος τῶν ὑπάτων, ὁ Παῦλος, ὑπατικοὶ δὲ ἄνδρες καὶ πραιτώριοι ἀμφὶ τοὺς εἴκοσι, συγκλητικοὶ δὲ σὺν τοῖς ἀπαχθεῖσιν αἰχμαλώτοις τριάκοντα, ἐπιφανεῖς δὲ ἄλλως τριακόσιοι, τοῦ δὲ λοιποῦ τῶν μαχομένων πλήθους πεζοὶ μὲν τεσσαράκοντα χιλιάδες, ἱππέων δὲ τρεῖς καὶ πεντακόσιοι. Τῆς δὲ ἀντιπάλου στρατιᾶς ἔπεσον μὲν καὶ αὐτῆς οὐκ ὀλίγοι, σχεδὸν δὲ ἅπαντες ἐγένοντο τραυματίαι. Οὗ δὴ καὶ θαυμάσαι τοὺς Ῥωμαίους ἐστὶ τοῦ φρονήματος.

1. *περὶ* ΑΜΙ : *ἐπὶ* ΣΔ  *Σκιπίωνι* ΙΔ : *Σκιπίωνι* ΑΜΣ  3. *λαμπρός τε* ΑΜΔ : *λαμπρὸς τε* ΙΣ  4. *αὐτόν τε* Δ : *αὐτὸν τὲ* Π  5. *εἴκοσι* ΣΔ : *κ'* Α : $\overline{κ}$ Μ : *ὀκτὼ* Ι  *χιλιάδας* Π : *χιλιάδας* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *χιλιάδες* Α  6. Ἐν τῇ ᾤᾳ· *οὗτος ὁ φάβιος ἐστὶν ὃν παράλληλον τίθησι πλούταρχος περικλεῖ τῷ ἀθηναίῳ* ΑΜ  9. *Ἄφρων* Π : *ἄφρων* Μ  *καί ποτε* ΜΙ : *καὶ ποτὲ* ΑΣΔ  *χεῖρας* Π : *χείρας* Μ  11-12. *Αἰμίλιος* ΣΔ : *αἰμίλιος* ΑΜΙ  12. *Βάρρων* Δ : *βάρων* Π  15. *ἀναβάλλεσθαι* Π : *ἀναβάλεσθαι* Μ  16. *συμμῖξαι* ἔγραψα : *συμμίξαι* Π  18. *παραίνεσιν* Π : *παρένεσιν* Μ  19. *λόγων* Π : *λόγον* Α  20. *Κάνναις* Π : *κάνναις* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *κένναις* Α  *χωρίῳ* Π : *χωρίω* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *χωρίον* Α  24. *τοῦ δὲ* Π : *τοῦ δὲ* ἐρυθρᾷ ἀντὶ τοῦ τὸ πρῶτον γραφέντος μέλανι τοῦ Α  26. *αὐτῆς* ΜΙΔ : *αὐτοῖς* ΑΣ



Τοσαύτῃ γὰρ ἐμπεσόντες συμφορᾷ, οἵαν οὔτε ὁ παρελθὼν ἤνεγκε χρόνος οὔτε ὁ μέλλων οἴσειν ἠλπίζετο, μνήμην εἰρήνης οὐκ ἐποιήσαντο. Τὸ μέντοι μέγεθος ἐδείχθη τοῦ κακοῦ τῷ καινῷ τῆς στρατολογίας· τότε γὰρ δὴ πρῶτον ἐλευθερίας ἀξιωθέντες οἰκέται εἰς στρατείαν ἐξεδόθησαν.

11. Συνέβη δέ, ὅπερ ἐν τοῖς τοιούτοις φιλεῖ, τοὺς ὑπηκόους συμμεταστῆναι τῇ τύχῃ καὶ τὰς ὑπὸ Ῥωμαίοις οὔσας ἰταλικὰς πόλεις τὸν Ἀννίβαν ὑποδέξασθαι. Ἀννίβας δέ, γαυριῶν τοῖς κατωρθωμένοις, ἐξουσίαν ἔδωκε τοῖς Ῥωμαίοις ἐξωνήσασθαι τοὺς αἰχμαλώτους. Οἱ δὲ ἔφασαν οὐχ ἡγεῖσθαι πολίτας, οἳ μεθ᾽ ὅπλων ὄντες ὑπὸ τοῖς πολεμίοις ἐγένοντο. Τότε τοίνυν ποικίλως αὐτοὺς πρότερον αἰκισάμενος ἅπαντας διεχρήσατο, τρεῖς τε μεδίμνους δακτυλιδίων εἰς ἀπόδειξιν τῶν ἀνῃρημένων τοῖς Καρχηδονίοις ἐξέπεμψεν, οὓς τῶν νεκρῶν ἐξεῖλε σωμάτων. Ἐν τούτοις δ᾽ ὄντος Ἀννίβου, Σκιπίωνες ἄμφω τὸν Ἀσδρούβαν ἐν ταῖς Ἰσπανίαις διατρίβοντα· ἦν δὲ οὗτος ἀδελφὸς Ἀννίβου, καταλελειμμένος μετὰ πολλῆς στρατιᾶς, ὥστε τὰς Ἰσπανίας προσνεῖμαι τοῖς Ἄφροις· καλοῦσιν εἰς μάχην. Καὶ νικῶσι νίκην λαμπράν· αἰχμαλώτους γὰρ εἷλον μυρίους ἄνδρας, ἀνεῖλον δὲ εἴκοσι καὶ πέντε χιλιάδας. Τοῦτο γνόντες οἱ Καρχηδόνιοι πέμπουσιν ἑτέραν αὐτῷ στρατιάν, δώδεκα μὲν πεζῶν χιλιάδας, τέσσαρας δὲ ἱππέων, ἐλέφαντας δὲ εἴκοσι.

12. Τετάρτῳ δὲ ἔτει τῆς διατριβῆς Ἀννίβου τῆς ἐν Ἰταλίᾳ Μάρκελλος ὕπατος χειροτονηθεὶς περὶ τὴν Νῶλαν· πόλις δὲ ἐστιν αὕτη τῆς Καμπανίας· συνεκρότησε πρὸς τὸν Ἀννίβαν πόλεμον, καὶ νικᾷ τῇ μάχῃ. Ἡττηθεὶς δὲ ὅμως ἐκεῖνος περὶ τὰς πόλεις ἐστρέφετο, τὰς μὲν πολιορκίᾳ, τὰς δὲ φόβῳ τῆς ῥωμαϊκῆς ἀφιστὰς δυναστείας. Τῆς γοῦν Ἀπουλίας καὶ Καλαβρίας καὶ Βρούττων τὰς πλείστας ὑφ᾽ ἑαυτῷ κατεστήσατο· τοσαύτη τε ἦν τῶν κατ᾽ αὐτὸν ἡ λαμπρότης, ὥστε καὶ Φίλιππον τῶν Μακεδόνων βασιλέα, πρεσβείαν ὡς αὐτὸν στείλαντα,

2. *μέλλων* ΑΙΣ : *μέλλον* Μ : *μέλλον* (ω suprascr.) Δ  3. *καινῷ* ΑΜΣ : *καιρῷ* ΙΔ  7. *οὔσας* ΙΣΔ : *οὖσας* ΑΜ  8. *δὲ* Π : *δὲ'* Α  10. *οὐχ* Π : *οὐχ'* Α  *τοῖς* Π : *τοῖς* ἐκ τοῦ *τῆς* Μ  11. *αὐτοὺς* Π : *αὐτοὺς* ἐκ τοῦ *αὐτοῦ* Α  *αἰκισάμενος* ΣΔ : *αἰκισάμενοι* ΑΜΙ  12. *διεχρήσατο* ΣΔ : *διεχρήσαντο* ΑΜΙ  14. *δ'* Π : *δ'* πρόσθετον ἐρυθρὸν Α  *Σκιπίωνες* ΙΔ : *Σκηπίωνες* ΑΜΣ  *Ἀσδρούβαν* Π : *ἀσδρούβαν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἀνδρούβαν* Α  15. *Ἰσπανίαις* ΙΣΔ : *ἰσπανίαις* ΑΜ  16. *Ἰσπανίας* ΙΣΔ : *ἰσπανίας* ΑΜ  25. *Νῶλαν* ἔγραψα : *νώλαν* ΣΔ : *νόλαν* ΑΜΙ  27. *ὑφ'* ἔγραψα : *ἐφ'* Π

ὑποσχέσθαι κατὰ Ῥωμαίων. Ὅρον δὲ εἶχεν ἡ ὑπόσχεσις τόνδε· καθαιρεθέντων εἰς ἅπαν Ῥωμαίων, σύμμαχον καὶ αὐτὸν αὐτοῖς γενέσθαι πρὸς τὸν κατὰ τῶν Ἑλλήνων πόλεμον. Ἀλλὰ συνέβη τοὺς ἐκ Μακεδονίας πρέσβεις τῷ ῥωμαϊκῷ περιπεσεῖν στρατῷ, καὶ οὕτως ἐγένετο δήλη τοῖς Ῥωμαίοις ἡ μακεδονικὴ πρεσβεία. Πέμπουσι τοίνυν Λεβῖνον μὲν ἐπὶ Μακεδόνας, Τορκουάτον δὲ ἐπὶ Σαρδόνα. Ἤδη γάρ τοι καὶ αὐτὴ Ῥωμαίων ἀποστᾶσα προςκεχωρήκει τοῖς Ἄφροις.

13. Τέσσαρας τοίνυν ἑνὶ χρόνῳ πολέμους ἐν διαφόροις τόποις εἶχον οἱ Ῥωμαῖοι· ἐν Ἰταλίᾳ πρὸς Ἀννίβαν, [ἐν Ἱσπανίαις πρὸς τὸν ἀδελφὸν αὐτοῦ Ἀσδρούβαν], ἐν Μακεδονίᾳ πρὸς Φίλιππον, ἐν Σάρδοις πρὸς τοὺς ἐκ τῆς χώρας ἐκείνης καὶ πρὸς Ἀσδρούβαν, ἕτερον Ἄφρον στρατηγόν. Τοῦτον Μάλλιος Τορκουάτος ἐζώγρησε μάχῃ, πρότερον ἀποβαλόντα τῆς στρατιᾶς τῶν μὲν πεσόντων δέκα χιλιάδας, τῶν δὲ ἀπαχθέντων αἰχμαλώτων εἰς πεντακοσίους τε καὶ χιλίους. Καὶ οὕτω Σάρδονες μὲν Ῥωμαίοις ἀπεδόθησαν· ὁ δὲ τοῦ πολέμου στρατηγὸς Μάλλιος ζῶντα τὸν Ἀσδρούβαν εἰςήγαγε τοῖς Ῥωμαίοις. Οὕτω τοίνυν κεχωρηκότων, νικᾷ καὶ Λεβῖνος τὸν Φίλιππον, καὶ οἱ Σκιπίωνες ἐν Ἱσπανοῖς τόν τε Ἀσδρούβαν καὶ Μάγωνα, καὶ αὐτὸν ἀδελφὸν Ἀννίβου.

14. Δεκάτῳ δὲ ἔτει τῆς ἐπὶ τὴν Ἰταλίαν εἰςόδου τῶν Ἄφρων Σουλπίκιος μὲν καὶ Φούλβιος ἦσαν ὕπατοι, Ἀννίβας δὲ ἐπὶ τὴν πόλιν ἰὼν ἐν τετάρτῳ τῆς πόλεως ἐστρατοπεδεύσατο σημείῳ, τινὰς τῶν ἱππέων μέχρις αὐτῶν προεκπέμψας τῶν πυλῶν. Τῶν δὲ ὑπάτων μετὰ τῆς στρατιᾶς, ἐπειδὴ τὸν τῆς πόλεως ἤκουσαν κίνδυνον, ἐπιστάντων, φοβηθεὶς ἐπὶ τὴν Καμπανίαν ἐχώρησεν. Ἐντεῦθεν τὰ ἐν Ἱσπανίαις μεταπίπτει πράγματα, καὶ Σκιπίωνες ἄμφω πίπτουσι μαχόμενοι πρὸς Ἀσδρούβαν οἱ πολλάκις αὐτοῦ κεκρατηκότες· τῷ στρατεύματι δὲ οὐδεμία συνέβη βλάβη, ἐπεὶ καὶ οἱ στρατηγοὶ τύχῃ μᾶλλον ἡττήθησαν

1. ὑποσχέσθαι Π : συμμαχικὴν ὑποσχέσθαι Δ κατὰ τὰ προταθέντα ὑπὸ Σ
6. Τορκουάτον Π : Τορκούατον Δ Σαρδόνα ΙΣΔ : Σαρδόνας ΑΜ
τοι Σ : τι Π 8. Ἐν τῇ ᾤᾳ μέγα Cn ΑΜ : λείπει ΙΣΔ ἑνὶ Π : ἐνὶ Δ
9. ἐν Ἱσπανίαις—Ἀσδρούβαν προςέθηκε Δ : λείπουσι Π 11. Ἄφρον ΑΜΙ : Ἄφρον ΙΔ 12. Τορκουάτος ΜΙΣ : Τορκούατος ΑΔ 13. ἀποβαλόντα ΙΣΔ : ἀπο-ο-βαλλόντα ΑΜ 16. Μάλλιος ΙΣΔ : μάλιος ΑΜ 17. σκηπίωνες ΑΜ : σκηπίωνες ΙΣΔ 18. Ἱσπανοῖς ΙΣΔ : ἰσπανοῖς ΑΜ 20. Ἄφρων Π : Ἀφρῶν Σ

25. Ἱσπανίαις ΣΔ : ἰσπανίαις Μ : ἱσπανίαις τοῦ ἱ προςτεθέντος ἐρυθροῦ Α : σπανίαις Ι 26. Σκιπίωνες Π : Σκηπίωνες Α 27-28. οὐδεμία Π : οὐδὲ μία Σ



ἢ τῇ περὶ τὸν πόλεμον ῥᾳθυμίᾳ. Ὑπὸ δὲ τούτους αὐτοὺς τοὺς χρόνους Μάρκελλος τὸ πλεῖστον ἀνεκτήσατο τῆς Σικελίας ὑπὸ τοῖς Ἄφροις ἤδη γεγενημένον, καὶ τὰς Συρακούσας εἷλε πολιορκίᾳ, πολύν τε πλοῦτον ἐκεῖθεν προςεκτήσατο τοῖς Ῥωμαίοις. Τότε καὶ Λεβῖνος, πρὸς τὸν Φίλιππον καὶ πολλὰς τῶν ἑλληνικῶν πόλεων καὶ πρὸς Ἄτταλόν τινα Ἀσίας βασιλέα σπεισάμενος, ἐπὶ τὴν Σικελίαν ὡρμήθη. Ἄννωνα δὲ τὸν Καρχηδονίων στρατηγὸν καὶ τὴν Ἀκραγαντίνων πόλιν ἑλών, ἣν ἐφρούρει, τὸν μὲν ἅμα τοῖς ἐπισημοτάτοις τῶν αἰχμαλώτων ἐπὶ τὴν Ῥώμην ἐξέπεμψε, τεσσαράκοντα δὲ πόλεις τῆς Σικελίας ἑκούσας ἑλών, ἓξ δὲ καὶ εἴκοσι πολιορκίᾳ, οὕτως οἴκαδε ἐπανῆλθε· καὶ τότε πάσης ἐγένοντο Ῥωμαῖοι τῆς Σικελίας δεσπόται. Λαμπρὸς οὖν ἐπὶ τούτοις ἐπανῆλθεν ὁ Λεβῖνος. Τούτων ἐν Σικελίᾳ πραττομένων, Ἀννίβας ἐν Ἰταλίᾳ τῷ τε ὑπάτῳ Φουλβίῳ καὶ τῷ στρατεύματι προςπεσὼν ἐξαπιναίως, ὀκτὼ χιλιάδας ἀναιρεῖ καὶ τὸν ὕπατον.

15. Ἐν δὲ ταῖς Ἱσπανίαις, μετὰ τὴν τῶν Σκιπιώνων τελευτὴν οὐκ ὄντος ἡγεμόνος τῷ στρατεύματι, πέμπεται Σκιπίων ἕτερος, ὁ καλούμενος Πούβλιος, παῖς Σκιπίωνος τοῦ πρότερον ἐκεῖ πεπολεμηκότος, γεγονὼς μὲν ἔτη τέσσαρα καὶ εἴκοσι, τῶν δὲ κατ' αὐτὸν καὶ τῶν ἐφεξῆς ἁπάντων ἄριστος. Οὗτος εὐθὺς ἐκ προοιμίων αἱρεῖ Καρχηδόνα τὴν ἐν Ἱσπανίαις, ὁμώνυμον τῇ μητροπόλει τῆς Ἀφρικῆς, αἱρεῖ δὲ καὶ τὸ χρυσίον ἅπαν καὶ τὸν ἄργυρον καὶ τὴν λοιπὴν τοῦ πολέμου παρασκευὴν τῶν Ἄφρων, αὐτόθι κειμένην ὡς ἐν ὀχυρῷ χωρίῳ, καὶ τοὺς ὁμήρους δὲ σύμπαντας, οὓς ἐκ τῶν ἐπισήμων γενῶν ἐτύγχανεν Ἀννίβας εἰληφώς, τούτοις τὴν τῆς γῆς ἀσφαλιζόμενος κτῆσιν. Γίγνεται δὲ καὶ τοῦ Μάγωνος ἐγκρατής, ὃς ἦν ἀδελφός, ὡς ἔφην, Ἀννίβου. Ῥωμαῖοι μὲν οὖν τὴν λείαν ἅπασαν καὶ Μάγωνα δεξάμενοι λαμπρὰν ἦγον ἑορτήν. Ὁ δὲ Σκιπίων, προσαγόμενος τοὺς Ἱσπανούς, ἅπασιν ἀπέδωκε τοὺς ὁμήρους, καὶ τούτῳ πάντας ἐποίησε τοὺς Ἱσπανοὺς ὥςπερ

2. Ἐν τῇ ᾤᾳ· τοῦτον τὸν μάρκελλον παράλληλον τίθησι πλούταρχος πελοπίδα τῷ θηβαίῳ ΑΜΣ 3. ἤδη ἐν συνεχείᾳ τοῦ κειμένου Π : ἤδη πρόςθετον τῇ δευτέρᾳ χειρὶ ἄνωθεν Α Συρακούσας ΙΣΔ : συρρακούσας ΑΜ 6. Ἄτταλόν ΙΣΔ : ἄτταλόν ΑΜ 7. Ἄννωνα ΜΙΔ : Ἄννωνα ΑΣ τὸν Π : τὸν ἐκ τοῦ τῶν Α
9. ἐξέπεμψε ΙΣΔ : ἐξέπεμψεν ΑΜ 15. Ἱσπανίαις ΣΔ : ἰσπανίαις ΑΜΙ Σκιπιώνων ΙΔ : Σκηπιώνων ΑΜΣ 16. Ἐν τῇ ᾤᾳ· οὗτος δὲ (οὗτός ἐστι Μ : οὗτός ἐστι Σ) σκηπίων ὁ υἱὸς τοῦ προρρηθέντος σκηπίωνος ὁ τὸν ἀννίβαν τέλεον τροπωσάμενος ΑΜΣ Σκιπίων ΙΔ : Σκηπίων ΑΜΣ 17. Σκιπίωνος ΙΔ : Σκηπίωνος ΑΜΣ 20. Ἱσπανίαις ΣΔ : ἰσπανίαις ΑΜΙ αἱρεῖ Π : αἵρει Δ 27. Σκιπίων ΙΔ : Σκηπίων ΑΜΣ Ἱσπανοὺς ΣΔ : ἰσπανοὺς ΑΜΙ 28. Ἱσπανοὺς ΣΔ : ἰσπανοὺς Ι : ἰσπανοὺς τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ ἰσπάνους Α

ἐκ μιᾶς γνώμης προςθέσθαι Σκιπίωνί τε καὶ Ῥωμαίοις. Μετὰ ταῦτα συμμίξας τοῖς Ἄφροις τρέπει μὲν τὸν Ἀσδρούβαν εἰς φυγήν, πολὺν δὲ καὶ ἐκ ταύτης τῆς μάχης ἀνείλετο πλοῦτον.

16. Οὕτω τῶν ῥωμαϊκῶν διακειμένων, Φάβιος ὕπατος καταστὰς ὑπηγάγετο Τάραντα, ἐν ᾗ πάντα τὸν ἐκ τοῦ πολέμου πλοῦτον παρακαταθέμενος ἐτύγχανεν Ἀννίβας. Ἀνεῖλε δὲ καὶ τὸν ὑφηγεμόνα αὐτοῦ Καρθάλωνα, καὶ πέντε καὶ εἴκοσι χιλιάδας ἀνδρῶν, οὓς εἷλεν ἐν τῇ μάχῃ ζῶντας, ἀπέδοτο, καὶ τὴν λοιπὴν πᾶσαν λείαν διένειμε τῷ στρατῷ, τὰ τιμήματα τῶν πεπραμένων αἰχμαλώτων μόνων τῷ ῥωμαϊκῷ καθοσιώσας ταμιείῳ. Τούτοις τοῦ Φαβίου τοῖς ἔργοις αἱ πρὸς Ἀννίβαν [μεθεστηκυῖαι] τῆς Ἰταλίας πόλεις μετετέθησαν ἐπὶ τοὺς Ῥωμαίους, τῶν οἰκούντων αὐτὰς κἀνταῦθα τοὺς ἡττημένους ἀπολιπόντων. Τῷ δὲ μετὰ τοῦτον ἐνιαυτῷ Σκιπίων ἐν Ἱσπάνοις αὐτός τε μεγαλουργῶν καὶ τὸν ἀδελφὸν Λούκιον Σκιπίωνα συνεργὸν ἔχων, ἑβδομήκοντα πόλεις ἀνέ[illegible]δεν. [illegible] προςκεχωρήκεισαν τοῖς Ἄφροις. Ἀλλ' ἐπὶ τῆς Ἰταλίας οὐκ ἦν ὅμοια τὰ Ῥωμαίων, Μαρκέλλου περιπεσόντος ἐνέδραις, ἃς ἔστησεν Ἀννίβας, καὶ τὴν τελευτὴν οὕτω δεξαμένου.

17. Σκιπίων δέ, τρίτον ἔτος ἤδη τὰ κατὰ τοὺς Ἱσπάνους διοικῶν, προςέθηκε μεγάλοις μείζονα. Τὸν γὰρ βασιλέα τῶν Ἱσπανῶν μεγάλῃ νικήσας μάχῃ μετὰ ταῦτα πρὸς αὐτὸν ἐσπείσατο. Καὶ πρῶτος οὗτος ὁμήρων οὐκ ἐδεήθη· τοσοῦτον ἐθάρρει τοῖς ἔργοις.

18. Ταῦτα γνοὺς Ἀννίβας ἀπέγνω τῶν Ἱσπανῶν, ὡς οὐδενὸς ἀνθέξοντος Σκιπίωνι· καὶ μεταπέμπεται τὸν ἀδελφὸν Ἀσδρούβαν εἰς

1. *προςθέσθαι* ΙΔ : *προέσθαι* ΑΜΙ *Σκιπίωνί τε* ἔγραψα : *Σκιπίωνι τε* Δ : *σκηπίωνι τὲ* ΛΣ : *σκιπίωνι τὲ* ΣΜ 2. *πολὺν δὲ* ΣΔ : *πολὺν τε* ΑΜΙ

τα

5. *πολέμου* Π : *πoέμου* Μ 5-6. *παρακαταθέμενος* Π : *παρακαθέμενος* Λ 8. *λοιπὴν πᾶσαν* Π : *λοιπῆν πάσαν* Ι 9. *μόνων* Π : *μόνον* Δ 11. *μεθεστηκυῖαι* προςέθηκα ἀντὶ τοῦ *μεταστᾶσαι* τοῦ κατὰ πρότασιν τοῦ Σ προςτεθέντος ὑπὸ Δ : [illegible] Π *πόλεις* Π : λείπει [illegible] *ἀνταῦθα* Π : *κἀνταῦθα* Δ 13. *τοῦτον* Ι : [illegible] Σ : *ταυτο* ΑΜ : *ταῦτα* δευτέρῳ Δ *Σκιπίων* ΙΔ : *Σκηπίων* ΣΔ : *σκηπίωνι* Μ *Ἱσπάνοις (ἰσπάνοις Μ)* Π : *Ἱσπανίαις* Δ 14. *Σκηπίωνα* ΙΣΔ : *Σκηπίωνα* ΑΜ 17. *οὗτο* Π : *οὕτω* Μ 18. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ *Ἱσπάνους* ἔγραψα : *ἰσπάνους* Ι : *ἰσπανοὺς* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἰσπάνους* Λ : *ἰσπανοὺς* Μ 19. *Ἱσπανῶν* ΙΣΔ : *ἰσπανῶν* ΑΜ 22. *Ἱσπανῶν* ΣΔ : *ἰσπανῶν* ΑΜΙ

τ'' β

24. *Σκιπίωνι* ΙΔ : *Σκηπίωνι* ΑΜΣ *τὸν ἀδελφὸν Ἀσδρούβαν* ΙΣΔ : *τὸν ἀδελ-*

*ἐκ λιβέης* τ'' β

*φὸν ασδρούβαν* τῶν ἄνωθεν γεγραμμένων ἐρυθρῶν Λ : *τὸν ἀδελφὸν ἀσδρούβαν* Μ



Ἰταλίαν μετὰ πάσης στρατιᾶς. Ὃς ταῖς ὁδοῖς χρώμενος ταῖς ὑπὸ Ἀννίβου προηγνυσμέναις, ἐνεδρευθεὶς ὑπὸ τῶν ὑπάτων Ἀππίου τε Κλαυδίου Νέρωνος καὶ Λιβίου τοῦ Σαλινάτωρος, περὶ τὴν Σέναν τοῦ Πικηνοῦ πόλιν μετὰ πολὺν τὸν ἐν τῷ πολέμῳ πόνον καὶ ἣν ἐπεδείξατο μαχόμενος ἀνδρείαν αὐτός τε πίπτει καὶ τῆς στρατιᾶς ἁπάσης οἱ νενικηκότες ἐγένοντο κύριοι, πρὸς δὲ καὶ χρυσίου καὶ ἀργύρου πολλῶν ταλάντων· ἃ καὶ Ῥωμαίους ἐξέπληξεν. Ἐντεῦθεν ἤρξατο λοιπὸν Ἀννίβας μὲν οὐκ ἀγαθὰς ἔχειν περὶ τοῦ πολέμου τὰς προςδοκίας· τοῖς Ῥωμαίοις δὲ ηὐξήθη τὸ τῶν ἐλπίδων, καὶ μετακαλοῦνται πρὸς ἑαυτοὺς τὸν Σκιπίωνα. Καὶ ὁ μὲν παραγίνεται λαμπρὸς ἐπὶ μεγάλοις, ὡς εἰκός, ἔργοις.

19. Καικιλίῳ δὲ καὶ Οὐαλερίῳ τοῖς ὑπάτοις πᾶσαι Βρούττιων αἱ πόλεις ὑπὸ τῶν οἰκούντων παρεδόθησαν.

20. Ἀννίβας μὲν οὖν τέταρτον καὶ δέκατον ἦγεν ἐπὶ τῆς Ἰταλίας ἔτος. Ἐν τούτῳ δὲ ὁ Σκιπίων ὕπατος χειροτονεῖται, ὁ τὰ μέγιστα ἐν Ἱσπάνοις ἐργασάμενος, καὶ εἰς αὐτὴν τὴν Ἀφρικὴν ἐκπλεῖ, πείσας Ῥωμαίους ὡς χρὴ μεταστῆσαι τὰ δυςχερῆ τῆς μάχης εἰς τὴν πολεμίαν. Οἷα γὰρ ἐπιπνοίᾳ ἐπεπίστευτο, τοσαῦτα κατώρθου, καί τις ἦν ὁ λόγος ὡς ἄρα καὶ πρὸς τοὺς θεοὺς αὐτῷ γίγνοιτο συνουσία. Τῆς οὖν Ἀφρικῆς ἐπιβάς, Ἄννωνι συνέμιξε τῷ στρατηγῷ. Καὶ προτέρᾳ μὲν συμπλοκῇ τὴν στρατιὰν αὐτοῦ διέφθειρε πανωλεθρίᾳ· δεύτερον δὲ εἰς χεῖρας ἐλθών, ἐκβάλλει τῆς παρεμβολῆς αὐτόν, καὶ ταύτης γίγνεται κύριος σὺν τοῖς φύλαξι τετρακιςχιλίοις καὶ πεντακοσίοις ἀνδράσιν· οἱ δὲ πεσόντες ἦσαν ἕνδεκα χιλιάδες. Αἱρεῖ δὲ καὶ Σύμφακιν τὸν Νουμίδων βασιλέα συμμαχοῦντα τοῖς Ἄφροις, καὶ γίνεται καὶ ταύτης

3. *Λιβίου* Δ : *Ἀλιβίου* Σ : *Ἀλβίου* ΑΜΙ *Σαλινάτωρος* ΣΔ : *σαλινάτορος* ΑΜΙ *Σέναν* ΙΣΔ : *σέναν* τοῦ α ἐφθαρμένου Λ : *σένεν* Μ 3-4. *Πικηνοῦ* Δ : *πικίλου* Ι : *πικίλου* ἐκ τοῦ *ποικίλου* Λ : *ποικιλου* ΜΣ 4. *ἐπεδείξατο* ΙΜΣ : *ἐπεδείξατο* τῇ δευτέρᾳ χειρὶ ἀντὶ τοῦ *ἀπεδείξατο* Λ : *ἐπιδείξατο* Δ 5. *ἀνδρείαν* ΑΜΣ : *ἀνδρίαν* ΙΔ 9-10. *Σκιπίωνα* ΙΔ : *Σκηπίωνα* ΑΜΣ 11. *Καικιλίῳ* ΙΣΔ : *καὶ κιλίω* ΑΜ *καὶ* Π : λείπει Μ 13. *ἦγεν* Π : *ἥγεν* Ι 14. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ 15. *Ἱσπάνοις* ἔγραψα : *ἰσπάνοις* Ι : *ἰσπανοῖς* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἰσπάνοις* Λ : *ἰσπανοῖς* Μ : *Ἱσπανοῖς* Σ *Ἀφρικὴν* Π : *ἀφρικὴν* Ι 17. *οἵα* ΑΜ : *οἷα* Σ : *θεία (;)* Ι : *θείᾳ* Δ κατὰ τὴν πρότασιν τοῦ Σ *ἐπεπίστευτο* Π : *χρῆσθαι ἐπεπίστευτο* Δ κατὰ τὴν πρότασιν τοῦ Σ *κατώρθου* Π : *κατωρθώσας* Δ τοῦ Σ προτείναντος *κατορθώσας* 18. *τοὺς* ΙΜ : λείπει ΛΣΔ 20. *στρατιὰν* ἔγραψα : *στρατίαν* Ι : *στρατείαν* ΑΜΣ : *στρατειὰν* Δ *πανωλεθρίᾳ* Π : *πανολεθρία* Μ 22. *ταύτης* ΙΣΔ : *ταύτη* ΑΜ *γίγνεται* ἔγραψα : *γίνεται* Π 23. *τὸν* ἔγραψα : *τῶν* Π 23-24. *Νουμίδων* Π : *Νουμιδῶν* Δ

τῆς παρεμβολῆς κύριος. Καὶ τὸν μὲν Σύφακιν εἰς τὴν Ῥώμην ἐξέπεμψε μετὰ Νουμίδων τῶν ἐπιφανεστάτων καὶ τῶν ἀπὸ τοῦ πολέμου λαφύρων, καὶ ἀριθμὸν καὶ πολυτέλειαν παριόντων. Γνωσθέντων δὲ τῶν κατὰ Ἀφρικὴν Σκιπίωνος ἔργων, πᾶσα μὲν λοιπὸν Ἰταλία τὸν Ἀννίβαν ἀπέλιπεν, αὐτὸς δὲ ὑπὸ Καρχηδονίων κατεκλήθη, τῆς πολιορκίας αὐτοὺς πιεζούσης.

21. Ἑπτακαιδεκάτῳ τοίνυν ἐνιαυτῷ τῆς Ἰταλίας Ἀννίβας ἀπεχώρησε. Καὶ τότε πρεσβεύονται παρὰ τὸν Σκιπίωνα Καρχηδόνιοι. Ὁ δὲ ἀναπέμπει πρὸς Ῥωμαίους πέντε καὶ τεσσαράκοντα ἡμέρας ἀνακωχὴν δοὺς τῷ πολέμῳ, ὡς ἂν ταύταις ἀπελθεῖν γένοιτο ῥᾴδιον. Καὶ τοῦδε αὐτῷ μισθὸς ἦν τριῶν μυριάδων ἀργυρίου σταθμός. Δεξαμένη τοίνυν ἡ σύγκλητος τὴν πρεσβείαν, κύριον ποιεῖται τῶν σπονδῶν τὸν Σκιπίωνα. Καὶ τίθεται ταῦτα ἐφ' ᾧτε μὴ πλείους ἢ τριάκοντα ναῦς ἔχειν Καρχηδονίους καὶ δοῦναι Ῥωμαίοις ὑπὲρ τῶν σπονδῶν πεντήκοντα μυριάδων ἀργυρίου σταθμόν, τοὺς αἰχμαλώτους δὲ ἅπαντας καὶ τοὺς προσήλυδας ἀποδοῦναι.

22. Ταύτας τὰς σπονδὰς συνετάραξεν ἐπιστὰς Ἀννίβας καὶ πολλὰ τρόπον πολεμίων Ἄφροι διεπράττοντο, ὥστε καὶ τοὺς πρέσβεις αὐτῶν ἐκ τῆς Ῥώμης ἐπανιόντας ὑπὸ τῆς μετὰ Σκιπίωνος στρατιᾶς συλληφθῆναι. Ἀλλ' ὁ Σκιπίων αὐτοὺς διαφῆκε, καὶ συνάπτει μάχην πρὸς τὸν Ἀννίβαν. Ἡττηθεὶς δὲ Ἀννίβας ἐν ἁπάσαις ταῖς συμπλοκαῖς, γίγνεται καὶ αὐτὸς ἱκέτης ὑπὲρ εἰρήνης. Αἱ δὲ σπονδαὶ ἀνελήφθησαν ἐφ' οἷς ἐγένοντο τὴν ἀρχήν, προστεθεισῶν, ὅτι δὴ τὴν ἀρχὴν παρεσπόνδησαν, ἀργυρίου λιτρῶν εἰς δέκα μυριάδας. Ἀλλ' οὐκ ἐδέξαντο τὴν προσθήκην οἱ Καρχηδόνιοι, προσέταξαν δὲ τὸν Ἀννίβαν πολέμιον κρίνεσθαι. Ἐπῆλθε τοίνυν αὐτός τε Σκιπίων τῇ Καρχηδόνι καὶ Μασινίσσας,

2. *Νουμίδων* Π : *Νουμιδῶν* Δ 4. *Σκιπίωνος* ΙΣΔ : *Σκηπίωνος* ΑΜ 5. *ἀπέλιπεν* Ι : *ἀπέλειπεν* ΑΙΔ : *ἐπέλιπεν* Μ 5-6. *πολιορκίας* Π : *πολϋορκίας* τοῦ β διορθωθέντος εἰς ι ὑπὸ τοῦ ἐρυθρογράφου Α 7. Ἐν τῇ φᾳ' ὅτι ιξ ἔτη ἀννίβας ἐλήου τὴν ἰταλίαν ΑΣ *ἑπτακαιδεκάτῳ* Π : *ἑπτὰ καὶ δεκάτῳ* Μ 7-8. *ἀπεχώρησε* ΙΣΔ : *ἀπεχώρϊσε* ΑΜ 8. *Σκιπίωνα* ΙΔ : *Σκηπίωνα* ΑΜΣ 9. *δὲ* Π : *δὲ'* Α 9-10. *ἀνακωχὴν* Π : *ἀνακωχὴ* Δ 10. *ἀπελθεῖν* ΙΑ : *ἐπελθεῖν* ΜΣΔ 13. *Σκιπίωνα* ΙΔ : *Σκηπίωνα* ΑΜΣ *ᾧτε* ΣΔ : *ὧ τὲ* ΑΜΙ 17. *τὰς* Π : *δὲ τὰς* Δ 18. *τρόπον* ΣΔ : *τρόπων* ΑΜΙ 19. *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΑΜΣ 20. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ 21. *ἡττηθεὶς* Π : *ἡττηθεὶς τῇ αὐτῇ χειρὶ ἐκ τοῦ ἡττηθεῖς* Α 22. *εἰρήνης* Π : *εἰρήνης τῇ πρώτῃ χειρὶ ἐκ τοῦ εἰδ. . . .* Α *δὲ* ΙΔ : λείπει ΑΜΣ 25. *πολέμιον* Ι : *πολέμῳ* Π 26. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ



ἕτερος Νουμίδων βασιλεύς, φίλος καὶ σύμμαχος τῷ Σκιπίωνι γεγενημένος. Μελλούσης δὲ κινεῖσθαι τῆς μάχης, ἐβουλήθη κατασκοπῆσαι τὸ στρατόπεδον τὸ ῥωμαϊκὸν Ἀννίβας, καὶ πέμπει κατασκόπους. Τούτους ἑλὼν ὁ Σκιπίων ἐπιδειχθῆναί τε αὐτοῖς προσέταξε τὸ στράτευμα καὶ τὴν ἄλλην τοῦ πολέμου παρασκευήν, δειπνήσαντας δὲ ἀφεθῆναι, μηνύσοντας ἅπερ τεθέαντο.

23. Ὡς δὲ ἐγγὺς ἦσαν χειρῶν, τὰ μὲν τῆς παρατάξεως ἦν ἄξια θαυμάσαι, δύο στρατηγοῖν ἀρίστοιν τὰ στρατεύματα ταττόντων. Ὡς δὲ τὸ ἔργον ἤρξατο, νικᾷ τε ὁ Σκιπίων καὶ μικροῦ ζῶντα τὸν Ἀννίβαν αἱρεῖ. Ἀλλ' ὁ μὲν σὺν τέτταρσιν ἱππεῦσι διεσώθη· πλοῦτος δὲ ὅσος οὔπω πρότερον ἐν τῇ παρεμβολῇ κατελήφθη τῶν πολεμίων, εἴκοσι μὲν μυριάδων ἀργυρίου, χρυσίου δὲ ὀκτὼ σταθμὸς ἐσθήματά τε πολλὰ καὶ παντοδαπά. Οὗτος ὁ πόλεμος ἐκύρωσε τὰς σπονδάς, καὶ πρὸς τὴν Ῥώμην ἐπανῆκεν ὁ Σκιπίων, καὶ τὴν νίκην ἐθριάμβευσεν, Ἀφρικανός τε ἐπεκλήθη, τῆς ἑαυτοῦ νίκης γενόμενος ἐπώνυμος. Ἐτελεύτησε δὲ ὁ πόλεμος οὗτος ἐνάτῳ καὶ δεκάτῳ ἐνιαυτῷ.

## ΒΙΒΛΙΟΝ Δ'.

1-2. Τὰ μὲν οὖν Ἄφρων ὑπὸ Ῥωμαίοις ἦν. Ἠκολούθησε δὲ ὁ μακεδονικὸς πόλεμος, ὁ πρὸς τὸν βασιλέα Φίλιππον, πρώτῳ καὶ πεντηκοστῷ καὶ πεντακοσιοστῷ τῆς πόλεως ἔτει. Πρὸς ὃν Τίτος Κυίντιος Φλαμίνιος ἐκπεμφθεὶς νικᾷ τε αὐτὸν καὶ τίθεται σπονδάς, ὥστε καὶ τῶν πόλεων αὐτὸν ἀπέχεσθαι τῶν ἑλληνικῶν, αἳ προσεκεχωρήκεσαν Ῥωμαίοις παρὰ τὸν τοῦ τότε πολέμου καιρόν, καὶ τοὺς αἰχμαλώτους καὶ προσήλυδας ἀποδοῦναι, καὶ μὴ πλείους ἔχειν πεντήκοντα νηῶν, τὰς δὲ λοιπὰς ἁπάσας παραδοῦναι, ὡς δὲ καὶ τοῖς ἑξῆς ἐνιαυτοῖς διδόναι φόρον, ἐτήσια τετρακισχίλια τάλαντα ἀργυρίου καὶ προσέτι τὸν Δημήτριον ὅμηρον παραδοῦναι. Μεταστήσας δὲ ἐπὶ τοὺς Λακεδαιμο-

1. *Νουμίδων* Π : *Νουμιδῶν* Δ *Σκιπίωνι* ΙΔ : *Σκηπίωνι* ΑΜΣ 4. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ *ἐπιδειχθῆναί τε* Δ : *ἐπιδειχθῆναι τὲ* Π 5. *δὲ* Π : *τὲ* Ι 9. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ 12. *σταθμὸς* Π : *στραθμὸς* Δ *ἐσθήματά τε* Δ : *ἐσθήματα τὲ* Π 16. *ἐνάτῳ* Ι : *ἐνάτω* διώρθωσεν ὁ ἐρυθρογράφος ἐκ τοῦ *ἐννάτω* Α : *ἐννάτω* ΜΣΔ 17. Ἐν τῇ φᾳ ἀπὸ κτίσεως ῥώμης ἕως τοῦ μακεδονικοῦ πολέμου ἔτη φν ΑΜΣ 19. *Κύντιος* Π. Γραπτέον *Κυίντιος* 20. *Φλαμίνιος* ΣΔ : *φλάμινος* ΑΜΣ 23. *καὶ* ΑΜΙ : *[καὶ τοὺς]* Σ : *καὶ τοὺς* Δ *νηῶν* Π : *νεῶν* Δ 25. *ἐτήσια* ΙΣΔ : *αἰτήσια* ΑΜ *τὸν* Π : *τὸν υἱὸν* Δ 26. *παραδοῦναι* Π : *παραδοῦναι τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ ἀποδοῦναι* Α

νίους ὁ Φλαμίνιος τὴν στρατιάν, κρατεῖ τε αὐτῶν μάχῃ καὶ τὸν στρατηγὸν αἱρεῖ καὶ συνθήκας ἃς ἐβουλήθη ποιησάμενος ὑποσπόνδους θριαμβεύων εἰς τὴν Ῥώμην εἰσῆλθε, προτρεχόντων αὐτῷ τοῦ ἅρμα- τος Δημητρίου τε τοῦ Φιλίππου παιδὸς καὶ Ἀρμένου τοῦ Νάβιδος.

3. Οὕτω καὶ τῶν μακεδονικῶν καὶ τῶν λακωνικῶν ἡσυχασάντων, πρὸς Ἀντίοχον τὸν βασιλεύοντα Συρίας ἀνήφθη πόλεμος. Ὕπατοι δὲ ἦσαν Πούβλιος Κορνήλιος Σκιπίων καὶ Μάρκος Ἀκίλιος Γλαβρίων. Συνεμάχει δὲ τῷ μὲν Ἀντιόχῳ πεφευγὼς ἐκ τῆς Καρχηδόνος Ἀννί- βας· δέος γὰρ αὐτὸν ἐξήγαγε τῆς πατρίδος ὡς Ῥωμαίοις ἐκδοθησό- μενον, Ῥωμαίοις δὲ ὁ Μακεδόνων [βασιλεὺς] Φίλιππος. Γίγνεται δὲ νυκτομαχία κατὰ τὴν Ἀχαΐαν ὑφ' ἡγεμόνι τῷ Γλαβρίωνι, καὶ τῆς μὲν παρεμβολῆς τοῦ βασιλέως οἱ Ῥωμαῖοι γίγνονται κύριοι· φεύγει δὲ ἐκεῖνος ἐπὶ τὸ λοιπὸν τῆς βασιλείας. Φιλίππῳ δὲ Δημήτριος παῖς ἀπεδόθη τῆς συμμαχίας χάριν.

4. Τούτους διαδέχονται τοὺς ὑπάτους Λούκιος Κορνήλιος Σκιπίων, ἀδελφὸς ὢν τοῦ κληθέντος Ἀφρικανοῦ, καὶ ὁ ἀδελφὸς αὐτοῦ χειρο- τονεῖται ληγάτος, καὶ Γάϊος Λέλιος. Καὶ φέρεται κλήρῳ τὰ τοῦ πο- λέμου τοῦ πρὸς Ἀντίοχον ἐπὶ τὸν Σκιπίωνα. Καὶ πρότερον μὲν ναυ- μαχίᾳ τῆς βασιλικῆς ἐκράτησε στρατιᾶς· ἡγεμόνα δὲ εἶχεν Ἀννίβαν ὁ στόλος· ἔπειτα δὲ καὶ αὐτὸν Ἀντίοχον ἐν Μαγνησίᾳ τῇ πρὸς Σιπύ- λῳ τῆς Ἀσίας νικᾷ τε καὶ εἰς φυγὴν τρέπει. Κοινωνὸς δὲ αὐτῷ ταύ- της ἐγένετο τῆς μάχης Εὐμενὴς Ἀττάλου, τοῦ τῆς Ἀσίας βασιλέως ἀδελφός, ὃς ἐπώνυμον ἑαυτῷ πόλιν ἐδείματο, τὸ Εὐμένιον. Ἐν ταύτῃ τῇ μάχῃ πέντε μυριάσι πεζομάχων καὶ τρισχιλίοις ἱππεῦσιν ἥττων ὁ βασιλικὸς ἐγένετο στρατός. Αἰτεῖ γοῦν εἰρήνην Ἀντίοχος, καὶ δί-

δ

2. *ὑποσπόνδους* Ι : *ὑποσπον* ΑΜ : *ὑπὸ σπονδ* Σ : *ὑπὸ σπονδαῖς* Δ  3. *αὐτῷ* Π : *αὐτῶν* Δ  6. *ἀνήφθη* ΙΣΔ : *ἀνεφύη* ΑΜ  7. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ *Μάρκος* ΑΣ : *Μάρκιος* ΜΙΔ  8. *Καρχηδόνος* ΙΣΔ : *Καλχηδόνος* ΑΜ  *πεφευγὼς ἐκ τῆς Καρχηδόνος* τὸ δεύτερον γραφέντα εἶτα διεγράφησαν Α  10. *Μακεδόνων βασιλεὺς* ἔγραψα : *Μακεδόνων* Π : *Μακεδὼν* Δ  *γίγνεται* Δ : *γίνεται* Π  15. *τούτους* Π : *τούτους δὲ* Δ  *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ  16. *αὐτοῦ* Μ : *αὐτῷ* Π  17. *Λέλιος* Π : Γραπτέον *Λαίλιος*  18. *Σκιπίωνα* ΙΔ : *Σκηπίωνα* ΑΜΣ  18-19. *ναυμαχίᾳ* ἐκ τοῦ *ναυμαχίαν* διαξεσθέντος τοῦ *ν* Μ  20-21. *Σι-*

σι

*πύλῳ* ΙΣΔ : *πύλῳ* ἐκ τοῦ *πύλας*. Αἱ διορθώσεις τῇ δευτέρᾳ χειρὶ Α : **πύλῳ* μετὰ κενὸν δύο γραμμάτων, τοῦ ἀστερίσκου ἐπαναλαμβανομένου ἐν τῇ ᾤᾳ χειρὶ νεωτέρᾳ χωρὶς νὰ γραφῇ τι ἄλλο ἐν αὐτῇ Μ  22. *Εὐμενὴς* Π. Γραπτέον *Εὐμένης*  24. *τῇ* Π : *δὲ τῇ* Δ



δωσιν ἡ σύγκλητος ἐφ' αἷς καὶ πρότερον προὔτεινε συνθήκαις, οὐ βαρύνουσα τὰς σπονδὰς ὡς ἡττημένῳ. Αἱ συνθῆκαι δὲ εἶχον ὧδε· τῆς μὲν Εὐρώπης αὐτὸν καὶ τῆς Ἀσίας ἀποχωρεῖν ἁπάσης, μένειν δὲ ἐπὶ τῶν ἐντὸς τοῦ Ταύρου πρὸς ἀνίσχοντα ἥλιον, εἰσενέγκαι δὲ μυρία τάλαντα καὶ ὁμήρους εἴκοσι παραδοῦναι, τόν τε Ἀννίβαν ἐκδοῦναι ὡς τῶν ταραχῶν ἐκείνῳ τε καὶ αὐτοῖς αἰτιώτατον. Τὰ μὲν πρὸς Ἀντίοχον τάδε. Εὐμενεῖ δὲ τῆς συμμαχίας χάριν ἐδωρήθησαν αἱ πόλεις τῆς Ἀσίας, ἃς ἐξελελοίπει κατὰ τὰς σπονδὰς Ἀντίοχος. Ῥοδίοις δέ, καὶ αὐτοῖς συμμεμαχηκόσι, πολλὰς τῶν πόλεων ὑπακούειν ἐπετάχθησαν. Ὁ δὲ Σκιπίων ἐπὶ τούτοις τοῖς ἔργοις ἐθριάμβευσε, κτησάμενος καὶ αὐτὸς ἀπὸ τῶν κατορθωθέντων ὄνομα· τοῦτο δὲ ἦν Ἀσιατικός.

5. Σπουρίου δὲ Ποστουμίου Ἀλβίνου καὶ Κύντου Μαρκίου Φιλίππου τὴν ὑπατείαν εἰσδεξαμένων, Φούλβιος μὲν κατὰ Αἰτωλῶν ἐθριάμβευσεν· Ἀννίβας δέ, ἀσθενέστερον τὸν Ἀντίοχον ὁρῶν, καταφεύγει πρὸς Προυσίαν, τὸν Βιθυνῶν βασιλέα. Αἰτούντων δὲ αὐτὸν Ῥωμαίων διὰ τοῦ Φλαμινίου, παραχρῆμα ἐξεδόθη, καὶ φόβῳ τῆς τιμωρίας φάρμακον σπάσας ἀποθνήσκει· καὶ θάπτουσιν αὐτὸν ἐν Λιβύσσῃ τῆς Βιθυνίας χωρίῳ, καὶ ὁ τάφος ἐς τόδε ὁρᾶται.

6. Κατὰ τοῦτον τὸν χρόνον Φίλιππος ἐτελεύτησεν ὁ βασιλεὺς τῆς Μακεδονίας. Ὁ δὲ τούτου παῖς· Περσεὺς ἦν ὄνομα αὐτῷ· ἐτυράννησε κατὰ Ῥωμαίων, πολλὴν συλλέξας στρατιὰν συμμαχικόν τε οὐ μικρόν· Κότυν τε γὰρ τὸν Θρᾳκῶν βασιλέα καὶ Γέντιον τὸν Ἰλλυριῶν ἐπεκέκλητο. Παρασκευὴ τοίνυν ἦν ἑκατέρωθεν ἅπασα, Ῥωμαίοις ἐπικουρούντων Εὐμενοῦς τε, ὃς τῆς Ἀσίας ἐκράτει, καὶ τοῦ Καππαδοκῶν βασιλέως Ἀριαράθου καὶ τοῦ Συρίας Ἀντιόχου καὶ Πτολεμαίου τοῦ Αἰγύπτου καὶ Μασινίσσου τοῦ Νουμίδου. Προυσίας γάρ, εἰ καὶ κηδεστὴς ἦν ἐπ' ἀδελφῇ τοῦ Περσέως, ἑκατέροις γε ὅμως αὐτὸν ἴσον παρέσχεν. Ἡγεῖτο δὲ τῆς ῥωμαϊκῆς στρατιᾶς Πούβλιος Λικίνιος

ν

3. *μένειν* Π : *μένει* Μ  7. *Εὐμενεῖ* Π. Γραπτέον *Εὐμένει*  10. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ  12. *Ποστουμίου* ΙΣΔ : *πουστουμίου* ΑΜ  *Μαρκίου* ΣΔ : *Μάρκου* ΑΜΙ  15. *τὸν* Π : *τὸν* ἐκ τοῦ *τῶν* Α  18. *τάφος* Π : *τάφος* ἐκ τοῦ *τάφως* Μ  20-21. *ἐτυράννησε* Π : *ἐτυράννησε* ἐκ τοῦ *ἐτυράννισε* Μ
22. *τὸν Ἰλ.* Π : *τῶν Ἰλ.* ἀλλ ἀντὶ τοῦ ω εἶχεν ἀρχίσει γράφων ο Α  22-23. *Ἰλλυριῶν* Π : *Ἰλλυρικῶν* Δ  23. *ἐπεκέκλητο* ΑΜΙ : *ἐπεκέκλητο* ΣΔ  24. *Εὐμενοῦς* Π. Γραπτέον *Εὐμένους*  25. *Ἀριαράθου* ἔγραψα. Ἴδε κατωτέρω ἐν κεφ. 20 : *Ἀριαράτου* Π  *τοῦ* ἔγραψα : *τῆς* ἐκ τοῦ τὸ πρῶτον ἀρξαμένου *τοῦ* Α : *τῆς* Π  26. *Νουμίδου* Π : *Νουμιδῶν* Σ  27. *γε* Π : *γὲ* Μ  *αὐτὸν* Α : *αὐτὸν* Π
28. *Λικίνιος* Π : *λικίννιος* Ι

ὕπατος, τοῦτον αὐτῷ τὸν πόλεμον ἀποκληρώσαντος τοῦ δήμου. Καὶ νικᾶται τῇ μάχῃ, καίτοι νενικηκὼς ὁ Περσεὺς εἰρήνην ἐπαγγείλας παρὰ τῶν Ῥωμαίων διήμαρτεν. Ὁ γὰρ δῆμος οὐκ ἔφη δώσειν, εἰ μὴ καὶ αὐτὸς ἑαυτὸν καὶ τοὺς αὐτοῦ πάντας ἐκδοίη τοὺς αὐτῷ παραστησομένους. Δεύτερος οὖν ἐπ᾽ αὐτὸν πέμπεται Λούκιος Αἰμίλιος Παῦλος καὶ Γάϊος Ἄννιος ἑτέρῳ στρατεύματι ἐπὶ τὸν Ἰλλυριὸν Γέντιον. Ὁ μὲν οὖν Γέντιος ἅμα τε συνέμιξε καὶ ἡττήθη, καὶ τοῖς Ῥωμαίοις ἑαυτὸν παρέδωκεν αὐτῇ μητρὶ καὶ γαμετῇ καὶ παισὶ δύο καὶ δὴ καὶ ἀδελφῷ· καὶ τὸ ἔθνος πᾶν ἐκτήθη. Ἐγένετο δὲ τὸ ἔργον ἡμέραις τριάκοντα, ἔφθασέ τε τὴν τῆς συμπλοκῆς ἢ τῆς νίκης ἀκοή.

7. Παῦλος δὲ τρίτῃ τοῦ μηνὸς τοῦ Σεπτεμβρίου συμμίξας τῷ Περσεῖ διέφθειρε μὲν αὐτοῦ χιλιάδας εἴκοσι τοῦ πεζοῦ, ἐκεῖνον δὲ ἐδίωξε μετὰ τῆς ἵππου αὐτοῦ, οὐδὲ ἑκατὸν ἀποβαλὼν τῶν μαχομένων. Αἱ μὲν οὖν πόλεις εὐθὺς προςεχώρησαν Ῥωμαίοις, ὁ Περσεὺς δὲ καὶ ὑπὸ τῶν συμπεφευγόντων καταληφθεὶς ἑαυτὸν παρέδωκε Ῥωμαίοις. Καὶ ὁ Παῦλος οὐχ ὡς ἡττημένον οἶδεν, ἀλλὰ καὶ προςπίπτοντα πρὸς τὰ γόνατα ἀνώρθωσε καὶ καθέδρας ἠξίωσε τῆς αὐτοῦ καὶ τῆς ἄλλης μετέδωκε τιμῆς. Ἐντεῦθεν Ἰλλυριοί τε καὶ Μακεδόνες ὑπὸ Ῥωμαίοις ἐτέλουν ὅροις τοῖςδε· εἶναι μὲν αὐτοὺς αὐτονόμους, τῇ πόλει δὲ τῇ Ῥωμαίων εἰςφέρειν ὧν τοῖς βασιλεῦσιν εἰςέφερον μέρος ἥμισυ· πείθειν γὰρ ἠβούλοντο Ῥωμαῖοι τοὺς ὑπηκόους ὡς οὐκ ἐπιθυμοῦσι χρημάτων. Τοὺς μὲν οὖν ὅρους τούτους ἐν κοινῷ τῶν πανταχόθεν πρέσβεων ἀπήγγειλεν ὁ Παῦλος, ἐκάλεσέ τε αὐτοὺς εἰς εὐωχίαν, φάσκων χρῆναι καὶ νικᾶν τε ὅπλοις καὶ νενικημένους ἑστιᾶν.

8. Ἑβδομήκοντα δὲ τῶν Ἠπειρωτικῶν πόλεων, ἀντιταττομένας ἔτι Ῥωμαίοις, εἷλε πολιορκίᾳ. Καὶ τὴν ἐκ τοῦ πολέμου λείαν διένειμε τῷ στρατῷ, σὺν μεγίστῃ τε εἰς τὴν Ῥώμην ἐπανῆκε πομπῇ, νεὼς ἐπιβεβηκὼς μακεδονικῆς, ἣ τοῦ βασιλεύσαντος ἦν Περσέως παμμεγέ-

2. *νικᾶται* ΙΣΔ : *νικᾷ τε* Μ : *νικᾷ τὲ* Λ *τῇ μάχῃ* Π : *τῇ μάχῃ* ἐκ τῶν *τὴν μάχην* Μ 4. *αὐτοῦ* Π : *αὑτοῦ* Δ *τοὺς* ἔγραψα : *τοῖς* Π *αὐτῷ* ΛΙ : *αὐτὸ* Σ : *αὐτοὺς* ΜΔ 4-5. *παραστησάμενος* ἔγραψα : *παραστησαμένοις* Π 5. *Αἰμίλιος* ΙΣΔ : *αἰμίλιος* ΛΜ 8. *αὐτῇ* ΛΙΣ : *αὐτὴ* Μ : *σὺν τῇ αὐτοῦ* Δ 10. *ἔφθασέ τε* ΣΔ : *ἔφθασε τὲ* ΛΜΙ 11. *Σεπτεμβρίου* Π : *σεπτεβρίου* τοῦ *εβ* γραφέντος ἐπὶ ἑτέρων γραμμάτων διαξεσθέντων Μ 17. *αὐτοῦ* ἔγραψα : *αὑτοῦ* Π
18. *Ἰλλυριοί* ΛΣ : *ἰλλυρῖοί* ἐκ τοῦ *ἰλλυρῖοι* Μ : *ἰλλέριοι* ΙΔ 19. *τοῖςδε* Π : *τοῖς δὲ* Μ 23. *ἐκάλεσέ τε* Δ : *ἐκάλεσε τὲ* Π 24. *νενικημένους* Π : *τοὺς νενικημένους* Δ



θης, ὡς δεκαπέντε χωρεῖν ἐρέτας ἐξ ἀμφοτέρων τῶν πλευρῶν. Καὶ ἀποβὰς ἐθριάμβευσεν ἐφ᾽ ἅρματος χρυσοῦ, τοῖς δύο παισὶ περιεστοιχισμένος, προτρεχόντων τοῦ ἅρματος αὐτοῦ Περσέως, πέντε καὶ τεσσαράκοντα γεγονότος ἐνιαυτούς, καὶ υἱέων δύο. Ἐδόθη δὲ καὶ Ἀνικίῳ κατὰ τῶν Ἰλλυριῶν θρίαμβος, οὗ καὶ αὐτοῦ προεπόμπευσαν Γέντιός τε καὶ ὁ ἀδελφὸς Γεντίου καὶ οἱ παῖδες. Τούτων τῶν θριάμβων μετέσχον εἰς τὴν Ῥώμην ἀφικόμενοι Ἄτταλός τε καὶ Εὐμένης ἐκ τῆς Ἀσίας καὶ Προυσίας ἐκ τῆς Βιθυνίας δῶρά τε προςεκόμισαν, ἃ προςιέμενοι Ῥωμαῖοι προςέταξαν ἐναποτεθῆναι τῷ Καπιτωλίῳ. Προυσίας δὲ καὶ τὸν υἱέα τὸν ἑαυτοῦ Νικομήδη παρακατέθετο τῷ δήμῳ.

9. Τῷ δὲ ἑξῆς ἐνιαυτῷ Λούκιος Μέμμιος τοὺς Λυσιτανοὺς ἐνίκησε πολέμῳ καὶ μετὰ τοῦτο Μάρκελλος.

10. Κἀντεῦθεν ὁ τρίτος κατὰ τῶν Ἄφρων ἐκινήθη πόλεμος, ἑξακοσιοστῷ μὲν καὶ ἑνὶ τῆς πόλεως ἔτει, πεντηκοστῷ δὲ καὶ δευτέρῳ μετὰ τὴν τοῦ δευτέρου τοῦ κατὰ Ἀννίβα πολέμου λύσιν. Ὕπατοι δὲ χειροτονηθέντες Λούκιος Μάλλιος Κηνσωρῖνος καὶ Μάρκος Μανίλιος ἐπὶ τὴν Ἀφρικὴν ἐξέπλευσαν, καὶ τῇ Καρχηδόνι προςεκάθηντο πολιορκοῦντες· ἡγεῖτο δὲ Καρχηδονίων τοῦ πεζοῦ μὲν Ἀσδρούβας, τῶν δὲ ἱππέων Φαμέας. Συνῆν δὲ τοῖς ὑπάτοις ἀρχήν τινα στρατιωτικὴν ἔχων Σκιπίων, ὁ Σκιπίωνος ἔκγονος τοῦ κληθέντος Ἀφρικανοῦ, οὗ τοσοῦτον ἦν παρὰ τοῖς πολεμίοις δέος καὶ τοσοῦτον τῆς ἀνδρείας θαῦμα ὡς βουλευομένου τε ἄριστα καὶ ἐπιτελοῦντος ἔργοις τὰ δοκοῦντα ὀξέως, ὥστε τοὺς ὑπάτους αὐτοὺς κοινωνὸν μὲν αὐτὸν καὶ βουλῆς καὶ ἐγχειρημάτων ἔχειν, αὐτῷ δὲ χρῆσθαι πρὸς τὰ πρακτέα, ἐπειδήπερ ἑώρων τοὺς πολεμίους τὴν πρὸς αὐτὸν ἐκκλίνοντας συμπλοκήν.

11. Μασινίσσας γοῦν ὁ τῶν Νουμίδων βασιλεύς, τὴν πρὸς Ῥω-

3-4. *τεσσαράκοντα* Ι : *τετταράκοντα* Π 4. *Ἀνικίῳ* ΙΣΔ : *ἀννίῳ* ΛΜ
5. *Γέντιός τε* Δ : *Γέντιος τὲ* Π 7. *Ἄτταλός τε* Δ : *Ἄτταλος τὲ* Π *Εὐμένης* Π. Γραπτέον *Εὐμένης* 8. *δῶρά τε* Δ : *δῶρα τὲ* Π 9. *ἐναποτεθῆναι* Π : *ἐναποτεθῆναι* τοῦ *ε* γραφέντος ἐπὶ ἑτέρου γράμματος διαξεσθέντος Μ *Καπιτωλίῳ* Δ (Ἴδε ἀνωτέρω σ. 11, 23. 12, 24, 18, 5) : *Καπετωλίῳ* Π 12. *τοῦτο* Π : *τοῦτον* ΜΣ 13. *ἐκινήθη* ΙΔΣ : *ἐνικήθη* ΛΜ 13-14. *ἑξακοσιοστῷ* Π : *ἑξακοσιοστῷ* Λ 16. *Κηνσωρῖνος* ΙΣΔ : *κηνσορῖνος* ΛΜ 20. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΛΜΣ
*Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΛΜΣ 21. *τῆς* ΙΣ : *παρὰ τῆς* ΛΜΔ *ἀνδρείας* ΛΜΣ : *ἀνδρίας* ΙΔ 23. *αὐτὸν* ΣΔ : *αὐτων* Ι : *αὐτῶν* ΛΜ 25. *αὐτὸν* Π : *αὐτῶν* διωρθωμένον τῇ δευτέρᾳ χειρὶ εἰς *αὐτὸν* Λ 27. Ἐν τῷ ῳφ· *μασανάσης ὁ τῶν νομάδων ἡγεμὼν ἐτῶν* ϟϛ´ ΛΜΣ *Νουμίδων* ΛΜΣ : *Νουμιδῶν* ΙΔ

μαίους φιλίαν ἔτεσιν ἑξήκοντα τετηρηκώς, ἡνίκα ἀπέθνησκεν, ἐνεντη-
κοστὸν καὶ ἕβδομον τῆς ἡλικίας πεπληρωκὼς ἔτος, Σκιπίωνα ἰκέ-
τευσε τοῖς παισὶ τοῖς αὐτοῦ· τέσσαρες οὗτοι ἦσαν καὶ τετταράκοντα·
τὴν βασιλείαν διελεῖν.

12. Αὕτη τοῦ Σκιπίωνος ἡ δόξα τὸν δῆμον ἔπεισε τὴν ὑπατείαν
ἐπ' αὐτὸν ἐπαγαγεῖν, τῆς νεότητος οὔπω τοῦτο ἐπιτρεπούσης. Καὶ
θᾶττον ἐλπίδος αἱρεῖ τὴν Καρχηδόνα καὶ κατασκάπτει, καὶ τὸν κό-
σμον ἅπαντα τῆς πόλεως τὸν ἐκ πολέμων αὐτῇ συνειλεγμένον λα-
βών, τοῦτον εὐθὺς ἀπέδωκε τῶν πόλεων ταῖς ἀφῃρημέναις. Αὐτὸς δὲ
ἐπανῆλθε· καὶ δοθέντος αὐτῷ θριάμβου, προςετέθη καὶ τὸ ἐπώνυμον
τοῦ πάππου· Ἀφρικανὸς γάρ τοι νέος καὶ οὗτος ἐπεκλήθη. Ἀπώλε-
το τοίνυν ἡ Καρχηδὼν ἑπτακοσιοστῷ πέμπτῳ μετὰ τὸν συνοικισμὸν
ἔτει.

13. Κατὰ τούτους τοὺς χρόνους ἀνήρ τις Ψευδοφίλιππος ἀντῆρε
χεῖρας Ῥωμαίοις, καὶ τὸν πραίτωρα Ἰουβέντιον, ἐπ' αὐτὸν χωρήσαν-
τα μετὰ τοῦ στρατεύματος, ἐνίκησε τῇ μάχῃ καὶ πανωλεθρίᾳ διέ-
φθειρεν. Ἀλλὰ Μέτελλος δεύτερος ἐπελθὼν ἐνίκησέ τε αὐτόν, καὶ
πεντακιςχιλίους ἀνελὼν ἀνεκτήσατο τὴν Μακεδονίαν, ὑφ' ἑαυτῷ τε
τὸν Ψευδοφίλιππον ἐποίησε.

14. Τότε καὶ Κορίνθῳ, πόλει τῶν Ἑλλήνων ἐπιφανεστάτῃ, πόλε-
μος ἐπηνέχθη ῥωμαϊκός, ἐπειδὴ κατὰ τῶν ἐκ Ῥώμης πρεσβευτῶν
πεπαρῳνήκεσαν· καὶ Μούμμιος ἐκπεμφθεὶς εἷλε ταύτην καὶ κατέσκα-
ψε. Τρεῖς τε ἅμα θρίαμβοι, θέαμα καινόν, ἐφάνησαν ἐπὶ τῆς Ῥώμης,
ἐξ Ἀφρικῆς μὲν Σκιπίωνος, οὗ τῶν ἁρμάτων Ἀσδρούβας ἡγεῖτο,
Μετέλλου δὲ ἐκ Μακεδονίας, οὗ προέτρεχεν Ἀνδρίσκος· τοῦτο γὰρ
ἦν ὄνομα τῷ Ψευδοφιλίππῳ· κατὰ Κορινθίων δὲ Μουμμίου, πολλῶν

1. *ἑξήκοντα* Π : *ἑξήκοντα* Μ *ἀπέθνησκεν* Π : *ἐπέθνησκεν* Μ 2. *Σκι-* β' α
*πίωνα* ΙΔ : *Σκηπίωνα* ΑΜΣ 3. *οὗτοι ἦσαν* Π : *οὗτοι ἦσαν* 5. *τοῦ* ΑΜΣ : *δὲ τοῦ* ΙΔ *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΑΜΣ 7. *θᾶττον* Π : *θάττον* Μ
*Καρχηδόνα* Π : *καρχηδόνα* ἐκ τοῦ *καλχηδόνα* Α 8. *τὸν* Π : *τὼν* διορθωθὲν τῇ δευτέρᾳ χειρὶ εἰς *τῶν* Α *πολέμων* Π : *πολέμων* γραφέντος ω τῇ τε πρώτῃ χειρὶ καὶ τῇ δευτέρᾳ Α *συνειλεγμένον* ΙΣΔ : *συνειλεγμένων* ΑΜ 10-11. *καὶ τὸ ἐπώνυμον—ἐπεκλήθη* Π : *καὶ τὸ ἐπώνυμον—ἐπεκλήθη* γραφέντα καὶ δεύτερον διεγράφησαν Μ 12. *ἑπτακοσιοστῷ* Π : *ἑπτακοσιοστῶ* Α 11. Ἐν τῇ φα' ἀπὸ κτίσεως ῥώμης ἕως τελείας κατασκαφῆς τῆς καρχηδόνος ἔτη ψε ΑΜΣ
14. *κατὰ* ΣΔ : *μετὰ* ΑΜΙ 17. *ἐπελθὼν* ΣΔ : *ἀπελθὼν* ΑΜΙ *ἐνίκησέ τε* Δ : *ἐνίκησε τὲ* Π 22-23. *κατέσκαψε* Π : *κατάσκαψε* Μ 24. *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΑΜΣ



αὐτὸν κατακοσμούντων, χαλκῶν τε ἀγαλμάτων καὶ σανίδων γραφαῖς
ἐξησκημένων.

15. Οὐ μὴν πάντα τὰ Μακεδόνων ἡσύχαζεν, ἀλλ' αὖθις ἕτερος
Ψευδοπερσεύς, παῖδα λέγων ἑαυτὸν Περσέως, οἰκετικὴν συλλέξας
στρατιάν, ἐπεχείρει πολεμεῖν, ὥςτε αὐτοὺς τοὺς ὁπλίτας εἰς ἑξακισχι-
λίους τελεῖν πρὸς τοῖς μυρίοις· ἀλλὰ τοῦτον ἔπαυσε μάχῃ νικήσας
Τρεμέλλιος.

16. Κατὰ τὸν αὐτὸν δὲ χρόνον Μέτελλος ἐν Ἱσπανίᾳ πρὸς Κελτοὺς
Ἴβηρας ἐμαχέσατο γενναίως. Καὶ παραδίδωσι τήν τε ἀρχὴν καὶ τὸν
πόλεμον Πομπηίῳ. Εἶτ' ἐφεξῆς αὐτός τε καὶ Πομπήιος καὶ Κόντος
Σκηπίων ἐπὶ τὸν Πουρίαθον ἐξεπέμφθησαν, ὃς ἐν τῇ Λυσιτανίᾳ κατὰ
Ῥωμαίων ἤρξατο πόλεμον καὶ τοὺς Ἱσπανοὺς ἀνηρέθισε, τέταρτον
ἤδη καὶ δέκατον ἔτος ἡσυχάσαντας. Ἦν δὲ ὁ Πουρίαθος ποιμήν, εἶτα
λῃστρικὸν μετῆλθε βίον· τελευτῶν δὲ εἰς τοῦτο ἦλθε παρανοίας, ὡς
ἐν νῷ λαβεῖν ἐλευθερῶσαι δύνασθαι τοὺς Ἱσπανοὺς ἀπὸ τῶν Ῥω-
μαίων. Ὁ μὲν οὖν ὑπὸ τῶν οἰκείων ἀνῃρέθη. Σκηπίων δὲ τοῖς ἀνελ-
λοῦσι, μισθὸν ἐπαγγέλλουσιν, ἀπεκρίνατο μηδαμῶς ἀρέσκειν Ῥωμαί-
οις ἀναιρεῖσθαι τὸν ἡγούμενον ὑπὸ τῶν ὑπηκόων.

17. Πομπήιος δὲ τῇ πρὸς Νουμαντίνους ἡττηθεὶς μάχῃ σπονδὰς
ἐπονειδίστους ἐποιήσατο. Καὶ Ὀστίλιος δὲ Μαγκῖνος ὁ μετ' αὐτὸν
ὕπατος, ἐπαναλαβὼν τὴν μάχην, χαλεπώτερόν τε ἡττηθεὶς ἢ Πομ-
πήιος, ἐπὶ σπονδαῖς ἀνεχώρησεν αἰσχροτέραις, ὡς τὸν δῆμον τὸν τῶν
Ῥωμαίων μήτε δέξασθαι τὰς σπονδὰς καὶ τὸν Μαγκῖνον παραδοῦναι
τοῖς πολεμίοις, πεισόμενον ὅ τι ἂν αὐτοῖς δοκῇ. Ἐν τοσαύτῃ τοίνυν

3. *ἡσύχαζεν* Π : *ἡσύχαζε* Μ 6. *αὐτοὺς* Π : *αὐτῷ* Δ *ὁπλίτας* Π : *ὁπλίτας* ἐκ τοῦ *ὁπλήτας* Μ 8. *Μέτελλος* ΙΣΔ : *μετέλλος* ΑΜ *Ἱσπανίᾳ* ΣΔ : *ἰσπανία* ΑΜΙ 11. *Σκηπίων* Π : *Κηπίων* ὀρθῶς Δ *Πουρίαθον* Δ : *Πουρίανθον* ἐνταῦθα, ἀλλὰ *Πουρίαθος* κατωτέρω στ. 13 Π 12. *πόλεμον* Π : *πολέμου* ὀρθῶς Δ *Ἱσπανοὺς* ΣΔ : *ἰσπανοὺς* ΑΜΙ 14. *παρανοίας* ΙΣΔ : *παραννοίας* Α : *παραννοίας* τοῦ δευτέρου ν γεγραμμένου ἐπὶ ἀδιαγνώστου ἄλλου γράμματος, διαγραφέντος τῇ δευτέρᾳ χειρὶ Μ *ὡς* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *ὡς* πρόςθετον ἄνωθεν ν
τῇ δευτέρᾳ χειρὶ Μ 15. *ἐν νῷ* ΙΔ : *ἐνῷ* Α : *ἐννῷ* διωρθωμένον τῇ δευτέρᾳ χειρὶ εἰς *ἐν ᾧ* Μ 15. *Ἱσπανοὺς* ΙΣΔ : *Ἱσπανοὺς* ΑΜ 16. *ὑπὸ* Π : *ἀπὸ* Δ
*Σκηπίων* ΑΜΣ : *Σκιπίων* Ι : *Κηπίων* ὀρθῶς Δ 17. *ἀρέσκειν* Π : *ἀρέσκει* Μ
20. *Μαγκῖνος* Π : *Μανκῖνος* Δ 21. *ἐπαναλαβὼν* Ι : *ἀναλαβὼν* Π 22. *ἐπὶ σπονδαῖς* Π : *ἐπισπονδαῖς* διορθωθὲν τῇ δευτέρᾳ χειρὶ εἰς *ἐπὶ σπονδαῖς* Α
23. *Μαγκῖνον* ΣΔ : *μαγκῖνον* ΑΜΙ

ἀτιμίᾳ διπλῇ καὶ ἥττης καὶ συνθήκης ἐκπέμπεται Σκιπίων ὁ καλούμενος Ἀφρικανὸς μετὰ τῆς ὑπατικῆς ἐξουσίας. Οὗτος πρότερον μὲν ἐπεμελήθη τῆς στρατιᾶς, ὑπὸ τοῖς προτέροις ἡγεμόσι διεφθαρμένης, γυμνασίοις τε αὐτοὺς καταμελετῶν καὶ χωρὶς ὠμότητος καὶ τιμωρίας εἰς τὸ δέον ἐπαναγαγών. Ὡς δὲ ἥρμοσε τοὺς ἄνδρας, ἐπῆλθε τῶν πόλεων ταῖς ἀποστάσαις, καὶ τοὺς μὲν σφᾶς αὐτοὺς παραδόντας, τοὺς δὲ πολιορκίαις ὑπηγάγετο. Τελευταῖον δὲ ἐπὶ τὸ κεφάλαιον ἦλθε τοῦ πολέμου, τὴν Νουμαντίαν, καὶ προσκαθεσθεὶς λιμῷ τε πιέσας τοὺς ἔνδον, τήν τε πόλιν εἷλε καὶ κατέσκαπτε καὶ τὸ ἔθνος ἅπαν ἀπέδωκε τῇ Ῥώμῃ.

18. Ἐν τούτῳ τῷ χρόνῳ τελευτᾷ τῆς Ἀσίας ὁ βασιλεὺς Ἄτταλος ὁ Εὐμενοῦς ἀδελφός, κληρονόμῳ χρησάμενος τῷ δήμῳ Ῥωμαίων, καὶ γίγνεται κύριος τῆς Ἀσίας ὁ δῆμος καὶ τῷ τῆς διαδοχῆς δικαίῳ.

19. Καὶ Βροῦτος δὲ κατὰ Γάλλων καὶ Λυσιτανῶν ἐνδοξότατα ἐθριάμβευσε καὶ Σκιπίων κατὰ Νουμαντίνων, τεσσαρεςκαίδεκα ἔτεσιν ὕστερον τοῦ κατὰ Ἄφρων θριάμβου.

20. Κατὰ τοῦτον τὸν χρόνον Ἀριστόνικος, ἐκ παλλακῆς παῖς Εὐμενοῦς, ὃς ἦν ἀδελφὸς Ἀττάλου, πόλεμον ἤρατο πρὸς Ῥωμαίους ἐπὶ τῆς Ἀσίας αὐτῆς. Καὶ πεμφθεὶς ἐπ' αὐτὸν Λικίνιος Κράσσος μετὰ πολλοῦ συμμαχικοῦ· Νικομήδης τε γὰρ Βιθυνίας βασιλεὺς καὶ Μιθριδάτης ὁ Πόντου, πρὸς ὃν μικρὸν ὕστερον μέγιστος καὶ πολυχρόνιος συνέστη πόλεμος, καὶ Ἀριαράθης ὁ Καππαδοκίας καὶ Πυλαιμένης ὁ Παφλαγονίας ἐπίκουροι παρῆσαν· ἡττήθη δὲ ὁ Κράσσος καὶ ἔπεσεν ἐν τῇ παρατάξει. Καὶ τὴν μὲν κεφαλὴν ἀποτεμόντες οἱ δορυφόροι προςεκόμισαν Ἀριστονίκῳ, τὸ σῶμα δὲ ἐκεῖνος προσέταξε ταφῆναι, καὶ ἡ Σμύρνα τὸν τάφον ἐδέξατο. Ἐκδέχεται δὴ καὶ τὴν ἀρχὴν καὶ τὸν πόλεμον ὁ ὕπατος Περπερνᾶς, καὶ τὰ πεπραγμένα

1. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΛΜΣ 5. *ἐπαναγαγὼν* ἔγραψα : *ἐπαναγὼν* Ι : *ἐπανάγων* Π 7. *ὑπηγάγετο* Π : *ὑπηγάγετο* τοῦ ὑ γραφέντος ἄνωθεν ἄλλου γράμματος διαξεσθέντος Μ 11. *τῷ* Π : *δὲ τῷ* Δ 12. *Εὐμενοῦς* Π. Γραπτέον *Εὐμένους* 13. *γίγνεται* ΙΔ : *γίνεται* ΛΜΣ 14. *Γάλλων* Π. Διώρθωσε *Γαλλαίκων* Δ 15. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΛΜΣ *τεσσαρεςκαίδεκα* ΛΣ : *τεσσαρας-καίδεκα* Ι : *τεσσαραςκαίδεκα* ἐκ τοῦ *τέσσαραςκαίδεκα* διαξεσθέντος τοῦ πρώτου τόνου Μ : *τεσσαραςκαίδεκα* Δ 18. *Εὐμενοῦς* Π : Γραπτέον *Εὐμένους* *ἤρατο* ΛΜΙ : *ἥρατο* ΣΔ 19. *πεμφθεὶς* Π : *πεμφθεὶς* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *πεμφθεὶς* Λ. Γραπτέον *ἐπέμφθη* εἰ μὴ ἀπαλειπτέον τὸ ἐν στ. 23 *δὲ* *Λικίνιος* ΛΙΔ : *Λικίννιος* ΜΣ *Κράσσος* ΜΣΔ : *Κρᾶσσος* ΙΛ 26-27. *προςέταξε ταφῆναι* Π : *ταφῆναι προςέταξε* Ι 26. *δὴ* ΙΣΔ : *δὲ* ΛΜ



γνοὺς ἠπείχθη πρὸς τὴν Ἀσίαν, καί, νικήσας τὸν Ἀριστόνικον μάχῃ, κατέκλεισεν ἐν Στρατονίκῃ τῇ πόλει. Πολιορκίᾳ δὲ καὶ ταύτην κἀκεῖνον ἑλών, ἐπανιὼν ἐπὶ τὴν Ῥώμην ἐτελεύτησε. Ῥωμαῖοι δὲ τὸν Ἀριστόνικον δήσαντες εἶτα ἀπέπνιξαν.

21. Μετὰ τοῦτον ἧκε τὰ τῆς ὑπατείας ἐπὶ Λεύκιον Δίλιον Μέτελλον καὶ Τίτον Κύντιον Φλαμίνιον. Κατὰ τοῦτον Ῥωμαῖοι τὸν ἐνιαυτὸν προσέταξαν οἰκοδομηθῆναι τὴν Καρχηδόνα τὴν νῦν ἔτι φαινομένην, δύο καὶ εἴκοσι ὕστερον ἔτεσι μετὰ τὴν ὑπὸ Σκιπίωνος κατασκαφήν, [καὶ] ἔπεμψαν εἰς αὐτὴν ἐξ αὐτῶν ἀποίκους.

22. Ἑξακοσιοστῷ δὲ καὶ εἰκοστῷ ἑβδόμῳ τῆς πόλεως ἔτει Γάϊος Κάσιος Λογγῖνος καὶ Σέξτιος Δομίτιος Ἀλβῖνος ὕπατοι τοῖς ὑπὲρ τὰς Ἄλπεις Γάλλοις ἐπήγαγον πόλεμον καὶ τὴν μεγίστην αὐτῶν πόλιν Ἀράβενναν περιεκαθέσθησαν. Ἡγεῖτο δὲ Γάλλων Βιτούϊος. Μαχεσάμενοι τοίνυν περὶ τὸν Ῥοδανὸν ποταμόν, πολὺν μὲν αὐτῶν στρατὸν ἀνεῖλον, τοσαύτης δὲ ἐπελάβοντο λείας, ὥςτε ἐκ τῶν στρεπτῶν, οὓς ἐπὶ τῶν τραχήλων εἶχον οἱ πολέμιοι, πολύν τινα χρυσίου σταθμὸν εἰςπέμψαι Ῥωμαίοις. Βιτούϊος δὲ ὁ στρατηγὸς ἁλοὺς μέρος ἐγένετο τοῦ θριάμβου· καὶ ἐπὶ τούτοις τοῖς ἔργοις ἑκάτερος τῶν ὑπάτων ἐθριάμβευσεν.

23. Ἐντεῦθεν Πόρκιος Κάτων καὶ Κύντος Μάρκιος Ῥὴξ δέχονται τὴν ἀρχὴν ἑξακοσιοστοῦ καὶ τριακοστοῦ τῆς πόλεως ἔτους. Οὗτοι κατήγαγον ἀποικίαν εἰς Γάλλους Νάρβωνα δειμάμενοι πόλιν. Καὶ μικρὸν ὕστερον οἱ μετὰ τούτους ὕπατοι Κύντος Καικίλιος Μέτελλος καὶ Κύντος Μούκιος Σκαιβολᾶς κατὰ Δαλματῶν ἐθριάμβευσαν.

24. Εἶτα πολλοῖς ὕστερον χρόνοις ὁ ὕπατος Κάτων, κατὰ Σκορδίσκων κινήσας πόλεμον, ἡττήθη τε αἰσχρῶς καὶ ἀπεχώρησε.

1. *γνοὺς* Μ : *γνοὺς* ἐκ τοῦ *γνοῦς* μετὰ διάξεσιν Μ 2-3. *κἀκεῖνον* ΙΛΜ : *κἀκεῖνον* ΣΔ 5. *τοῦτον* Π : *δὲ τοῦτον* Δ 5-6. *ἧκε-τοῦτον* ἐν συνεχείᾳ τοῦ κειμένου Π : πρόςθετα ἐν τῇ ὤᾳ διὰ παραπεμπτικοῦ σημείου ⳩ *Δίλιον* Π : *Καικίλιον* ὀρθῶς Δ 6. *Τίτον* Π : *τῖτον* Λ *κατὰ* Π : *καὶ κατὰ* Δ 8. *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΛΜΣ 9. *καὶ* Δ : λείπει Π *αὐτῶν* Π : *αὑτῶν* Μ 12. Ἐν τῇ ὤᾳ *γαλά* Λ 13. *Ἀράβενναν* Π : *Ἄρβενναν* διώρθωσε Δ *περιεκαθέσθησαν* Π : *περικαθέσθησαν* Ι *Βιτούϊος* Ι : *Διτούϊος* Σ : *διτόνιος* ΛΜ : *Βιτούιτος* διώρθωσε Δ 17. *Βιτούϊος* ΛΜΙ : *Βιτούβιος* Σ : *Βιτούιτος* διώρθωσε Δ *ἐγένετο* Π : *ἐγένετον* Μ 20. *ἐντεῦθεν* Π : *ἐντεῦθεν δὲ* Δ 21. *ἑξακοσιοστοῦ* Π : *ἑξακοσιοστοῦ* Ι *τριακοστοῦ* Π : *τριακοσιοστοῦ* Ι *οὗτοι* Π : *οὗτοι δὲ* Δ 22. *Νάρβωνα* ΙΣΔ : *νάρκωνα* ΛΜ *πόλιν* διώρθωσαν ΣΔ : *πάλιν* Π 23. *Μέτελλος* ΙΣΔ : *μετέλλος* ΛΜ 24. *Σκαιβολᾶς* ΣΔ : *καὶ βολᾶς* ΛΜΙ. Γραπτέον *Σκαιβόλας* *Δαλματῶν* ΙΔ : *Δαλμάτων* ΛΜΣ 25-26 *Σκορδίσκων* ΙΔ : *Κορδίσκων* ΛΜΣ

25. Γαΐου δὲ Καικιλίου Μετέλλου καὶ Γνέου Κάρβωνος ὑπάτων γενομένων, οἱ ἀδελφοὶ Μέτελλοι κατὰ τὴν Ῥώμην ἐθριάμβευσαν, ὁ μὲν κατὰ Σαρδῶν, κατὰ Θρᾳκῶν δὲ ἕτερος. Τότε φήμην κατέλαβε Ῥωμαίους Γάλλων τοὺς καλουμένους Κίμβρους ἔφοδον κατὰ τῆς Ἰταλίας ποιήσασθαι.

26. Κατὰ τὸν αὐτὸν χρόνον, ἤδη Πουβλίου Σκιπίωνος τοῦ Νασίκου καὶ Πουβλίου Καλπουρνίου Βηστίου τὴν ἀρχὴν ὑποδεξαμένων, ὁ πρὸς Ἰουγούρθαν τὸν Νουμίδην ἤρξατο πόλεμος, αἰτίαν ἔχων τὸν Ἱεμψάλου καὶ Μικίψου φόνον, οἳ παῖδες ἦσαν τοῦ βασιλεύσαντος Νουμίδων Μικίψου, φίλου καὶ συμμάχου Ῥωμαίων. Ἐπὶ τοῦτον ὕπατος πέμπεται Καλπούρνιος· καὶ διαφθαρεὶς χρήμασιν αἴσχρότατα πρὸς τὸν Ἰουγούρθαν ἐσπείσατο. Ταύτας οὖν ὁ δῆμος ἀκυρώσας τὰς σπονδὰς, πέμπει τὸν ἑξῆς ὕπατον Σπούριον Ποστούμιον Ἀλβῖνον· ἀλλὰ καὶ οὗτος, τῷ ἀδελφῷ τὸ ἔργον ἐπιτρέψας, οὐκ ἀγαθὸν ἔσχε τῆς μάχης τὸ τέλος.

27. Τρίτος ἐξαποστέλλεται Κύντος Καικίλιος Μέτελλος, καὶ τὴν στρατιὰν ἐξ ἀτόπου μελέτης, τῆς ὑπὸ τοῖς προτέροις ὑπάτοις, πρὸς τὸ δέον ἁρμόσας ἐπιεικῶς πάνυ, πολλαῖς τὸν Ἰουγούρθαν ἐνίκησε μάχαις· καὶ τούς τε ἐλέφαντας κατέσφαξεν, οὐκ ὀλίγους ζῶντας ἑλὼν, τῶν τε πόλεων αὐτῷ προεχώρησαν αἱ πλείους. Πρὸς αὐτῷ δὲ ὢν τῷ τέλει παύεται τῆς ἀρχῆς ὑπὸ Μαρίου. Γενόμενος δὲ ἐν τοῖς πράγμασιν ὁ Μάριος Ἰουγούρθαν καὶ Βόκχον, τὸν βασιλέα τῶν Μαύρων, σύμμαχον τῷ Ἰουγούρθᾳ γεγενημένον, ἐνίκησε μάχῃ. Καὶ τοῦ μὲν Βόκχου περιέκοψε τὰς δυνάμεις, Ἰουγούρθαν δὲ, ἐκδοθέντα παρ' αὐτοῦ τοῖς Ῥωμαίοις, ἐξέπεμψε δι' ἀνδρὸς ἀρίστου Σύλλου, ταμίου τότε ὄντος αὐτῷ τῶν δημοσίων χρημάτων. Μετὰ δὲ ταύτης τῆς νίκης καὶ ἑτέρα συνέβη. Ἰούνιος γὰρ Σιλανὸς, ὁ Μετέλλου συνύπατος, Κίμβρους νικήσας καὶ Μινούκιος Ῥοῦφος τοὺς Κορδίσκους καὶ Τρι-

1. *Καικιλίου* ΣΔ : *καὶ κιλίου* ΑΜΙ *Γνέου* Π. Γραπτέον *Γναίου* 3. *μὲν* Π : *μὲν* Α *Σαρδῶν* Π. Γραπτέον *Σάρδων* *δὲ* Π : *δὲ ὁ* Δ *τότε* Π : *τότε δὴ* Δ 6. *κατὰ* ΙΣΔ : *καὶ κατὰ* ΑΜ *αὐτὸν* Π : *αὐτὸν δὲ* Δ *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΑΜΣ 7. *Βηστίου* ΙΔ : *Θηστίου* ΑΜΣ 8. *Νουμίδην* ΙΑΜ : *Νουμίδαν* ΣΔ 9. *Ἱεμψάλου* Δ : *ἱεμψάλου* ΙΑΜ : *Ἰεμψάλου* Σ *Μικίψου* Π. Γραπτέον *Ἀδαρβάλου καθ' ἃ διώρθωσε* Δ 10. *Νουμίδων* Π : *Νουμιδῶν διώρθωσε* Δ *τοῦτον* Π : *τοῦτον οὖν* ΔΙ 11. *Καλπούρνιος* ΣΔ : *καρπούρνιος* ΑΜΙ 12. *τὸν* Ι : λείπει Π 16. *τρίτος* Π : *τρίτος δὲ* Δ *Καικίλιος* ΙΣΔ : *καὶ κίλιος* ΑΜ 22. *Βόκχον* Π : *βόκχον τῶν γραμμάτων βοκ γραφέντων μετὰ διάξεσιν ἄλλων* Μ 28. *Κίμβρους* ΙΣΔ : *κίμβρους ἐκ τοῦ σκίμβρους διαξεσθέντος τοῦ σ* Μ : *σκίμβρους* Α *Ῥοῦφος* ΑΣ : *Ῥοῦφος* ΙΜΔ *Κορδίσκους* Π : *Σκορδίσκους ὀρθῶς* Δ



βαλλοὺς καὶ Σερβίλλιος Σκιπίων τοὺς Λυσιτανοὺς, ἐπανῆκον. Θρίαμβοι μὲν κατὰ Ἰουγούρθου καὶ τῷ Μετέλλῳ καὶ τῷ Μαρίῳ παρὰ τῆς πόλεως ἐψηφίσθησαν, ὧν ἐφάνη λαμπρότερος ὁ Μαρίου, Ἰουγούρθαν σὺν τοῖς δύο παισὶ πρὸ τοῦ ἅρματος ἔχων, ὃν δεσμωτηρίῳ παραδόντες οἱ Ῥωμαῖοι διεχρήσαντο.

## ΒΙΒΛΙΟΝ Ε'.

1. Ὅτε δὲ ὁ πρὸς Ἰουγούρθαν ἐπράττετο πόλεμος, πολλαῖς ἑτέραις μάχαις ἐκράτουν Ῥωμαῖοι διὰ τῶν ὑπάτων. Μανίλιος γὰρ καὶ Σκιπίων Κίμβρους καὶ Τεύτονας καὶ Τουγούρους καὶ Ἄμβρωνας· ἔθνη δὲ ἐστι ταῦτα Γερμανῶν τε καὶ Γάλλων· κατεπολέμησαν. Οὗτοι μετὰ τοσαύτης ἐπανέστησαν τῷ δήμῳ στρατιᾶς, ὅση ἤνεγκε φόβον οὐχ ἧττω τῆς Ἀννίβου τυραννίδος. Περὶ αὐτῆς γοῦν ἔδεισαν Ῥωμαῖοι τῆς πόλεως. Πολλάκις γοῦν συμμίξαντες καὶ πολλάκις ἡττηθέντες ἔμενον ἔτι πολέμιοι· ἀλλὰ Μάριος μετὰ τὴν κατὰ Ἰουγούρθα νίκην ἐπὶ Κίμβρους καὶ Τεύτονας ἐξεπέμφθη. Καὶ παρασυρομένου τοῦ πολέμου, τρίτον τε αὐτῷ καὶ τέταρτον ἐπισυνήφθη τὰ τῆς ἀρχῆς τοῦ ὑπάτου. Κατὰ δὲ τὴν τετάρτην ὑπατείαν κοινωνὸς αὐτῷ ἦν τῆς ὑπατείας Κύντιος Λουτάντιος Κατοῦλος. Ἄμφω τοίνυν συνέμιξαν τοῖς Κίμβροις, καὶ δύο νικῶσι μάχας οὕτω σφοδρῶς, ὡς εἴκοσι μὲν μυριάδας ἀνδρῶν πεσεῖν, αἰχμαλώτων δὲ ὀκτὼ γενέσθαι καὶ προσέτι Τευτόβολον τὸν στρατηγὸν τῶν πολεμίων. Ὑπὲρ ταύτης οὖν τῆς νίκης καὶ πέμπτον αὐτῷ τὰ τῆς ἀρχῆς ἐψηφίσθη, καὶ ταῦτα ἀπόντι.

2. Οὐ μὴν ἡσύχασαν Κίμβροι καὶ Τεύτονες, ἀλλ' ἔτι τῷ πλήθει κρατοῦντες· οὐχ ἧττον γὰρ ἦν τοῦ διεφθαρμένου τὸ λειπόμενον· τὰ σφέτερα αὐτῶν ἀφέντες περιῆλθον ἐπὶ τὴν Ἰταλίαν. Ὑπὸ τῶν αὐτῶν δὲ αὖθις, Μαρίου τε καὶ Κατούλου, κατεπολεμήθησαν. Ἔνθα δὴ καὶ

1. *Σκιπίων* Ι : *Σκηπίων* ΑΜΣ : *Κηπίων ὀρθῶς* Δ 7. *Μανίλιος* ΙΣΔ : *μανήλιος* ΑΜ. Γραπτέον *Μάλλιος* *Σκιπίων* Ι : *Σκηπίων* ΑΜΣ : *Κηπίων ὀρθῶς* Δ 8. *Τουγούρους* Π : *τουγούρους μετὰ διάξεσιν τινων γραμμάτων* Μ *Ἄμβρωνας* Π : *Ἄμβρωνας διώρθωσε* Δ 9. *οὗτοι* Π : *οὗτοι γὰρ* Δ 10. *στρατιᾶς* Π : *στρατιᾶς ἐκ τοῦ στρατιάς* Δ 11. *περὶ* Π : *καὶ περὶ* Δ *γοῦν* ΑΜΙ : λείπει ΣΔ 13. *Ἰουγούρθα* Π : *Ἰουγούρθου* Δ 17. *Λουτάντιος* Ι : *Λουττάντιος* ΑΣ : *Λουττάντιος τοῦ πρώτου τ γραφέντος μετὰ διάξεσιν ἄλλου γράμματος* Μ : *Λουτάτιος διώρθωσε* Δ *Κατοῦλος* Π. Γραπτέον *Κάτουλος* 19. *Τευτόβολον* Π. Γραπτέον *Τευτόβοδον* *τὸν* Π : *τὸν ἐκ τοῦ τῶν* Δ 25. *τε καὶ* Π : *τε* Μ

λαμπρότερον ἐγένετο τὸ ἔργον Κατούλου. Καὶ πίπτουσιν ἐν τῇ τε-
λευταίᾳ μάχῃ δέκα καὶ τέσσαρες ἀνδρῶν μυριάδες, ἓξ δὲ αἰχμαλώ-
των ἄγονται. τριακοσίων μόνον ἐκ τοῦ ῥωμαϊκοῦ πεσόντων στρατοῦ.
Στρατιωτικὰ δὲ σημεῖα ὑπὸ Ῥωμαίους ἐγένοντο τρία καὶ τριάκοντα·
ὧν ἓν μὲν καὶ τριάκοντα εἷλον οἱ ὑπὸ Κατούλῳ μαχόμενοι, δύο δὲ
ὧν ἡγεῖτο Μάριος· ἑκάτεροι δὲ ὅμως ἐθριάμβευσαν.

3. Τῷ δὲ ἑξακοσιοστῷ καὶ πεντηκοστῷ καὶ ἐνάτῳ τῆς πόλεως ἔτει
τὴν μὲν ὕπατον εἶχον ἀρχὴν Σέξτος Ἰούλιος Καῖσαρ καὶ Λούκιος Μάρ-
κιος Φίλιππος, σχεδὸν δὲ ἅπας ἡσύχαζε πόλεμος. Ἀλλ' ἐξαίφνης
Πικένται καὶ Πελίγνοι, ἀστασιάστως τὸν παρελθόντα ἅπαντα χρόνον
ὑπακούσαντες Ῥωμαίοις, ἀπεθρασύνοντο καὶ τὸ ἴσον αὐτοῖς ὑπάρχειν
ἐβούλοντο πρὸς τὸν δῆμον. Ἐγένετο τοίνυν βαρὺς οὗτος πόλεμος,
ὡς καὶ τὸν ὕπατον ἐν αὐτῷ πεσεῖν, ἄριστον ἄνδρα, Πούβλιον Ῥουτί-
λιον, Σκιπίωνά τε τῶν ἐπιφανῶν νεανίσκον καὶ Πόρκιον Κάτωνα, καὶ
αὐτὸν ὕπατον. Ἡγοῦντο δὲ τοῦ στρατοῦ τῶν πολεμίων, Πικέντων καὶ
Μάρσων, Τίτιος Βήττιος, Ἱέριος Ἀσάνιος, Τίττος Ἑρρέννιος, Αὖλος
Κλουέντιος. Οὗτος ὁ θόρυβος ἐποίησε Μάριον ἕκτην δέξασθαι τὴν
ὕπατον ἀρχήν· τὸ δὲ ἔργον ἐπράχθη παρὰ Πομπηίου τε καὶ Σύλ-
λου, τῇ μάχῃ καὶ αὐτῶν ἐπιστατούντων· Σύλλας γοῦν Κλουέντιον,
τὸν μαχιμώτατον τῶν ἐναντίων στρατηγὸν, μετὰ πάσης τῆς δυνάμεως
εἷλε τέσσαρσιν ἐνιαυτοῖς, ἀεί τε συμπλεκόμενος καὶ νικῶν ἐν τῷ
παντὶ χρόνῳ φαίνεται μόνον ἕνα τῶν οἰκείων ἀποβαλὼν στρατιώτην.
Πεντεκαιδεκάτῳ μὲν οὖν ἔτει τέλος ἔσχεν οὗτος ὁ πόλεμος, τοῦ Σύλ-
λου κατορθώσαντος αὐτὸν ἐν ὑπατικῇ λοιπὸν ἐξουσίᾳ· τὰ γὰρ πρότε-
ρα πραίτωρ ἐτύγχανεν εἰργασμένος.

2. *τέσσαρες* II : *τέσσαρες* ἐκ τοῦ *τέσσαρας* M  5. *Κατούλῳ* II : *Κατούλου* Δ  7. *ἐνάτῳ* ἔγραψα : *ἐννάτῳ* II  8. *Καῖσαρ* ἔγραψα : *Καίσαρ* II  9. *ἐξαίφνης* II : *ἐξαίφνης* ἐκ τοῦ *ἐξέφνης* M  10. *Πικένται* II : *Πικένται Μαρσοί τε* Δ  11. *ἀπεθρασύνοντο* II : *ἀπεθρασύναντο* Δ  *ἴσον* II : *ἶσον* I  13. *τὸν ὕπατον* Δ : *ὑπὸ τῶν* I : *ὑπὸ τοῦ* ΛΜΣ  14. *Σκιπίωνα* I : *Σκηπίωνα* ΛΜΣ : *Κηπίωνά τε* ὀρθῶς Δ  16. *Τίτιος* II : *Τίτος* ὀρθῶς Δ  *Ἀσάνιος* ΛΜΙ : *Ἀσιάνιος* Σ : *Ἀσίνιος* ὀρθῶς Δ  *Ἑρρέννιος* II. Γραπτέον *Ἑρέννιος*  *Τίττος* II : *Τίτος* ὀρθῶς Δ  17. *ὁ* II : *οὖν ὁ* Δ  21. *τέσσαρσιν* II : *τέσσαρσίν τε* Δ  *τε* II : *καὶ* Δ

23. *Ἐν τῇ ᾳφ' ἀπὸ κτίσεως ῥώμης ἕως τῆς ὑπατείας σύλλου, ἔτη* $\overline{χξβ}$ *(*$\overline{χοβ}$ ἐκ τοῦ $\overline{χξβ}$ *Λ) τοῦτον τὸν σύλλαν ὁ πλούταρχος παράλληλον τίθησιν τῷ λυσάνδρῳ* (κάτωθεν ταύτης τῆς λέξεως μελαίνης μετὰ τὸ λοιπὸν ἐρυθρὸν σημείωμα γεγραμμένης ἀδιάγνωστά τινα ἄλλα ἐπ' ἴσης μέλαινα γράμματα Λ) ΛΜ  *πεντεκαιδεκάτῳ* II : *πέμπτῳ* ὀρθῶς Δ



4. Τῷ δὲ ἑξακοσιοστῷ καὶ ἑβδομηκοστῷ καὶ δευτέρῳ τῆς πόλεως
ἔτει πρῶτος ἐμφύλιος ἀνεφύη πόλεμος, καὶ κατὰ τὸν αὐτὸν τοῦτον
ἐνιαυτὸν ὁ πρὸς Μιθριδάτην, μέγιστος εἴπερ τις ἕτερος. Ὁ μὲν οὖν
ἐμφύλιος αἰτίαν ἔσχε τήνδε. Μάριος, ἐπὶ τὴν ἕκτην ὑπατείαν κληθείς,
συνύπατον ἔσχε τὸν Σύλλαν, ᾧ τὰ πρὸς Μιθριδάτην ἀπεκληρώθη.
Τοῦ Σύλλου δὲ περὶ τὴν Καμπανίαν διατρίβοντος· ἐβούλετο γὰρ
ὁδοῦ πάρεργον ποιήσασθαι τὴν τῶν ἰταλικῶν ἐπανόρθωσιν πραγμά-
των καὶ τὰ λείψανα τῆς παλαιᾶς ἀνελεῖν στάσεως, ὁ Μάριος πείθει
τὸν δῆμον ἐπ' αὐτὸν μεταθεῖναι τὴν μιθριδατικὴν μάχην. Καὶ συνήρ-
γησεν αὐτῷ πολὺς ὢν ἤδη λοιπὸν ὁ περὶ Μιθριδάτου λόγος ὡς ἤδη
τήν τε Ἀσίαν καὶ τὴν Ἀχαΐαν κατειληφότος. Τοῦτο πρὸς ὀργὴν
ἐκίνησε τὸν Σύλλαν, καὶ μετὰ τοῦ στρατεύματος εἰς τὴν Ῥώμην
ἐπανῆκε· καὶ εἰς χεῖρας ἀφικνεῖται Μαρίῳ τε καὶ Σουλπικίῳ. Πρῶ-
τος δὲ μεθ' ὅπλων οὗτος ἐπὶ τῆς πόλεως ὤφθη. Μάριος μὲν οὖν, τοῦ
Σουλπικίου πεσόντος, διεσώθη φυγών· Σύλλας δὲ, χειροτονήσας τοὺς
τοῦ μέλλοντος ἔτους ὑπάτους, Γνέον τε Ὀκτάβιον καὶ Λούκιον Κορ-
νήλιον Κίνναν, ὥρμησε πρὸς τὴν Ἀσίαν.

5. Μεταξὺ γὰρ ὁ Μιθριδάτης, τοῦ τε Πόντου κρατῶν καὶ τῆς
Μικρᾶς καλουμένης Ἀρμενίας καὶ πάσης τῆς Ποντικῆς θαλάσσης
τῆς κύκλῳ τοῦ Βοσπόρου, Νικομήδην ἐπειρᾶτο, φίλον ὄντα καὶ σύμ-
μαχον Ῥωμαίων, τῆς Βιθυνίας ἐκβάλλειν, τῷ τε δήμῳ προηγόρευσε
τῷ Ῥωμαίων ὑβρισμένος ἀμύνεσθαι τὸν Νικομήδην, οὐκ αὐτοῖς ἀντιτ-
ταττόμενος. Ὁ μὲν οὖν δῆμος ἀπεκρίνατο πόλεμον αὐτὸν ἐφ' ἑαυτῷ
κινήσων ῥωμαϊκὸν, εἰ μὴ Νικομήδους ἀποσταίη. Βαρέως δὲ ἐνεγκὼν
ὁ Μιθριδάτης ἔπεισε Καππαδόκας, καὶ τὸν Ἀριοβαρζάνην, ὑπόσπονδον
ὄντα Ῥωμαίοις, ἐξέβαλε τῶν βασιλείων. Εἶτα μετέστησε τὴν στρατιὰν
εἰς Βιθυνίαν τε καὶ Παφλαγονίαν, καὶ τοὺς ἐκεῖ βασιλεύοντας ἐξήλασε,
Ῥωμαίων ὄντας ὑπηκόους τε καὶ φίλους, Πυλαιμένην τε καὶ Νικομή-
δην. Ἐκεῖθεν ἐπὶ τὴν Ἔφεσον ἔσχε τὸν δρόμον, καὶ προγράμματι τοὺς
καταλαμβανομένους ἐπὶ τῆς Ἀσίας Ῥωμαίους ἀναιρεθῆναι προσέ-
ταξε.

1. *ἑξακοσιοστῷ* II : *ἐξακοσιοστῷ* Δ  3. *εἴπερ* ΙΜΔ : *εἴπέρ* ΛΣ  6. *ἐβούλετο* II : *ἠβούλετο* I  10. *Μιθριδάτου* ΙΔ : *μιθριδά*τ *Λ* : *Μιθριδάτην* ΜΣ  11. *κατειληφότος* II : *κατειλοφότος* Δ  *τοῦτο* II : *τοῦτο δὲ* Δ  14. *δὲ* Δ : *τὲ* II  15. *Σύλλας* II : *σύλας* Λ  16. *Γνέον* II. Γραπτέον *Γναῖον*  18. *κρατῶν* II : *κρατῶν* ἐκ τοῦ *κρατὸν* M  19. *Ἀρμενίας* ΙΣΔ : *ἁρμενίας* ΛΜ  22. *Νικομήδην* II : *νϊκομΐδην* M  29. *ἐκεῖθεν* II : *ἐκεῖθεν δὲ* Δ

6. Προσετέθη δὲ αὐτῷ καὶ ἡ τῶν Ἀθηναίων πόλις, Ἀρίστωνος αὐτὴν τοῦ Ἀθηναίου προπιόντος. Ἐπραγματεύετο γὰρ ἤδη τῆς Ἀχαΐας τὴν κτῆσιν, Ἀρχέλαον ἐκπέμψας σὺν ἑκατὸν καὶ εἴκοσι χιλιάσι πεζῶν τε καὶ ἱππέων, καὶ ὃς ἅπασαν αὐτῷ προσηγάγετο τὴν Ἑλλάδα. Σύλλας τοίνυν, τῷ Πειραιεῖ προσκαθεσθείς, τὰς μὲν Ἀθήνας εἷλεν· ἐπεξελθὼν δὲ Ἀρχελάῳ καὶ συμμίξας, μετὰ τοσαύτης ἐκράτησε περιουσίας, ὥστε δέκα μὲν Ἀρχελάῳ διασωθῆναι χιλιάδας ἐκ τῶν ἑκατὸν εἴκοσι, τοῦ δὲ ῥωμαϊκοῦ στρατεύματος τρεῖς καὶ δέκα μόνον ἄνδρας πεσεῖν. Ἀλλ' ὁ Μιθριδάτης, τὴν Ἀρχελάου δυσπραγίαν γνούς, ἀπέστειλεν ἑβδομήκοντα χιλιάδας αὐτῷ, τοὺς ἀρίστους ἐκ τῆς Ἀσίας ἐπιλεξάμενος. Γίγνεται δὴ δευτέρα συμπλοκή, καὶ οὐ μετὰ τῆς ἴσης ἑκάτεροι διεκρίθησαν τύχης. Ἡττᾶται γὰρ Ἀρχέλαος, καὶ πίπτουσιν αὐτοῦ δεκαπέντε χιλιάδες, καὶ πρὸς Διογένης ὁ Ἀρχελάου παῖς· αὐτὸς δὲ ἐν τοῖς πλησίον ἕλεσιν τρεῖς διαλαθὼν ἡμέρας ἐσώθη. Ταῦτα τὸν Μιθριδάτην ἠνάγκασε περὶ σπονδῶν ποιήσασθαι πρὸς τὸν Σύλλαν λόγους, ἑτέρους ἤδη κατορθοῦντα πολέμους.

7. Σκορδίσκους γὰρ καὶ Δαλμάτας καὶ Δαρδάνους τοὺς μὲν χερσί, τοὺς δὲ φόβῳ συνῆψε Ῥωμαίοις. Ἔνθα δὴ καὶ οἱ τοῦ Μιθριδάτου παραγενόμενοι πρέσβεις τὰ παρὰ τοῦ βασιλέως ἀπήγγειλαν. Ὁ δὲ οὐ πρότερον ἔφη περὶ σπονδῶν ἀκούσεσθαι, πρὶν ἂν ἀπολιπὼν ἅπασαν ἣν ἐφόδῳ κατέσχε γῆν ἐπὶ τὴν προτέραν αὐτοῦ βασιλείαν ἐπανέλθοι. Ἐπεὶ δὲ καὶ εἰς λόγους ἦλθεν ὁ Μιθριδάτης αὐτῷ, τῶν ἐμφυλίων αὐτὸν καλούντων θορύβων, ἔδωκε τὰς σπονδάς· ἠβούλετο γὰρ τὰ πολιτικὰ καθιστὰς μηδέποτε κατόπιν αὐτοῦ πολέμιον ἔχειν. Εὐθὺς οὖν ἐπὶ τὴν πόλιν ἔδραμεν, ἤδη τοῦ Μαρίου καὶ Κίννου, ὃν ὕπατον ὁ Σύλλας ἐχειροτόνησε, συμπνευσάντων ἀλλήλοις καὶ πολλὰ κατὰ τὴν Ῥώμην ἐργασαμένων. Πολλοὺς γὰρ τῶν συγκλητικῶν διεχρήσαντο καὶ πολλῶν τὰς οὐσίας ἐδήμευσαν, τὴν οἰκίαν τε τοῦ Σύλλου καθελόντες καὶ ἀνατρέψαντες, τὴν γαμετὴν καὶ τοὺς παῖδας εἰς φυγὴν ἔτρεψαν. Ἀμέλει τῆς συγκλήτου τὸ λειπόμενον ἐπὶ τὸν Σύλλαν ὥρμησεν, ὥστε βοηθῆσαι τοσούτῳ κακῷ. Παραγενόμενος οὖν εἰς τὴν Ἰταλίαν ὁ Σύλ-

1. *αὐτῷ* ΑΜΣ : *αὐτῶν* ΙΔ    *Ἀθηναίων* ΑΙΔ : *Ἀθηνῶν* ΜΣ    *Ἀρίστωνος* Π : *Ἀρίστωνος ἐκ τοῦ Ἀρίστονος* Μ. Γραπτέον *Ἀριστίωνος*    11. *γίγνεται* Δ : *γίνεται* Π    14. *ἕλεσιν* ΑΜΙ : *ἕλεσι* ΣΔ    15. *ποιήσασθαι* Π : *ποήσασθαι* Μ
16. *κατορθοῦντα* ΙΣΔ : *κατορθοῦντος* ΑΜ    19. *ἀπήγγειλαν* Π : *ἐπήγγειλαν* Μ
*ἀπολιπὼν* Π : *ἀπολειπὼν* Ι    22. *αὐτὸν* Π : *αὐτῶν* Δ    28. *οἰκίαν* Α, Sylburg, Δ : *οὐσίαν* ΜΙΣ



λας Νορβανὸν καὶ Σκιπίωνα τοὺς ὑπάτους, οἳ κατὰ τὴν Μαρίου ταραχὴν ἐκεχειροτόνηντο, μάχῃ ἐνίκησε, πρῶτον μὲν Νορβανὸν περὶ τὴν Καπύην, οὗ χιλιάδας μὲν διέφθειρεν ἕξ, εἷλε δὲ τοσαύτας ἑτέρας, δεύτερον δὲ τὸν Σκιπίωνα, ὃς καὶ παρέδωκεν ἑαυτὸν σὺν τῷ στρατεύματι.

8. Γενομένων δὲ ἑτέρων κατὰ τὴν Ῥώμην ὑπάτων, Μαρίου τε τοῦ παιδὸς καὶ Παπιρίου Κάρβωνος, τὸν Μάριον καταπολεμήσας καὶ πεντεκαίδεκα χιλιάδας αὐτοῦ διαχρησάμενος, κατέλαβε τὴν πόλιν, ἐπακολουθῆσαί τινας φεύγοντι τῷ Μαρίῳ κελεύσας ἐκ τοῦ στρατεύματος, οὓς δείσας ἐκεῖνος ἐπήγαγεν ἑαυτῷ τελευτήν. Ἐν δὲ ταύταις πάσαις ταῖς μάχαις τῇ μὲν πρὸς τοὺς προτέρους ὑπάτους τέσσαρας καὶ εἴκοσι μόνους ἐκ τῆς αὐτοῦ στρατιᾶς ἀπώλεσεν ὁ Σύλλας, τῇ δὲ πρὸς τοὺς ἑτέρους τεσσαράκοντα. Μετὰ δὲ ταῦτα γίγνεται καὶ ἑτέρα μάχη τῷ Σύλλᾳ πρὸς Λαμπώνιον καὶ Καρινάτην, στρατηγοὺς τοῦ Μαρίου, κατ' αὐτῆς τῆς Ῥώμης τὰ προπύλαια, ᾗ περ ἡ Κυλλήνη καλουμένη πύλη. Ἀντεττάτοντο δὲ αὐτῷ χιλιάδες ἑβδομήκοντα. Τούτων δώδεκα μὲν εὐθὺς προσεχώρησαν τῷ Σύλλᾳ, οἱ λοιποὶ δὲ οἱ μὲν κατ' αὐτὴν τὴν παράταξιν, οἱ δὲ φεύγοντες, οἱ δὲ πρὸς τὰς παρεμβολὰς καταφεύγοντες ἀνῃρέθησαν· καὶ κόρος οὐκ εἶχε τοὺς φονεύοντας. Ἐνταῦθα δὴ καὶ ὁ Κάρβων, ὁ τῶν ὑπάτων ἕτερος, φεύγει πρὸς τὴν Σικελίαν, κἀκεῖ δέχεται τὴν τελευτὴν ὑπὸ τοῦ Πομπηίου. Τοῦτον γὰρ ὁ Σύλλας, νέον ἔτι καὶ πρῶτον ἔτος ἄγοντα πρὸς τοῖς εἴκοσι, πολλάκις ἀριστεύσαντα τεθεαμένος, ἐπέστησε τῷ κατὰ Σικελίαν στρατῷ, καὶ πάσης ἐκράτησε τῆς νήσου μετὰ τὴν Κάρβωνος σφαγήν. Δεύτερος οὖν ἐπεκαλεῖτο Σύλλας.

9. Ἀπὸ δὲ τῆς Σικελίας ἐπὶ τὴν Ἀφρικὴν διαπλεύσας συμπλέκεται Δομιτίῳ· Μαρίου καὶ οὗτος ἦν στρατηγός· καὶ αὐτόν τε ἀναιρεῖ καὶ τὸν Ἱέρδαν, Μαύρων βασιλεύοντα, συμμαχοῦντα τῷ Δομιτίῳ. Ὡς οὖν

1 (καὶ 4) *Σκιπίωνα* ΙΔ : *Σκηπίωνα* ΑΜΣ    3. *μὲν διέφθειρεν* ἔγραψα : *διέφθειρε μὲν* Ι : *μὲν ἔφθειρεν* Π    9. *ἐπακολουθῆσαί τινας* Δ : *ἐπακολουθῆσαι τινὰς* Π    11. *τοὺς προτέρους* Π : *τοὺς τέρους* τοῦ ἄνωθεν *προ* προστεθέντος τῇ δευτέρᾳ χειρὶ Α    11-13. *ὑπάτους-ἑτέρους* ἐν συνεχείᾳ τοῦ κειμένου Π : πρόσθετα ἐν τῇ ᾤᾳ Α    13. *δὲ* Π : λείπει Ι    15. *Κυλλήνη* Π : *Κολλίνη* διώρθωσε Δ
17 (καὶ 18). *δὲ* Π : *δὲ'* Α    20-21. *Σικελίαν* Π : *Σικελλίαν* Α    21. *κἀκεῖ* Ι : *κακεῖ* ΑΜΣ : *κᾄκεῖ* Δ    τοῦ ΑΜΙ : λείπει ΣΔ    27. *Δομιτίῳ* ἔγραψα ἐνταῦθα τε καὶ κατωτέρω (Ἴδε κατωτέρω τὴν γραφὴν τοῦ Ι ἐν σ. 58, 19) : *Δομητίῳ* Π
*Μαρίου* Π : *Μαρίῳ* Δ    *αὐτόν τε* Δ : *αὐτὸν τὲ* Π    28. *Ἱέρδαν* ΑΜΣ : *ἱέρδαν* ΙΔ. Γραπτέον *Ἰάρβαν*

καὶ τῶν ἐμφυλίων κεκρατηκὼς ὁ Σύλλας τὸν κατὰ Μιθριδάτου θρίαμβον ἀπεπλήρωσε, καὶ Πομπήιος δὲ πρῶτος τοῦτο λαχὼν ἐν νεότητι τὸ γέρας, εἰκοστῷ καὶ τετάρτῳ τῆς ἡλικίας ἔτει κατὰ τῶν Ἄφρων ἐθριάμβευσεν. Οὕτως ἐτελεύτησαν ὅ τε ἰταλικὸς πόλεμος καὶ ὁ ἐμφύλιος πόλεμος, ἐπὶ δεκάτῳ ἐκταθέντες ἐνιαυτῷ, ὀλεθριώτατοι γενόμενοι τῇ Ῥώμῃ. Κατ᾽ αὐτοὺς γὰρ ἀπέβαλον ἑκατὸν καὶ πεντήκοντα χιλιάδας ἀνδρῶν ὁπλιτῶν, εἴκοσι δὲ καὶ τέσσαρας ὑπατικοὺς ἄνδρας, ἑπτά τε πραιτωρίους, αἰδιλικίους ἑξήκοντα, συγκλητικοὺς δὲ ἀμφὶ τοὺς διακοσίους. Ἡ δὲ τῶν αἰδιλικίων ἀρχή τις ἦν, ἧς πρώτης οἱ παριόντες ἐπὶ τὰ πράγματα τῆς πόλεως ἐτύγχανον.

## ΒΙΒΛΙΟΝ ϛ΄.

1. Μάρκου Αἰμιλίου Λεπίδου καὶ Κύντου Κατούλου γενομένων ὑπάτων καὶ τῆς πολιτείας ὑπὸ τοῦ Σύλλου πεφυλαγμένης, καινοὶ πόλεμοι πανταχόθεν ἐξανέστησαν, ἐν μὲν ταῖς Ἱσπανίαις Σερτωρίου νεωτερίσαντος, ὃς τῆς Μαρίου συμμορίας ἦν, καὶ τοὺς Ἱσπανοὺς εἰς ὅπλα κινήσαντος, δείσαντος μὴ ταὐτὰ πάθῃ τοῖς λοιποῖς τοῖς Μαρίῳ κεκοινωνηκόσιν, ἐν Παμφυλίαις δὲ καὶ Μακεδονίᾳ καὶ Δαλματίᾳ τῶν ἐνοίκων τῆς γῆς κατὰ τοῦ δήμου στασιασάντων. Πέμπονται τοίνυν ἐπὶ μὲν τὸν Σερτώριον Κύντος Καικίλιος Μέτελλος, ὁ Μετέλλου παῖς τοῦ Ἰουγούρθαν νικήσαντος, καὶ Λούκιος Δομίτιος. Ἀλλ᾽ ὁ μὲν Δομίτιος συμμίξας ἀνῃρέθη, Μέτελλος δὲ ἀμφήριστον ἔσχε τὴν μάχην. Ἐπεὶ δὲ οὐκ ἐδόκει μόνος ἀρκεῖν, πέμπεται Πομπίλιος· καὶ διαφόρους ἔσχεν ἡ μάχη τύχας, νῦν μὲν κρατοῦντος, νῦν δὲ ἡττωμένου Σερτωρίου.

1. *Μιθριδάτου* ΙΔ : *Μιθριδάτην* ΜΣ : *μιθριδά* Λ    4. *ἰταλικὸς* Π : *ἰταλικὸς ἐκ τοῦ ὑταλικὸς* Μ    6. *τῇ Ῥώμῃ* ΙΔ : *τῆς Ῥώμης* ΛΜΣ    7. *ὁπλιτῶν* Π : *ὁπλῖτῶν ἐκ τοῦ ὁπλητῶν* Μ    8. *αἰδιλικίους* Π : *καὶ αἰδιλικίους* Δ    8-9. *ἀμφὶ τοὺς* Π : *ἀμφῖτοὺς* Μ    10. *παριόντες* ΜΙΔ : *παρόντες* ΛΣ    11. *Αἰμιλίου* Π : *αἰμιλίου* Μ    12. *καινοὶ* ΣΔ : *κενοὶ* ΛΜΙ    13. *Ἱσπανίαις* Δ : *ἰσπανίαις* ΛΜΙ : *Ισπανίαις* Σ    14. *Ἱσπανοὺς* Δ : *ἰσπανοὺς* ΛΜΙ : *Ισπανοὺς* Σ    15. *δείσαντος* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *δείσαντος* πρόσθετον τῇ δευτέρᾳ χειρὶ διὰ λ παραπεμπτικοῦ σημείου Μ    *ταὐτά* Π : *ταυτά* Λ    16. *Παμφυλίαις* Π : *Παμφυλίᾳ* ὀρθῶς Δ    18. *Καικίλιος* ΣΔ : *καὶ κίλιος* ΛΜΙ    19. *Δομίτιος* Ι : *Δομήτιος* ΜΣΔ : *δομήτιος ἐκ τοῦ δομῖτιος* Λ    *Δομίτιος* ἔγραψα : *Δομήτιος* Π
20. *ἀνῃρέθη* Π : *ἀνηραίθη* Μ



Διελθόντων δὲ ἐνιαυτῶν ὀκτωκαίδεκα Σερτώριος ὑπὸ τῶν οἰκείων ἀνῃρέθη, καὶ Ἱσπανοὶ ἐντεῦθεν ἠρεμοῦντες διέμειναν.

2. Τὸν ἐν Μακεδονίᾳ δὲ πόλεμον Ἄππιος Κλαύδιος κατώρθωσε, πολλοῖς ἔθνεσι μαχεσάμενος τοῖς τὴν Ῥοδόπην οἰκοῦσι. Νικήσαντα δὲ αὐτὸν ἀπήγαγε τοῦ βίου νόσος. Ὑποκαταστὰς δὲ αὐτῷ Γάϊος Σκριβώνιος Κουρίων Δαρδάνους τε ἐνίκησε καὶ πρὸς τὰς ὄχθας ἐχώρησε τοῦ ποταμοῦ τοῦ Ἴστρου· οὕτω τε ἐπανελθὼν ἐθριάμβευσεν.

3. Εἰς δὲ τὴν Παμφυλίαν Πούβλιος Σερβίλιος ἀφικόμενος Κιλικίαν τε ὑπηγάγετο καὶ Λυκίας τὸ πλεῖστον. Φασήλιδα γὰρ καὶ Ὄλυμπον καὶ Κώρυκον προςένειμε Ῥωμαίοις· Ἰσαύροις τε ἐπελθὼν ἠνάγκασε τὴν Ῥωμαίων δέξασθαι δεσποτείαν. Πρῶτός τε Ῥωμαίων τὸν Ταῦρον διῆλθε, καί, ὁδεύσας τὴν ὑπώρειαν, ἐπεκλήθη διὰ τὴν νίκην Ἰσαυρικός, ὡς δυςμαχώτατον ἔθνος νενικηκώς.

4. Τὰ δὲ ἐν Ἰλλυριοῖς Γάϊος Κοσκώνιος, ἀνθυπατικὴν ἐξουσίαν ἔχων, κατεστήσατο, Σάλωνας μέν, μητρόπολιν τῆς Δαλματίας, κτησάμενος, τῷ πολέμῳ δὲ ἐπιθεὶς ἔτει δευτέρῳ τέλος.

5. Ἐν αὐτῷ δὲ τούτῳ τῷ χρόνῳ Μάρκος Αἰμίλιος Λέπιδος, ὁ τοῦ Κατούλου συνύπατος, τὴν ἐμφύλιον ἐπεχείρησεν ἀνακινῆσαι στάσιν, ἀλλὰ τοῦ προςιόντος θέρους καθῃρέθη, καὶ τὰ γενόμενα παρὰ τοῖς Ἰλλυριοῖς καὶ κατὰ τὴν πόλιν τάχους τε ἕνεκα καὶ τῶν ἔργων αὐτῶν ἠξιώθη θριάμβων.

6. Καὶ Ῥώμῃ δὲ ἕκτον καὶ ἑβδομηκοστὸν ἐπὶ τοῖς ἑξακοσίοις ἔτος ἦν. Κατὰ δὲ τοῦτον τὸν καιρὸν ἐκτὸς μὲν Λούκιος Λούκουλλος καὶ Μάρκος Αὐρήλιος Κόττας ἦσαν ὕπατοι, Νικομήδης δὲ ὁ βασιλεὺς τελευτῶν παρέπεμψε τὴν βασιλείαν Ῥωμαίοις. Μιθριδάτης δέ, μικρὰ τῶν σπονδῶν φροντίσας, κατὰ τῆς Βιθυνίας καὶ Ἀσίας ἔφοδον ἐμελέτησεν. Ἀμφοτέρων δὲ τῶν ὑπάτων ἐπ᾽ αὐτὸν ὁρμηθέντων, νῦν

1. *ὀκτωκαίδεκα* ΛΙΣ : *ὀκτὼ καὶ δέκα* Μ : *ὀκτὼ* διώρθωσε Δ    2. *Ἱσπανοὶ* ΣΔ : *ἰσπανοὶ* ΛΙ : *ἰσπανοὶ ἐκ τοῦ ἰσπανὸς* Μ    *ἠρεμοῦντες* ΛΜΣ : *ἠρεμοῖντες* ΙΔ    4. *οἰκοῦσι* ΙΔ : *οἰκοῦσιν* ΛΜΣ    6. *Δαρδάνους* ΛΔ : *Καρδάνους* ΙΜΣ
9. *Φασήλιδα* ΙΔ : *φασῖλιδα* ΛΜ : *Φασίλιδα* Σ    10-11. *ἠνάγκασε* Π : *ἠνάγκασε τοῦ γ διορθωθέντος ἐκ ι* Μ    11. *πρῶτός τε* Δ : *πρῶτος τὲ* Π    16. *ἐπιθεὶς* Π : *ἐπιθεὶς ἐκ τοῦ ἐπίθεις* Μ    17. *Αἰμίλιος* ΙΣΔ : *αἰμίλιος* ΛΜ    18. *Κατούλου* ΙΔ : *Κατούλλου* ΛΜΣ    19. *γενόμενα* Ι : *γινόμενα* Π    *τοῖς* Π : *τοῖς ἐκ τοῦ τῆς* Μ    20. *Ἰλλυριοῖς* Π : *ἰλλυριοῖς ἐκ τοῦ ἰλλυρῖοις* Μ    22. *ἕκτον* Π : *ἔκτον* Μ    *ἑβδομηκοστὸν* Π : *ἑβδομηκοστὸν ἐκ τοῦ ἑβδομῖκοστὸν* Μ    *ἑξακοσίοις* Π : *ἑξακοσίοις* Λ

μὲν ἐκράτει, νῦν δὲ ἧττον εἶχε Ῥωμαίων. Καὶ Κόττας μὲν πρὸ Χαλκηδόνος τῆς ἐπὶ τῷ Βοσπόρῳ συμμίξας ἡττᾶται, καὶ καταφεύγει πρὸς τὸ ἄστυ. Μιθριδάτης δέ, τὴν πολιορκίαν τρίβειν αὐτῷ τοὺς χρόνους οἰηθείς, ἔδραμεν ἐπὶ τὴν Κύζικον, ὡς ὁρμητηρίῳ χρησόμενος αὐτῇ κατὰ πάσης τῆς Ἀσίας. Οὐ μὴν οἷον ἤλπισεν ἔσχε τέλος. Λούκουλλος γὰρ αὐτῷ προκαθεσθεὶς καὶ πολιορκοῦντα πολιορκήσας, λιμῷ τε πιέσας αὐτόν τε καὶ τὸ στρατόπεδον, συνελαύνει τὸν Μιθριδάτην εἰς τὸ Βυζάντιον, οὗ νῦν ἐστιν ἡ Κωνσταντινούπολις. Καὶ μετὰ ταῦτα, τοῖς στρατηγοῖς αὐτοῦ μαχεσάμενος, τὸ πολὺ διέφθειρε τοῦ στρατοῦ, ὡς ἑκατὸν ἀνδρῶν χιλιάδας πεσεῖν ὑφ' ἑνὶ χειμῶνι καὶ θέρει.

7. Τῷ δὲ ἑξακοσιοστῷ καὶ ἑβδομηκοστῷ καὶ ὀγδόῳ τῆς πόλεως ἔτει, τὰ μακεδονικὰ μὲν ἐπετράπη Λικινίῳ Λουκούλλῳ· ἀνεψιὸς δὲ ἦν Λουκούλλου τοῦ πρὸς Μιθριδάτην πολεμοῦντος· ἐκινήθη δὲ κατὰ τὴν Ἰταλίαν πόλεμος καινός. Τέσσαρες γὰρ καὶ ἑβδομήκοντα τῶν ἐπὶ μονομαχίᾳ συνειλεγμένων ἡγεμόνας τοῦ τολμήματος ποιησάμενοι, Σπάρτακον καὶ Κρίξον καὶ Οἰνόμαον, ὀρύξαντες τὸ μονομαχικὸν θέατρον, ἀπέφυγον· καὶ πλανώμενοι κατὰ μικρόν τε ηὐξήθησαν, ὥστε εἰς ἑξήκοντα χιλιάδας προελθεῖν, πολλούς τε Ῥωμαίων στρατηγοὺς καὶ δύο τῶν ὑπάτων ἀνελόντες οὐχ ἧττω καὶ φόβον καὶ κίνδυνον ἐπήγαγον Ῥωμαίοις ἤπερ Ἀννίβας, καὶ μόλις ὑπὸ Λικινίου Κράσσου, χειροτονηθέντος ὑπάτου, πολλαῖς περιβαλόντες τὴν Ῥώμην συμφοραῖς, ἔτει τρίτῳ τῆς ἀρχῆς τοῦ πολέμου, παντελῶς ἀπεσβέσθησαν.

8. Ἑξακοσιοστῷ δὲ καὶ ὀγδοηκοστῷ καὶ πρώτῳ τῆς πόλεως ἔτει,

1-2. *Χαλκηδόνος* Δ : *χαρχηδόνος* Μ : *Καρχηδόνος* ΙΑΣ  4. *χρησόμενος* ΙΔ : *χρησάμενος* ΑΜΣ  6. *πολιορκοῦντα πολιορκήσας* Π : ἡ πρώτη χεὶρ εἶχε γράψει *πολιορκήσας* ἡ δὲ δευτέρα παρενέβαλεν ἐν τέλει τοῦ στίχου καὶ ἐν τῇ ἀρχῇ τοῦ ἑπομένου, ὅπου ταῦτα γεγραμμένα, μετὰ τὸ *πολιορ* καὶ τὸ *κήσας*, τὰ *κοῦντα πολιορ* ὥστε νῦν ἀναγινώσκομεν *πολιορκοῦντα πολιορκήσας*  7. *αὐτόν τε* ΙΔ : *αὐτόν τὲ* ΑΜΣ  8. *ἐστιν* ΣΔ : *ἐστὶν* ΑΜΙ  11. *ἑξακοσιοστῷ* Π : *ἑξακοσιοστῷ* Α

12. *Λικινίῳ* ἔγραψα κατὰ τὴν γραφὴν τοῦ Α κατωτέρω ἐν στ. 20 : *Λιννίῳ* (ι) Π  13. *πολεμοῦντος* ΙΑΣ : *πολεμοῦν* Α : *πολεμοῦντα* Μ  14. *καινός* Π : *καινὸς* ἐκ τοῦ *κενὸς* Π  16. *Κρίξον* Π. Γραπτέον *Κρίξαν*  17. *μικρόν τε* Δ : *μικρόν τὲ* Π  18. *ἑξήκοντα* Π : *ἐξήκοντα* Α  19. *ἧττω* ΑΣ : *ἥττω* ἐκ τοῦ *ἧττω* Μ : *ἧττον* ΙΔ  20. *Λικινίου* Α : *Λικιννίου* Π  21. *χειροτονηθέντος* Π : *χειροτονηθέντες* διωρθώθη ὑπὸ τοῦ ἐρυθρογράφου εἰς *χειροτονηθέντος* Α : *χειροτονηθέντες* Ι  *περιβαλόντες* ΙΣΔ : *περιβαλλόντες* διωρθώθη ὑπὸ τοῦ ἐρυθρογράφου εἰς *περιβαλόντες* Α : *περιβαλόνταις* Μ  23. *ἑξακοσιοστῷ* Π : *ἑξακοσιοστῶ* Μ *ὀγδοηκοστῷ* Π : *ὀγδοηκοστῶ* Μ



δὲ Κορνηλίου Λεντούλου καὶ Γνέου Φιλίου Ὀρέστου τὴν ἀρχὴν δεξαμένων, οἱ δύο πόλεμοι τὴν Ῥωμαίων ἐνώχλουν μόνοι, ὅ τε πρὸς Μιθριδάτην καὶ ὁ πρὸς Μακεδόνας· οἷς ἐπεστάτουν Λούκιός τε Λούκουλλος καὶ Μάρκος Λούκουλλος. Ἀλλ' ὁ μὲν Λούκιος μετὰ τὴν ἐν Κυζίκῳ μάχην, ἣν ἄρτι διηγησάμην, νικᾷ τε τοὺς ἡγεμόνας τοῦ Μιθριδάτου ναυμαχίᾳ, καί, κατακολουθῶν ὄπισθεν, Παφλαγονίαν τε καὶ Βιθυνίαν ἀνεκτήσατο καὶ πρὸς τὸν Πόντον, ὃς ἦν τῆς Μιθριδάτου βασιλείας, τὸν δρόμον ἴθυνε, καὶ τὰς ἐπισήμους τοῦ Πόντου πόλεις, Σινώπην τε καὶ Ἀμισσόν, εἷλεν. Εἶτ' ἐπισυνάψας τὴν μάχην περὶ Τάβεραν τὴν πόλιν, μετὰ πολλοῦ πλήθους ἐκ πάσης αὐτοῦ τῆς βασιλείας ἀντιπαραταξαμένου τοῦ Μιθριδάτου, οὗτος, πεντακισχιλίοις μόνοις ὁπλίταις χρώμενος, τριάκοντα διεχρήσατο χιλιάδας, καί, τρέψας τὸν Μιθριδάτην εἰς φυγήν, τῶν τε παρεμβολῶν ἐγένετο κύριος ἀφείλετό τε καὶ τῆς Μικρᾶς Ἀρμενίας αὐτόν. Τὸν μὲν οὖν φυγόντα Τιγράνης ὁ τῆς Ἀρμενίας ὑπεδέξατο βασιλεύς, ἐπισημότατος τῶν πώποτε τὴν χώραν κατασχόντων καὶ Πέρσας ἀεὶ νενικηκὼς καὶ τὴν Μεσοποταμίαν καὶ τὴν Συρίαν καὶ τὰ πλεῖστα τῆς Φοινίκης ὑφ' ἑαυτὸν ἔχων.

9. Λούκουλλος δ' ἐπεξελθὼν καὶ τῆς Τιγράνου βασιλείας κατεφρόνησε καὶ τὴν μεγίστην αἱρεῖ πόλιν Ἀρμοζιανήν, εἶτα καὶ αὐτὸν τὸν Τιγράνην ἐπιόντα μετὰ μὲν ὁπλιτῶν ἑπτακισμυρίων καὶ πεντα-

1. *Γνέου* Π. Γραπτέον *Γναίου*  *Φιλίου* Π : *Αὐφιδίου* διώρθωσε Δ

2. *ἐνώχλουν* Π. Γραπτέον *ἠνώχλουν*;  3. *Λούκιός τε* Δ : *Λούκιος τὲ* Π

(λ) *Λούκουλλος* Π : *λούκουλος* Μ  Ἐν τῇ ῷᾳ· *τοῦτον τὸν λούκουλλον (λουκολλον Α) ὁ πλούταρχος παράλληλον τίθησι κίμωνι τῷ ἀθηναίῳ* ΑΜΣ  5. *τοὺς* Π : *τοῦς* Ι  *τοῦ* Π : *ποῦ* ἐκ τοῦ *τοῦ* Α  7. *τῆς* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *τῆς* ἐν βραχυγραφίᾳ πρόσθετον ἐρυθρὸν ἄνωθεν Α  8. *ἐπισήμους* Π : *ἐπισήμους* ἐκ τοῦ *ἐπισήμου* τοῦ ς προστεθέντος ὑπὸ τῆς δευτέρας χειρὸς Α  9. *Ἀμισσόν* Π. Γραπτέον *Ἀμισόν*  9-10. *Τάβεραν* Π : *Κάβειρα* διώρθωσε Δ  12. *διεχρήσατο* Π : *διεχρήσατο* τῶν γραμμάτων *δι* προστεθέντων ἄνωθεν τῇ δευτέρᾳ χειρὶ Α  14. *ἀφείλετό τε* Δ : *ἀφείλετο τὲ* Π  14 (καὶ 15). *Ἀρμενίας* ΙΔ : *ἀρμενίας* ΑΜ : *Αρμενίας* Σ  20. *αἴρει* ΑΜΙ : *ἔρει* Σ : *αἱρεῖ* διώρθωσε Δ  *πόλιν* Π : *πόλιν* :/ ἐκ (ΚΛ) τοῦ *μάχης* τῇ πρώτῃ χειρί, ἐν δὲ τῇ ῷᾳ :/ *καὶ τιση* (;) *πόλιν* (;) *λειφθα* (;) Α  Τὰ μετὰ τὸ *πόλιν* μέχρι τῶν λέξεων *λαμπρῶς κρατήσας* (Ἴδε κατωτέρω σ. 62, 25) περιλαμβάνει μόνος ὁ Ι ἐν φ. 446-456, λείπουσι δ' ἐν ΑΜΣ, ἑπομένων ἐν συνεχείᾳ τῶν κατωτέρω ἐν σ. 62,25 *ὅθεν δὴ καὶ Κρητικὸς κ. ἑ.* Ἐν δὲ τῷ Μ εὕρηται μετὰ τὸ *πόλιν* κενὸν ὡσεὶ ὀκτὼ γραμμάτων, ἐν ᾧ ἡ δευτέρα χεὶρ ἔγραψε *πόλιν* ⁺ ἐν δὲ τῇ ῷᾳ ⁺ *λείπει φύλλον α̅*  *ἀρμοζιανήν* Ι. Γραπτέον *Ἀρζανηνήν*

κοσίων, τρισὶ δὲ πλειόνων μυριάσι τοξοτῶν, αὐτὸς σὺν ὀκτακισχιλίους καὶ μυρίοις οὕτως ἐνίκησεν, ὡς ἅπασαν σχεδὸν διαφθαρῆναι τὴν Ἀρμενίων δύναμιν. Διαβὰς δὲ ἐπὶ τὴν Νίσιβιν, αἱρεῖ τὴν πόλιν σὺν τῷ τοῦ βασιλέως ἀδελφῷ. Τῶν δὲ ὑπὸ Λουκούλλου καταλελειμμένων ἐπὶ φυλακῇ τῶν κτηθέντων ῥαθυμούντων ἅμα καὶ τῇ περὶ τὰ χρήματα σπουδῇ τὸ πλέον νεμόντων, αἰτία γίνεται τῷ Μιθριδάτῃ πάλιν ἐπιχειρῆσαι τῷ Πόντῳ. Καὶ παρασκευῆς ἐπεμελεῖτο εἰς πόλεμον. Οὐ μὴν ἀξιόχρεων τοῦτο ἐφάνη Λουκούλλῳ, τὴν κατὰ τῶν Περσῶν ἐπιστράτευσιν ἀνακόψαι· κἂν ἔπραξέ τι κατ᾿ αὐτῶν γενναῖον, εἰ μὴ τῆς ἀρχῆς αὐτὸν ἔπαυσαν Ῥωμαῖοι.

10. Ὁ δὲ ἕτερος Λούκουλλος, ᾧ τὰ περὶ Μακεδονίαν ἐπετέτραπτο, πρῶτος ἐπήγαγε Βέσσοις πόλεμον, ἔθνει Θρακῶν μαχιμωτάτῳ, καὶ κρατήσας αὐτῶν ἐν ταῖς ὑπωρείαις τοῦ Αἵμου ἀφείλετο καὶ τῆς πόλεως αὐτοὺς τῆς Οὐσκουδάμης· εἷλε δὲ καὶ τὴν Καβύλην, καὶ πρὸς αὐτὸν χωρήσας τὸν Ἴστρον, πολλὰς τῶν τοῦ Πόντου πόλεων ἐπολιόρκησεν, Ἀπολλωνίαν καὶ Κάλλαβον καὶ Παρθενόπολιν, Τόμους τε ἐπὶ ταύταις καὶ Ἱερὸν καὶ Βουρζάονα. Κατορθώσας τε οὕτω τὸν πόλεμον οἴκαδε ἐπανῆκεν. Καὶ θριαμβεύουσιν ἑκάτεροι Λούκουλλοι, ἐπιφανέστερον δὲ ὁ Μιθριδάτην νενικηκὼς ὡς ἐπὶ πολλαῖς ἅμα βασιλείαις ἃς καθηρήκει τὸν θρίαμβον ἄγων.

11. Ἀλλὰ τὰ μὲν Μακεδόνων οὐκέτ᾿ ἐκινεῖτο· Μιθριδάτης δὲ ἐν τοῖς αὐτοῖς ἦν ἔτι. Τὴν γὰρ ἀναχώρησιν Λουκούλλου καιρὸν αὐτοῦ ποιησάμενος συνέλεγε στρατείαν. Παρασκευαζομένου δὲ ἐκείνου, Κρῆτες ἐπανέστησαν. Ἐφ᾿ οὓς ἐξεπέμφθη Κύντος Καικίλιος Μέτελλος, καὶ τρισὶν ἔτεσι ταύτην κατέλυσε τὴν κίνησιν, λαμπρῶς κρατήσας· ὅθεν δὴ καὶ Κρητικὸς ὁ Μέτελλος προσηγορεύθη, καὶ τὴν νίκην ἐθριάμ-

3. *αἷρει* I. Γραπτέον *αἱρεῖ*  4. *Λουκούλλου* ἔγραψα : *λουκούλου* I  16. *κάλλαβον* I. Γραπτέον *Κάλατιν*  17. *ἱερὸν* I. Γραπτέον *Ἴστρον* *Βουρζάονα* I. Γραπτέον *Βουζιάωνα*  τε ἔγραψα : γὲ I  20. *καθηρήκει* I. Ἐν τῇ ἐμῇ ἐκδόσει τοῦ ἀποσπάσματος τούτου ἐν τῇ Classical Review Τόμ. ΙΑ' σ. 388, 30 ἐκ τυπογραφικοῦ παροράματος *καθηρήκες*  21. *Μιθριδάτης* ἔγραψα ἀντὶ τοῦ ἐν τῷ I *μιθραδάτης* (Ἴδε Classical Review ἔνθ' ἀν. σ. 388, 32) ἐπειδὴ τὸν τύπον τοῦτον φέρουσι κατ' ἐπικράτησιν οἱ κώδικες τοῦ Παιανίου. Μόνον ἐν τῷ A ἑξάκις φέρεται *μιθραδάτην*. Ἴδε κατωτέρω σ. 63 κ. ἑ.  22. *αὐτοῦ* ἔγραψα : *αὗτοῦ* I  23. *στρατείαν* I. Ἴδε καὶ ἀνωτέρω σ. 35, 3 Γραπτέον *στρατιάν*  24. *Καικίλιος* ἔγραψα : *καὶ κίλλιος* I  25. Τὰ ἀπὸ τῆς λέξεως *ὅθεν* καὶ ἑξῆς εὕρηνται ἐν ἅπασι τοῖς κώδιξι  26. *ὁ Μέτελλος* II : λείπει I



βευσε. Τότε καὶ Λιβύων ὁ βασιλεὺς Ἀππίων Ῥωμαίοις παρέπεμψε τὴν ἀρχὴν ἀποθνήσκων ἐκ διαθήκης, κύριοι δὲ Λιβύων ἐγένοντο Ῥωμαῖοι, καὶ μεγίστας προσελάβοντο πόλεις, Βερενίκην, Πτολεμαΐδα καὶ Κυρήνην.

12. Οὕτω τῶν πραγμάτων κατὰ γῆν ἐχόντων, ἐκ θαλάττης ἐκινήθη πόλεμος, λῃστῶν αὐτὴν πανταχόθεν ἐπιπλεόντων, ὡς μήτε τοῖς ἐμπόροις μήτ᾿ ἄλλοις αὐτὴν εἶναι πλοεῖν. Τοῦτον ὁ Πομπήιος, ψηφίσματι τῆς πόλεως ἐπιτραπέντα, ἐν μικρῷ χρόνῳ καὶ μετὰ λαμπρᾶς ἔπαυσε τῆς τύχης. Καὶ μετέστη πρὸς Μιθριδάτην τε καὶ Τιγράνην. Καὶ τὸν μὲν Μιθριδάτην ἐν Ἀρμενίᾳ τῇ δευτέρᾳ, νυκτομαχίᾳ νικήσας, τάς τε παρεμβολὰς εἷλε καὶ τεσσαράκοντα χιλιάδας διέφθειρε τοῦ τῶν πολεμίων στρατοῦ, εἴκοσι τῶν ἑαυτοῦ μαχητῶν ἀποβαλὼν καὶ ἑκατοντάρχους δύο. Αὐτόν τε Μιθριδάτην μετὰ τῆς γαμετῆς συνελάσας εἰς φυγήν, ἐπὶ τὸν Τιγράνην ἐχώρησεν. Ἀλλ᾿ ὁ μὲν Μιθριδάτης ὑπὸ τῆς συμφορᾶς χαλεπῶς τοῖς οἰκείοις κεχρημένος, ἐπαναστάντος αὐτῷ τοῦ παιδὸς Φαρνάκου καί τινων ἐκ τοῦ στρατοῦ, φαρμάκῳ τὴν τελευτὴν ᾔρατο, καὶ τοῦτο ἔσχε πέρας τοῦ βίου περὶ τὸν Βόσπορον, ἀνὴρ ἔργῳ τε καὶ βουλαῖς ἄριστος καὶ τήν τε βασιλείαν ἑξήκοντα κατασχὼν ἔτεσι, τῆς δὲ ἡλικίας προβάσης ἑβδομήκοντα καὶ δύο. Ὁ δὲ Ῥωμαίων πρὸς αὐτὸν πόλεμος τεσσαράκοντα ἔτη ἐγένετο.

13. Τιγράνης δὲ παρέδωκεν ἑαυτὸν Πομπηίῳ ἐν Ἀρταξάτῳ, φρουρίῳ δεκάτῳ καὶ ἕκτῳ σημείῳ, τοῦ στρατοπέδου ἀπέχοντος τοῦ Πομπηίου τοῦ Ἀρταξάτου φρουρίου δέκα καὶ ἓξ σταδίους. Τὸ δὲ Ἀρτάξατον φρούριον ἦν τοῦ Τιγράνου. Καὶ τὸ διάδημα τὸ βασιλικὸν αὐτῷ προσεκόμισε, καὶ προσέπεσε πρὸς τὰ γόνατα. Ἀλλ᾿ ἐκ μεγαλοφροσύνης ὁ Πομπήιος τόν τε στέφανον ἐπέθηκεν αὐτοῦ τῇ κεφαλῇ, καὶ πάσης τε μετέδωκε τιμῆς, μέρος τῆς βασιλείας ἀφελόμενος καὶ χρήμασι σωφρονίσας. Συρίαν μὲν γὰρ καὶ Φοινίκην καὶ Σωφάνην περιέ-

1. *Ἀππίων* II : *Ἀπίων* διώρθωσε Δ  2. *ἀποθνήσκων* Δ : *ἀποθνήσκων ὢν* II *δὲ* II : *δὴ* Δ  *Λιβύων* II : *Λιβύης* διώρθωσε Δ  7. *ἄλλοις* II : *ἄλλοις ἐκ τοῦ ἄλλης* M  8. *μετὰ λαμπρᾶς* II : *μεταλαμπρᾶς* M  9 (καὶ 10). *Μιθριδάτην* II : *μιθραδάτην* Λ  10. *μιθριδάτην μὲν* I : *μὲν Μιθριδάτην (μιθραδάτην Λ)* II  11. *εἷλε* II : *εἷλεν* M  14. *Μιθριδάτης* II : *μιθραδάτης* Λ  16. *Φαρνάκου* II : *φαρνάξ* Λ  *καὶ τινων* II : *καὶ τινῶν* Δ  17. *ᾔρατο* IΣΔ : *ᾔρατο* ΛM *ἔσχε* II : *ἔσχεν* I  18. *ἑξήκοντα* II : *ἐξήκοντα* Λ  21. *ἐν Ἀρταξάτῳ* ἔγραψα : *ἐν ἀρταξάτου* II : *τῶν Ἀρταξάτων* Δ  21-22. *φρουρίῳ* ΛI : *φρουρίου* M  23-24. *τοῦ Ἀρταξάτου-Τιγράνου* ΛMI : λείπουσι ΣΔ  26. *τε* ἔγραψα : *τὲ* II : *ἔτι* Δ  28. *Σωφάνην* ΛM : *σωφάνην ἦν* I : *Σωφανήνην* ΣΔ

κοψεν αὐτοῦ τῆς ἀρχῆς, ἑξακισχίλια δὲ τάλαντα ἀργυρίου καταβαλεῖν ἠνάγκασε, τιμωρίαν τοῦ κατὰ Ῥωμαίων ἐγχειρήματος.

14. Ἐκεῖθεν ὁ Πομπήιος ἔδραμεν ἐπὶ τοὺς Ἀλβανούς· καὶ τὸν βασιλεύοντα τοῦ ἔθνους Ὀρόδην μάχῃ νικήσας, ἔπειτα γράμμασιν ἱκετηρίοις ἐπικλασθεὶς καὶ τάξας φόρους, ἐσπείσατο πρὸς αὐτόν, καί, μεταστὰς ἐπὶ τὸν Ἰβήρων βασιλέα τὸν Ἀρτάκην, ἐκράτησε τοῖς ὅπλοις καὶ αὐτοῦ κατέστη κύριος, ἐκδοὺς ἑαυτὸν τῷ νενικηκότι. Τότε τὴν δευτέραν Ἀρμενίαν Δηιοτέρῳ, τῷ βασιλεῖ τῆς Γαλατίας, ἔδωκε δῶρον ὁ Πομπήιος, συμμάχῳ κατὰ τοῦ Μιθριδάτου γεγενημένῳ· καὶ Πυλαιμένει δὲ καὶ Ἀττάλῳ τὴν Παφλαγονίαν ἀπέδωκε τῆς αὐτῆς αἰτίας χάριν. Ἀρίσταρχον δὲ ἔταξε βασιλεύειν Κόλχων. Καὶ μετὰ ταῦτα προσπεσὼν Πετραίοις τε καὶ Ἀρραβίοις καὶ νικήσας μάχῃ, πρὸς τὴν Συρίαν ἐπανῆκε, καὶ παρέσχε τοῖς Σελεύκειαν τὴν Ἀντιοχείας γείτονα κατοικοῦσιν αὐτονομίαν, ὅτι δὴ τῷ καιρῷ τοῦ πολέμου τὸν Τιγράνην οὐχ ὑπεδέξαντο. Ἀπέδωκε δὲ καὶ Ἀντιοχεῦσι τοὺς ὁμήρους, καί τινα καὶ γῆν τοῖς ἐνοίκοις τῆς Δάφνης προσεκύρωσεν, ὡς ἂν ἀφθονωτέρῳ χρῷντο τῷ χωρίῳ, τῶν τε πηγῶν καὶ τοῦ ἄλσους αὐτὸ θαυμάσας. Ἐντεῦθεν δὲ ἐπὶ τὴν Ἰουδαίαν ὁρμηθείς, τρίτῳ τῆς ἐφόδου μηνὶ τὴν βασιλικὴν αὐτῶν πόλιν εἷλε τὰ Ἱεροσόλυμα, τῶν Ἰουδαίων αὐτῶν δώδεκα χιλιάδας ἐν τῇ πόλει διαφθείρας. Τοῦτο δὲ καὶ τοὺς λοιποὺς αὐτῷ προσχωρῆσαι παρεσκεύασε.

15. Κατὰ τοῦτον τὸν χρόνον Μάρκος Τούλλιος Κικέρων ὁ ῥήτωρ καὶ Γάϊος Ἀντώνιος, ὕπατοι χειροτονηθέντες, ἑξακοσιοστῷ καὶ ὀγδοηκοστῷ καὶ ἐνάτῳ τῆς πόλεως ἔτει τὸν ἐμφύλιον ἔσχον πόλεμον, ὃν Σέργιος Κατιλίνας, ἐξ ἐπιφανεστάτου κατιὼν γένους, ἐπήγειρε, φαυλότητι τρόπων χρώμενος καὶ δυσσεβῆ λαβὼν ἐπιθυμίαν τὸν τῆς πατρίδος ἀφανισμόν. Τούτῳ πρὸς ταύτην τὴν ἀθέμιτον πρᾶξιν συνωμόσαντό τινες, ὁμοίως μὲν ἐκείνῳ τὸ ἦθος διεφθαρμένοι, λαμπροὶ δὲ ἄλλως. Τὸν

3. ἐκεῖθεν Π : ἐκεῖθεν δὲ Δ 4. μάχη Δ : μάχην Π 7. ἐκδοὺς Π : ἐκδόντος διώρθωσε Δ κατὰ τὰ προταθέντα ὑπὸ Sylburg 8. Δηιοτέρῳ Π. Γραπτέον Δηιοτάρῳ δῶρον Π : δῶρον ἐκ τοῦ δώρον Μ 9. Πυλαιμένει ΑΜΙ : Πυλαιμένῃ ΣΔ 12. Πετραίοις Π : Ἰτουραίοις διώρθωσε Δ Ἀρραβίοις Π : Ἀραβίοις διώρθωσε Δ 16. ἀφθονωτέρῳ Π : ἀφθονωτέρω Α 18. ἐπὶ Π : ἐπὴ Μ
20. τοῦτο Π : τοῦτον Δ 23-24. ὀγδοηκοστῷ Π : ὀγδοηκοστῶ Μ ἐνάτω τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ ἐννάτῳ Α : ἐννάτῳ Π 27-28. συνωμόσαντό τινες ΙΔ : συνωμόσαντο τινὲς Π 28. ἐκείνῳ Π : ἐκείνω διώρθωσεν ὁ ἐρυθρογράφος ἐκ τοῦ ἐκεῖνο Α διεφθαρμένοι Π : διεφθαρμένοι τῇ δευτέρα χειρὶ ἐκ τοῦ διεφθαρμένον Α



μὲν οὖν Κατιλίναν ὁ Κικέρων ἐξέβαλε τῆς πόλεως, τοὺς δὲ κοινωνοὺς τοῦ τολμήματος δεσμωτηρίῳ κατακλείσας διέφθειρεν. Ἀντώνιος δὲ ὁ συνύπατος, ἐπεξελθὼν ἤδη στρατοπεδευομένῳ τῷ Κατιλίνα, μάχῃ τε ἐκράτησεν αὐτοῦ καὶ ἀνεῖλεν.

16. Ἑξακοσιοστῷ δὲ καὶ ἐνενηκοστῷ <καὶ ἐνάτῳ> τῆς πόλεως ἔτει τὴν μὲν ἀρχὴν εἶχον Ἰούλιος Σιλβανὸς καὶ Λούκιος Μουρήνας, θρίαμβοι δὲ ἐψηφίσθησαν Μετέλλῳ μὲν ὑπὲρ τοῦ Κρητικοῦ πολέμου, Πομπηίῳ δὲ τῶν πειρατῶν τε ἕνεκα καὶ Μιθριδάτου. Ἐγένετο δὲ οὗτος ἐπιφανέστατος τῶν πώποτε θρίαμβος, πρὸ τοῦ ἅρματος ἀγομένων τῶν τοῦ Μιθριδάτου παίδων καὶ τοῦ Τιγράνου παιδὸς καὶ Ἀριστοβούλου τοῦ βασιλέως τῆς Ἰουδαίας, χρυσοῦ τε καὶ ἀργύρου ὅσον μέγιστον εἰπεῖν προπομπεύοντος· καὶ ἅπας τότε ἡσύχαζε πόλεμος.

17. Τρίτῳ δὲ πρὸς τοῖς εἰρημένοις Ἰούλιος Καῖσαρ ὁ μετὰ ταῦτα τὴν πολιτείαν μεταστήσας, μετὰ Λουκίου Βιβούλου παρελθὼν εἰς τὴν ὑπατείαν, Γάλλοις τε καὶ Ἰλλυριοὺς μετὰ δέκα ταγμάτων, ἅπερ αὐτοὶ καλοῦσι λεγεῶνας, καὶ νικᾷ τοὺς Ἐλβητίους, τότε πρῶτον ἡττηθέντας· Σηκουανοὶ δὲ οὗτοι νῦν προσαγορεύονται. Συνάπτων δὲ μάχαις μάχας καὶ νίκαις νίκας, ἄχρις αὐτοῦ προῆλθε τοῦ Ὠκεανοῦ καὶ τῶν νήσων τῶν Βρεττανῶν. Ἔτεσι δὲ ἐννέα Γάλλους ἅπαντας ὑπηκόους ἐποίησε Ῥωμαίοις, οἵτινες ὑπὸ τῶν Ἄλπεων καὶ τῶν ποταμῶν, τοῦ τε Ῥοδανοῦ καὶ τοῦ Ῥήνου, καὶ τῆς Ὠκεανίτιδος θαλάττης περικλείονται. Συμμίξας δὲ καὶ τοῖς Βρεττανοῖς, τότε πρῶτον ῥωμαϊκὴν ὁρῶσί τε καὶ ἀκούουσι στρατιάν, εἷλέ τε καὶ μεθ' ὁμηρίας ὑποσπόν-

1. Κατιλίναν Π : κατιλῖαν τοῦ ν προστεθέντος ἄνω τῇ δευτέρᾳ χειρὶ Μ
2. Ἀντώνιος Π : ἀντωνῖνος Α 3. συνύπατος Π : συνὔπατος Ι Κατιλίνᾳ Π : κατιλίναι Μ 5. ἑξακοσιοστῷ Π : ἑξακοσιοστῶ Μ καὶ ἐννάτῳ ΑΜΙ : [καὶ ἐννάτῳ] Σ : διέγραψε Δ 7. δὲ ΣΔ : μὲν ΑΜΙ 7-8. Πομπηίῳ Π : πομπηΐω ἐκ τοῦ πομπηΐον Μ 8. Μιθριδάτου Π : μιθραδάτου Α 9. πώποτε Π : πόποτε Ι 13. Ἐν τῇ ῳϥ· ἀπὸ κτίσεως ῥώμης ἕως τῆς αης (πρώτης Σ) ὑπατείας ἰουλίου καίσαρος, ἔτη χϟβ' ΑΜΣ Καῖσαρ ΙΔ : καίσαρ ΑΜΣ ὁ Π : λείπει Ι
14. Βιβούλου ΣΔ : βεβούλου ΑΜΙ παρελθὼν Π. Γραπτέον παρῆλθεν
15. μετὰ Π : ἐκ ψηφίσματος ἐπεπέμφθη μετὰ κατὰ τὰ ὑπὸ τοῦ Sylburg προταθέντα Δ 16. καλοῦσι ΙΣ : καλοῦσιν ΑΜ Ἐλβητίους Δ : Ἐλβητίους Σ : σελβητίους Μ : σελβετίους ΑΙ 17. Σηκουανοί Π. Γραπτέον Σηκουανοί 19. Βρεττανῶν Π : βρετ ανῶν Μ 20. Ἐν τῇ ῳϥ' Cη Α : λείπει Π 22. Βρεττανοῖς Π : βρετ ανοῖς Μ
23. ὁρῶσί τε Δ : ὁρῶσι τὲ Π εἷλέ τε Δ : εἷλε τὲ Π ὁμηρίας Π. Γραπτέον ὁμηρείας

δους ἐποίησεν. Ἐπέθηκε δὲ καὶ Γάλλοις φόρον. Καὶ μεταβὰς ἐπὶ τοὺς ὑπὲρ Ῥῆνον Γερμανοὺς, ἐκράτησε καὶ αὐτῶν. Ἐν τοσαύταις τε ἐθνῶν καὶ πολέμων νίκαις τρεῖς μόνον ἐσφάλη συμπλοκὰς, μίαν μὲν παρὼν ἐν Ῥαβέρναις, δύο δὲ ἀπὼν, ὅτε καὶ τοὺς ληγάτους αὐτῷ συνέβη δι᾽ ἐνέδρας ἀποθανεῖν.

18. Τέσσαρσι δὲ ὕστερον ἐνιαυτοῖς· τῆς πόλεως δὲ ἦν τοῦτο ἕβδομον καὶ ἑπτακοσιοστὸν ἔτος· Μάρκος Λικίννιος Κράσσος ὁ τῷ Πομπηίῳ συνύπατος γεγενημένος, δεύτερον ἐπὶ τὴν ἀρχὴν κληθεὶς, ἐμαχέσατο πρὸς Πάρθους· καὶ περὶ Κάρραν τὴν πόλιν μετὰ φαυλοτέρων συμμίξας τῶν συμβόλων, παρὰ Σουρήνου· στρατηγὸς δὲ ἦν οὗτος Ὀρόδου τοῦ βασιλέως· ἡττᾶται, καὶ μικρὸν ὕστερον ἐπὶ τῆς παρατάξεως πίπτει μετὰ τοῦ παιδὸς, πάντα ἀρίστου καὶ μαχιμωτάτου. Τῆς δὲ στρατιᾶς τὸ λειπόμενον Γάϊος Κάσιος, ταμίας ὢν αὐτοῦ τῶν χρημάτων, διέσωσε. Τοσαύτη δὲ ἦν ἀρετὴ τοῦ Γαΐου, ὥστε, ἐν τεταραγμένοις ἤδη τοῖς πράγμασιν ἐπανιὼν, πολλαῖς τε ἐνίκησε τοὺς Πάρθους μάχαις ὑπὲρ τὸν Εὐφράτην ποταμὸν, καὶ νενικηκότος ἔσχε δόξαν.

19. Ἐντεῦθεν ὁ ἐπάρατος καὶ πολλῶν ἄξιος ὀδυρμῶν, ὁ ἐμφύλιος συνέστη πόλεμος· ὃς πρὸς τῷ μεγέθει τῶν συμφορῶν, αἷς περιέβαλε Ῥωμαίους, καὶ τὴν πολιτείαν αὐτοῖς ἐνήλλαξεν. Ἔχει δὲ ὧδε. Καῖσαρ ἐπανιὼν ἀπὸ λαμπρῶν οὕτως ἔργων τῶν πρόσθεν εἰρημένων, ἐπήγγειλε δεύτερον αὐτῷ ψηφισθῆναι τὴν ἀρχὴν, σφόδρα πεπεισμένος, ὡς οὐδεὶς ἐναντιώσεται. Μαρκέλλου δὲ τοῦ ὑπάτου καὶ Βιβούλου καὶ Πομπηίου καὶ Κάτωνος ἀντειπόντων, προςετάχθη τὸ στράτευμα καταλιπὼν ἐπανήκειν. Ὡς οὖν ὑβρισμένος συνεπηγάγετο τὸν στρατὸν, ὡς ἐποίσων τῇ πατρίδι πόλεμον. Οὗτος ὁ φόβος τούς τε ὑπάτους καὶ τὸν Πομπήιον καὶ τὴν σύγκλητον ἅπασαν ἐξήγαγε τῆς Ῥώμης καὶ παρεσκεύασε καταφυγεῖν ἐπὶ τὴν Ἑλλάδα καὶ τὰς Ἠπείρους καὶ τὴν Μακεδονίαν. Ἀφηγουμένου δὲ τοῦ Πομπηίου τῆς γνώμης, ὁ κατὰ τοῦ Καίσαρος ἐψηφίσθη πόλεμος.

20. Ἀλλ᾽ ὁ Καῖσαρ, ἔρημον τὴν πόλιν εὑρὼν, δικτάτωρά τε ἑαυ-

4. *Ῥαβέρναις* ΑΜΣ : *ῥαβέρναις* Ι : *Ἀρβέρναις* Δ 5. *ἀποθανεῖν* Π : *ἀπεθανεῖν* Δ 7. *ἑπτακοσιοστὸν ἔτος* Π : *καὶ ἐννενηκοστὸν ἔτος ἐπὶ τοῖς ἑξακοσίοις* ἔγραψε Δ κατὰ τὰ προταθέντα ὑπὸ Sylburg *Λικίννιος* Π. Γραπτέον *Λικίνιος* 9. *μετὰ* ΜΣΔ : *καὶ μετὰ* ΑΜ 13. *λειπόμενον* Π : *λειπόμενον* Ι 20-21. *ἐπήγγειλε* ΙΣΔ : *ἐπήγγειλεν* Α : *ἐπήγγελεν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἐπήγγεν* Μ 27. *παρεσκεύασε* Π : *παρεσκεύαζε* Α 30. *Καῖσαρ* ἔγραψα : *Καίσαρ* Π *εὑρὼν* ΙΣΔ : *εὑρῶν* ΑΜ *δικτάτωρά* ΣΔ : *δικτάτορα* ΑΜΣ



τὸν ἐχειροτόνησε καὶ πρὸς τὰς Ἱσπανίας ἐχώρησε, καὶ νικᾷ μάχῃ τὸ στράτευμα τοῦ Πομπηίου. Στρατηγοὶ δὲ ἦσαν αὐτῷ ἄνδρες ἄριστοι, Λούκιος Ἀφράνιος καὶ Μάρκος Πετρήιος καὶ Μάρκος Βάρρων. Εἶτ᾽ ἐκεῖθεν ἐπὶ τὴν Ἑλλάδα διαβὰς συνέμιξε Πομπηίῳ, καὶ νικηθεὶς φυγῇ τε ἑαυτὸν ἐπιτρέψας, ἐπειδὴ τὴν νύκτα τὴν ἐπιοῦσαν οὐκ ἐπεξῆλθεν ὁ Πομπήιος, ἔφη μήτε Πομπήιον εἰδέναι νικᾶν αὐτόν τε τότε ἂν ἁλῶναι μόνον. Συλλέξας τοίνυν ἑαυτὸν καὶ τὰς δυνάμεις, συμπλέκεται τῷ Πομπηίῳ πάλιν ἐν Παλαιοφαρσάλῳ τῆς Θεσσαλίας· καὶ γίγνεται μάχη πλήθει τε μεγίστη καὶ ταῖς προθυμίαις τῶν παραταττομένων. Ὁ μὲν γὰρ Πομπήιος τεσσαράκοντα πεζῶν χιλιάδας ἐπεξῆγεν ἱππέας τε ἑκατὸν πρὸς τοῖς χιλίοις, καὶ συμμαχικὸν ἦν ἐκ τῶν ἑῴων παραγεγενημένον ὡς πλεῖστον· τῶν πολεμούντων τε αὐτῶν τὸ πλέον ἦν ἐκ τῆς ἐπιφανοῦς συμμορίας, συγκλητικῶν τε καὶ πραιτωρίων καὶ ὑπατικῶν καὶ τῶν ἐν ἐπαρχίαις πολέμους τε νενικηκότων καὶ τούτοις τὰ πολλὰ τῇ Ῥώμῃ κτησαμένων. Καῖσαρ δὲ τρισμυρίοις μὲν πεζοῖς ἐμάχετο, χιλίοις δὲ ἱππεῦσι.

21. Καὶ εἴ τις συναριθμήσειε τὰς ῥωμαϊκὰς στρατιὰς, οὐδεπώποτε εὑρήσειε τοσοῦτον πλῆθος ἐκ τῆς Ῥώμης ἐν ὅπλοις γεγενημένον οὐδέ γε ὑπὸ στρατηγοῖς τοιούτοις· ὡς ὤφειλέν γε ἡ χεὶρ αὕτη μετὰ τούτων τῶν ἡγεμόνων καθ᾽ ἑτέρων χωρεῖν· ῥᾷστα γὰρ ἂν τῆς γῆς ἁπάσης ἐβασίλευσαν. Γίγνεται δὴ καρτερὰ μάχη, καὶ μετὰ πολὺν τὸν κόπον ἡττᾶται Πομπήιος. Καὶ τῶν μὲν παρεμβολῶν ὁ Καῖσαρ καθίσταται κύριος· καταφεύγει δὲ αὐτὸς ἐπὶ τὸν Αἰγύπτου βασιλέα Πτολεμαῖον, ᾧ μικρῷ πρόσθεν ὑπὸ τῆς συγκλήτου ἐδέδοτο κηδεμὼν, νεωτέρῳ ὄντι καὶ ὑποσπόνδῳ Ῥωμαίοις· ᾔτει τε παρ᾽ αὐτοῦ συμμαχίαν. Ἀλλ᾽ ἐκεῖνος, περὶ πλείονος ποιησάμενος τὴν τοῦ Καίσαρος εὐημερίαν τῆς πρὸς Πομπήιον σχέσεως, ἀναιρεῖ τε αὐτὸν, καὶ τὴν κεφαλὴν αὐτοῦ μετὰ τοῦ δακτυλίου πέμπει τῷ Καίσαρι. Τούτων ἡ θέα δάκρυσιν ἐτιμήθη παρὰ τοῦ Καίσαρος, ἀναμιμνησκομένου μὲν

1. *καὶ πρὸς—ἐχώρησε* ἐν συνεχείᾳ κειμένου Π : *καὶ πρὸς—ἐχώρησε* πρόςθετα τῇ δευτέρᾳ χειρὶ ἐν τῇ ᾤᾳ Μ *Ἱσπανίας* ΣΔ : *ἱσπανίας* ΑΜΙ 3. *Ἀφράνιος* ΣΔ : *ἀφρόνιος* ΑΜΙ 10. *ἐπεξῆγεν* Π : *ἐπεξῆγε* Μ 13. *ἐπιφανοῦς* Π : *ἐπιφανοῦς* ἐκ τοῦ *ἐπιφανοῖς* Μ 15. *Καῖσαρ* ἔγραψα : *Καίσαρ* Π 17. *στρατιὰς* Π : *στρατιὰς* ἐκ τοῦ *στρατιᾶς* τῇ δευτέρᾳ χειρὶ Α *οὐδεπώποτε* ΙΣΔ : *οὐδὲ πώποτε* ΑΜ 19. *ὤφειλεν* Π : *ὤφειλε* Ι *μετὰ* Π : *ματὰ* Ι 22. *Καῖσαρ* ἔγραψα : *Καίσαρ* Π 24. *μικρῷ* ΑΜΙ : *μικρὸν* ΣΔ *κηδεμὼν* ΑΣΔ : *κηδεμῶν* ΜΙ 25. *ὑποσπόνδῳ* Π : *ὑπόσπονδω* Μ

τὴν τοῦ ἀνδρὸς ἀρετήν, ἀλγοῦντος δὲ καὶ διὰ τὴν ἀπὸ τοῦ γάμου συγγένειαν· γαμβρὸς γὰρ ἦν αὐτῷ γεγεννημένος.

22. Καταλαμβάνει τοίνυν τὴν Ἀλεξάνδρειαν ὁ Καῖσαρ. Ῥάπτοντος δὲ καὶ ἐπ' αὐτῷ τοῦ Πτολεμαίου τινὰς ἐπιβουλάς τε καὶ ἐνέδρας, ἐκινήθη πρὸς πόλεμον Καῖσαρ. Καὶ ἡττηθεὶς ὁ Πτολεμαῖος καὶ φυγών, ἐν ταῖς ὄχθαις τοῦ Νείλου τὸν βίον ἐτελεύτησεν, ὥςτε αὐτοῦ τὸν νεκρόν, τῷ θώρακι κεκαλυμμένον ἔτι, προσκομισθῆναι τῷ Καίσαρι. Τότε τοίνυν, εἰς τὴν Ἀλεξάνδρειαν εἰςελθὼν καὶ τῶν πραγμάτων κύριος γενόμενος, τῇ τοῦ τετελευτηκότος ἀδελφῇ Κλεοπάτρᾳ τὴν βασιλείαν δέδωκεν, ἐξ αἰτίας αἰσχρᾶς αὐτῇ συνήθης γεγενημένος. Ἐπανιὼν δὲ ἐκεῖθεν Φαρνάκην τὸν Μιθριδάτου παῖδα, σύμμαχον ἐν τῇ κατὰ Θετταλίαν μάχῃ γεγενημένον τῷ Πομπηΐῳ, μάχῃ τε ἐνίκησεν, ἤδη ταῖς ῥωμαϊκαῖς ἐπιόντα πόλεσι ταῖς ὑπὸ τῷ Πομπηΐῳ γεγενημέναις, καὶ τέλος εἰς αὐτοφονίαν συνήλασεν.

23. Ἐπὶ τούτοις ἐπανῆκεν εἰς τὴν Ῥώμην, καὶ τρίτην ἐπήγγειλεν ὑπατείαν, μᾶλλον δὲ αὐτὸς ἑαυτὸν ἐχειροτόνησε καὶ σὺν αὐτῷ Μάρκον Αἰμίλιον Λέπιδον, ὃς ἦν αὐτῷ ἄρχων τῶν ἱππέων γεγενημένος, ὅτε αὐτὸς ἑαυτὸν διατάτωρα κατέστησε μετὰ τὴν εἰς Ἑλλάδα τῆς συγκλήτου φυγήν. Ταῦτα πράξας ἐπὶ τῆς πόλεως, τὴν Ἀφρικὴν καταλαμβάνει· ἔνθα δὴ πολλοὶ τῶν ἐπιφανῶν ἀνδρῶν τῆς συγκλήτου τῆς ῥωμαϊκῆς, Ἰόβαν τὸν Μαύρων βασιλέα σύμμαχον λαβόντες, κατ' αὐτοῦ παρετάττοντο. Ἐπὶ τούτοις ἦσαν Πούβλιος Κορνήλιος Σκιπίων, ἀπόγονος τοῦ κληθέντος Ἀφρικανοῦ, κηδεστὴς δὲ Πομπηΐου, καὶ Μάρκος Πετρήϊος καὶ Κύντος Βάρρων καὶ Μάρκος Πόρκιος Κάτων καὶ Λούκιος Κάτων καὶ Λούκιος Κορνήλιος Φαῦστος, Σύλλου παῖς. Γενομένης οὖν μάχης ἀμφηρίστου πολλάκις, ὕστερον ὁ Καῖσαρ ἐκράτησεν· καὶ ὁ Σκιπίων μὲν καὶ ὁ Πετρήϊος καὶ Ἰόβας ἑαυτοὺς ἀνεῖλον, Φαῦστος δέ, κηδεστὴς ὢν ἐπὶ θυγατρὶ τοῦ Πομπηΐου, ταῖς τοῦ Καίσαρος ἀνῃρέθη χερσίν.

1. *διὰ* Π : λείπει Δ 3. *Καῖσαρ* ΛΔ : *Καίσαρ* ΜΙΣ 5. *Καῖσαρ* ἔγραψα : *Καίσαρ* Π 7. *τῷ* ΑΜΙ : λείπει ΣΔ *ἔτι* Π : *χρυσῷ ἔτι* Δ 17. *Αἰμίλιον* ΣΔ : *αἰμίλιον* ΑΜΙ *Λέπιδον* ΣΔ : *λεπίδιον* ΑΜΙ 18. *δικτάτωρα* ΣΔ : *δικτάτορα* ΑΜΙ 19. *φυγὴν* Π : *φυγὴν* ἐκ τοῦ *φυγῆν* Μ *ταῦτα* Π : *ταῦτα δὲ* Δ

21. *Ἰόβαν* ΑΣ : *Ἰώβαν* Ι : *ἰωβαν* Λ : *ἰόωβαν* τοῦ μὲν ο διωρθωμένου ἐξ ἄλλου γράμματος ἀδιαγνώστου, τοῦ δὲ σημείου .·. οὐδὲ ἔχοντος τὸ ἀντίστοιχον ἐν τῇ ῷᾳ 22 (καὶ 27). *Σκιπίων* Π : *σκηπίων* Λ 24. *Βάρρων* Π : *βάρων* Ι



24. Ἐνιαυτῷ δὲ ὕστερον, πάλιν εἰς τὴν Ῥώμην ὁ Καῖσαρ τέταρτον ἑαυτῷ πραγματεύεται τὴν ἀρχήν· καὶ πρὸς τὰς Ἱσπανίας ὁρμηθείς, μεγίστην εὗρε παρασκευὴν πολέμου. Πομπήϊοι γάρ, οἱ Πομπηΐου παῖδες, ὅ τε Γνέος καὶ Σέξτος, πολλῇ στρατιᾷ συμμίξαντες, παρὰ μικρὸν μὲν ἦλθον νίκης, ὥςτε, φευγόντων τῶν τοῦ Καίσαρος ὁπλιτῶν, αὐτὸν βουλεύσασθαι περὶ τῆς ἑαυτοῦ σφαγῆς. Οὐ γὰρ ἔφερε μετὰ τοσαύτας νίκας ὑπὸ νέοις γενέσθαι καὶ τῆς ἐκείνων χειρός, ἕκτον καὶ πεντηκοστὸν ἔτος γεγενημένος. Μεταγνοὺς δὲ καὶ ἑαυτὸν ἀναλαβών, κρατεῖ τῶν Πομπηιάδων μάχῃ· καὶ τὸν μὲν πρεσβύτερον ἀνεῖλε, τὸν δὲ ἄλλον εἰς φυγὴν ἔτρεψεν.

25. Οὐδενὸς οὖν τῆς ἐμφυλίου ταραχῆς λειψάνου [περιόντος], πρὸς τὴν Ῥώμην ἧκε μεγαλοφρονῶν, ὡς εἰκός, καὶ πολλὰ παρὰ τὴν ἐκ τοῦ παντὸς χρόνου τῆς πόλεως ἐλευθερίαν διεπράττετο, τὰς μὲν τιμὰς παρὰ τὸ τῷ κοινῷ δοκοῦν διδοὺς ὧν ὁ δῆμος ἦν ποτε κύριος τῇ συγκλήτῳ τε οὐχ ὑφιστάμενος τυράννου τε σαφῶς ἔργα ποιῶν. Ἐκίνησεν οὖν ἐφ' ἑαυτὸν συνωμοσίαν· καὶ συστάντες ἄνδρες ἐκ τῆς συγκλήτου τε καὶ τῶν ἱππέων ἑξήκοντα ἐβουλεύσαντο αὐτῷ φόνον. Ἦσαν δὲ ἡγεμόνες τῆς τῶν ἀνδρῶν ἐκείνων συμμορίας οἵ τε δύο Βροῦτοι, τὴν διαδοχὴν ἔχοντες ἀπὸ τοῦ πρώτου τὴν ὑπατείαν σχόντος Βρούτου μετὰ τοὺς ἑπτὰ βασιλέας, καὶ Κάσιος καὶ Σερβίλιος Κάσκας. Σύγκλητος μὲν οὖν τηνικαῦτα ἦν· ἧκε δὲ ἐπὶ τὸ βουλευτήριον ὁ Καῖσαρ, ἐπελθόντων δὲ ἐκείνων σφάττεται· τρισὶ δὲ καὶ εἴκοσι πληγαῖς τελευτᾷ τὸν βίον.

## ΒΙΒΛΙΟΝ Ζ΄.

1. Ἔνατον οὖν καὶ ἑπτακοσιοστὸν ἔτος ἠνύετο τῇ πόλει μετὰ τὴν Καίσαρος σφαγήν. Ἐμφύλιος δὲ ἐκινεῖτο πόλεμος, τῆς μὲν συγκλήτου

1-2. *τέταρτον* ΑΜΙ : *[ἐπανελθὼν] τέταρτον* Σ : *ἐπανελθὼν τέταρτον* Δ

2. *Ἰσπανίας* Δ : *ἰσπανίας* ΑΜΙ : *Ισπανίας* Σ 4. *Γνέος* Π. Γραπτέον *Γναῖος*

9. *Πομπηιάδων* Π : *Πομπηϊάδων* διώρθωσε Δ 11. *περιόντος* προςέθηκε Δ κατὰ τὰ ὑπὸ τοῦ Sylburg προταθέντα : λείπει Π 15. *τῇ συγκλήτῳ* Π : *τῇ συγκλήτω* ἐκ τῶν *τὴν σύγκλητον* Μ 17. *τῶν ἱππέων* Π : *ἱππέων* Δ *ἐβουλεύσαντο* ΑΜΣ : *ἐβουλούσαντο* Ι : *ἐβουλαύσαντο* Δ 19. *Βροῦτοι* Π : *βροῦτοι* ἐκ τοῦ *βρούτοι* Μ *ἔχοντες* ΣΔ : *ἐκόντες* ΑΜΙ 19-20. *σχόντος* ἔγραψα : *ἔχοντος* Π. Ὁ Sylburg εἶχε προτείνει *ἐσχηκότος* ἢ *σχόντος* 20. *Βρούτου* Π : *βρούτου* ἐκ τοῦ *βϊούτου* τῇ δευτέρᾳ χειρὶ Λ 22. *ἐπελθόντων* Π : *ἀπελθόντων* Μ

34. Ἐν τῇ ῷᾳ· *ἀπὸ κτίσεως ῥώμης ἕως τῆς ἰουλίου καίσαρος σφαγῆς ἔτη ψθ* ἐκ τοῦ *ψα* Μ) ΑΜ : λείπουσι ΙΣΔ *ἔνατον* ΑΜ : *ἔννατον* ΙΣΔ

τὸ ἔργον ἐπαινούσης, Ἀντωνίου δέ, ὃς ἦν συνύπατος τῷ Καίσαρι, τοὺς σφαγέας μετιόντος. Ταραττομένης δέ, ὡς εἰκός, τῆς πόλεως, πολλοῖς ἐγχειρῶν ἀτόποις Ἀντώνιος ἐχθρὸς Ῥωμαίων καὶ πολέμιος ἀπεφάνθη δόγματι κοινῷ. Στρατεύουσι τοίνυν ἐπ' αὐτὸν οἵ τε ὕπατοι Πάνσας καὶ Ἰόρτιος, προσετέθη τε αὐτοῖς Ὀκταβιανός, νέος ἔτι γεγονὼς ἐνιαυτοῖς ὀκτωκαίδεκα, ἀδελφιδοῦς τοῦ Καίσαρος καὶ τῆς οὐσίας ἐκ διαθήκης διάδοχος ὤν. Ὃν καὶ ὁμώνυμον ἑαυτῷ τὸ ἐξῆς ἐν τῇ διαθήκῃ γενέσθαι παρεκάλεσεν· ἐπεκλήθη τε ὕστερον Αὔγουστος, καὶ ἐμονάρχησε πρῶτος. Ἀντώνιος μὲν οὖν ἡττηθεὶς ὑπό τε τῶν ὑπάτων καὶ Ὀκταβιανοῦ καταφεύγει πρὸς Λέπιδον. Ἐτύγχανε δὲ ὁ Λέπιδος δικτάτωρι μὲν ὑπουργήσας Καίσαρι κατὰ τὴν ἱππικὴν ἀρχήν, δυνάμεως δὲ ἐξάρχων τότε πολλῆς. Τελευτησάντων δὲ μετὰ τὴν νίκην τῶν ὑπάτων, ἅπας ὑπὸ τὸν Ὀκτάβιον ὁ στρατὸς ἦν.

2. Τότε δὲ Λέπιδος Ἀντωνίῳ πραγματεύεται καταλλαγάς, οἰκείως τε ἔχειν αὐτῷ τὸν Ὀκταβιανὸν ἔπεισεν. Εἶτα ἐξαίφνης ἐπὶ τὴν Ῥώμην ἔφθασεν Ὀκταβιανός, τὴν στρατιὰν πᾶσαν ἄγων, ὡς τῷ Καίσαρι τιμωρήσων. Καὶ λαμβάνει μὲν τὴν ὕπατον ἀρχὴν εἰκοσαετής, φόβῳ τοῦ δήμου διδόντος, τῆς συγκλήτου τε πολλοὺς δημεύσας ὅπλοις ἐκράτει τῶν πραγμάτων. Συμπραττόντων δὲ αὐτῷ Ἀντωνίου καὶ Λεπίδου, τὸν Κικέρωνά τε ἀναιροῦσι καὶ ἑτέρους πολλοὺς τῶν ἐπιφανῶν ἀνδρῶν, οὓς ᾤοντο προστήσεσθαι τῆς πολιτείας.

3. Ἐν τούτοις τῆς Ῥώμης οὔσης, Βροῦτος καὶ Κάσιος, οἱ τὸν Καίσαρα ἀνῃρηκότες, κινοῦσι πόλεμον, πολὺν περὶ τὴν Μακεδονίαν ἀθροίσαντες στρατόν. Καὶ συμμίξαντες ἐν Ἀμφιπόλει τῆς Μακεδονίας Ὀκταβιανῷ καὶ Ἀντωνίῳ· Λέπιδον γὰρ ἔδοξε πρὸς παραφυλακὴν τῆς Ἰταλίας μένειν· νικῶσιν οὐκ ἔξω πληγῆς· Κάσιος γὰρ ἔπεσεν ἐν τῇ μάχῃ. Μετὰ ταῦτα δέ, ἀναιρεθέντος τοῦ Βρούτου . . . . . . .

1. *Ἀντωνίου* ΙΣΔ : *ἀντωνίνου* ΑΜ    *τοὺς* Π : *τοῖς* ἐκ τοῦ *τοὺς* τῇ δευτέρᾳ χειρὶ Α    4-5. *Πάνσας* ΣΔ : *πάντες* ΑΜΙ    5. *Ἰόρτιος* Π : *Ἵρτιος* διώρθωσε Δ    6. *ἐνιαυτοῖς* Π : *ἐνιαυτοὺς* Ι    8. *τε* Π : *δὲ* Δ    11. *δικτάτωρι* ΣΔ : *δικτάτορι* ΑΜΙ    13. *Ὀκτάβιον* ΑΜΙ : *Ὀκταβιανὸν* ΣΔ    14. *καταλλαγὰς* Π : *καταλαγὰς* Μ    *οἰκείως* Π : *οἰκείως* ἐκ τοῦ *οἰκοίως* Μ    15. *ἐξαίφνης* Π : *ἐξέφνης* Μ    16. *Ὀκταβιανὸς* Δ *ὀκταβιανὸς* Μ    *στρατιὰν* Π : *στρατιῶν* Μ    20. *Κικέρωνά τε* ΙΔ : *Κικέρωνα τὲ* Π    21. *προστήσεσθαι* ΙΜΔ : τὸ αὐτὸ προέτεινε Sylburg : *προστήσασθαι* ΑΣ    22. *Κάσιος* Π : *κάσιος* ἐκ τοῦ *κάσιον* τῇ πρώτῃ χειρὶ Α.
25. *παραφυλακὴν* ΙΣΔ : *παράφυλακὴν* ΑΜ    27. Τὸ ὑπόλοιπον τῆς παραγράφου μετὰ τὴν λέξιν *Βρούτου* λείπει Π : ἀνεπλήρωσεν ἐξ ἰδίας μεταφράσεως Δ



4. Μετὰ τοῦτο Πομπήιος, ὁ Πομπηίου παῖς, περὶ τὴν Σικελίαν συνεκρότησε πόλεμον, τό τε ὑπολειφθὲν τῆς μετὰ Βρούτου στρατιᾶς ἀγείρας καὶ ἑτέραν ἀξιόμαχον δύναμιν. Ἐλθὼν δὲ εἰς χεῖρας Αὐγούστῳ τε καὶ Ἀντωνίῳ, μετὰ πολὺν φόνον ἐπὶ σπονδαῖς ἀνεχώρησεν.

5. Ἐπὶ δὲ τοὺς αὐτοὺς χρόνους Ἀγρίππας ἐν Ἀκυτανίᾳ πολλὰ κατώρθωσε καὶ μεγάλα. Καὶ Βεντίδιος Βάσσος ἐν Συρίᾳ Πέρσας τε τρισὶν ἐνίκησε μάχαις καὶ τὸν τοῦ βασιλέως υἱὸν Ὀρόδου κατήνεγκεν. Ὀρόδης δὲ ἦν ὁ τὸν Κράσσον ἀνελών, περὶ οὗ πρόσθεν εἴρηται. Οὗτός τε πρῶτος ἐθριάμβευσε κατὰ Περσῶν, δικαίᾳ ψήφῳ τὸ γέρας λαβών.

6. Οὐ μὴν ἔμεινεν ἐπὶ τῶν σπονδῶν ὁ Πομπήιος, ἀλλά, κατὰ θάλασσαν ἐπελθών, ἡττήθη τῇ ναυμαχίᾳ καὶ ἀνῃρέθη. Ἀντώνιος δὲ τὴν ἀδελφὴν Αὐγούστου, γαμετὴν αὐτῷ γεγενημένην, κατὰ τὰς Καίσαρος διαλλαγὰς *εἰσηγάγετο τὴν Κλεοπάτραν βασιλεύουσαν [Αἰγύπτου]. Καὶ χωρήσας ἐπὶ Πέρσας, ἐν ἀρχῇ μὲν αὐτῶν ἐκράτει μάχῃ. Λιμοῦ δὲ καταλαβόντος τὸ στράτευμα καὶ ἐπ' αὐτῷ καὶ λοιμοῦ, ἀνεχώρησεν, ἐπεξιόντων Περσῶν, ὡσανεὶ ἡττημένῳ.

7. Ἐπανελθόντα δὲ αὐτὸν ἐκ Περσῶν ὦσεν εἰς ἐμφύλιον ἡ Κλεοπάτρα μάχην ἐπιθυμίᾳ τοῦ βασιλεῦσαι τῆς Ῥώμης. Καὶ συμπλακεὶς Αὐγούστῳ κατὰ θάλατταν πρὸς τῷ Ἀκτίῳ, τῆς Ἠπείρου χωρίῳ, ἧττόν τε ἔσχε, καὶ καταφεύγει πρὸς τὴν Αἴγυπτον. Ἀπογνοὺς δὲ τῶν πραγμάτων, ἐπειδὴ καὶ τὴν στρατιὰν εἶδεν, ἅπασαν Αὐγούστῳ προςνεμηθεῖσαν, ἑαυτὸν διεχρήσατο. Καὶ ἡ Κλεοπάτρα θάνατον ἐβούλευσε καθ' ἑαυτῆς, ἀσπίδας προςαγαγοῦσα, καὶ ταύτην ἐδέξατο τοῦ βίου τελευτήν. Οὕτω δὴ καὶ τῶν αἰγυπτιακῶν ἐγένετο πραγμάτων Αὔγουστος κύριος, ἐπέστησέ τε τῇ χώρᾳ Γάϊον Κορνήλιον Γάλλον, ὑπὸ τούτου δὲ πρῶτον ἄρχοντα Ῥωμαίων οἱ Αἰγύπτιοι ἐτέλεσαν.

8. Παύσας δὴ πάντα πανταχοῦ πόλεμον Αὔγουστος εἰς τὴν Ῥώ-

1. *Σικελίαν* Π : *σικελλίαν* Α    3. *ἀγείρας* ΑΜ : *ἐγείρας* ΙΔΣ    *χεῖρας* Π : *χείρας* ἐκ τοῦ *χεῖρας* τῇ δευτέρᾳ χειρὶ Α    4. *φόνον* Ι : *φόβον* Π    *ἐπὶ* Π : *ἐπι* Μ    *σπονδαῖς* ΙΣΔ : *σπουδαῖς* ΑΜ    6. *κατώρθωσε* Π : *κατόρθωσε* Μ    *Βεντίδιος* ΣΔ : *βέντιδος* ΑΜΙ    9. *οὗτός τε* ΙΔ : *οὗτος τὲ* Π    11. *εἰσηγάγετο* Π : ἀποπέμψας εἰσηγάγετο κατὰ τὰ ὑπὸ τοῦ Sylburg προταθέντα Δ    14-15. *Αἰγύπτου* προςέθηκαν Sylburg Δ : λείπει ΑΜΙΣ    20-21. *ἧττόν τε* ΣΔ : *ἧττον τὲ* ΑΜΙ    23. *διεχρήσατο* Π : *δι'έχρήσατο* ἐκ τοῦ *δὲεχρήσατο* Μ    24. *ἀσπίδας*. Γραπτέον *ἀσπίδα*    25. *Αὔγουστος* Π : *ὁ Αὔγουστος* Δ    26. *ἐπέστησέ τε* Δ : *ἐπέστησε τὲ* Π    *Κορνήλιον* Π : *Κορνῆλιον* Μ    *τούτου* Π : *τούτου* ἐκ τοῦ *τοῦτο* Μ    *δὲ* Π : *τὲ* Ι    27. *ἐτέλεσαν* Ι, καθ' ἃ προέτεινε Sylburg, Δ : *διετέλεσαν* ΑΜΣ

μην ἐπανῆκε δωδεκάτῳ μὲν ἐκ τῆς ὑπατείας ἔτει, δευτέρῳ δὲ καὶ τριακοστῷ τῆς ἡλικίας, διέμεινέ τε μόνος Ῥωμαίων ἔχων ἀρχὴν ἔτη τέσσαρα καὶ τεσσαράκοντα. Τὸν γὰρ ἔμπροσθεν χρόνον ἐκοινώνουν αὐτῷ τῆς δυναστείας Ἀντώνιος καὶ Λέπιδος. Τελευτᾷ δὲ ἓξ καὶ ἑβδομήκοντα γενόμενος ἐνιαυτοὺς κοινὴν καὶ αὐτόματον τελευτὴν ἐν Ἀτέλλῃ πόλει τῆς Καμπανίας. Καὶ θάπτουσιν αὐτὸν κατὰ τὴν Ῥώμην ἐν τῷ καλουμένῳ Μαρτίῳ κάμπῳ, ἄνδρα δικαίως τε καὶ κατ' ἀξίαν ἐκ τοῦ πλείστου μέρους ὑποληφθέντα θεόν· οὔτε γὰρ ἐν πολέμοις ἀνδρειότερον ἡ τύχη δείξει, οὔτε ἐν ἡσυχίᾳ μετριώτερον ἄν τις εὕροι γεγενημένον ἐν οἷς μόνος οὗτος ἔσχε τὴν ἀρχὴν χρόνοις. Δημαγωγός τε γὰρ πάντων ἄριστος ἦν καὶ μεγαλόδωρος εἰς ἅπαντας καὶ πιστότατος τοῖς φίλοις, τὰς τιμάς τε ἀφθονώτατα παρεῖχεν ὡς ἐξισοῦν ἐθέλειν ἑαυτῷ τοὺς τούτων ἀξίους.

9. Ἤνθησε γοῦν τὰ τῆς Ῥώμης πράγματα μάλιστα κατ' αὐτόν, ἀπὸ τῶν ἐμφυλίων καθαρθέντα πολέμων, καὶ προςετέθη τοῖς ὑπ' αὐτοῖς οὖσιν Αἴγυπτός τε καὶ Καλαβρία, Δαλμάται τε ἐπὶ τούτοις, ἡττηθέντες γὰρ πρότερον πολλάκις, δουλεύσαντες δὲ ἐπ' αὐτοῦ μόνον, Ἰλλυριοί τε καὶ Παίονες καὶ Ἀκυτανοὶ καὶ Ῥητίαι καὶ Βενδέλικος καὶ Κάλασσος πρὸς τοῖς ὄρεσι τοῖς Ἀλπείοις, ἡ Ποντικὴ τε παραλία καὶ ταύτης αἱ μέγισται πόλεις, Βόσπορός τε καὶ Παντικάπαιον, καὶ μὴν Δάκες τε καὶ Γερμανοί, μάχαις νικηθέντες πολλαῖς, ἀπῳκίσθησαν ὑπὲρ τὸν Ἄλβερον ποταμόν, ὃς ἐν μέσῳ ῥεῖ βαρβάροις ὡς πορρωτάτω τοῦ Ῥήνου. Κατώρθωσε δὲ τοῦτον μὲν τὸν πόλεμον διὰ τοῦ προγόνου Δρούσου, τὸν δὲ πρὸς Παίονας διὰ Τιβερίου· πρόγονος δὲ αὐτῷ καὶ οὗ-

2. *διέμεινε τε* Δ : *διέμεινε τὲ* Π  Ἐν τῇ ῥχ κάτω· + *ὅτι ὁ αὔγουστος νς ἔτη τὰ πάντα ἐβασίλευσεν ἀρξάμενος ἀπὸ κ ἔτους τῆς ἡλικίας· ὧν τὰ λὲν ιβ σὺν ἀντωνίῳ καὶ λεπίδῳ, τὰ δὲ μδ μόνος· καὶ ἔζησε τὰ πάντα ἔτη ἀπὸ γενέσεως, ος* : + ΑΜ  4. *καὶ* Π : λείπει Δ  8. *ὑποληφθέντα* ΙΣΔ : *ὑπολειφθέντα* ΑΜ  11. *εἰς* Π : *εἰ* Μ  14. *ἤνθησε* Π : *ἤνθησε* ἐκ τοῦ *ἤνθισε* Λ  15. *ἀπὸ* ΛΙΔ : *απὸ* Μ : *ὑπὸ* Σ  15-16. *ὑπ' αὐτοῖς* κατὰ τὴν πρότασιν τοῦ Sylburg διώρθωσε Δ : *ὑπάτοις* Π  16. *Αἴγυπτός τε* Δ : *Αἴγυπτος τὲ* Π  *Καλαβρία* Π : *Κανταβρία* κατὰ τὴν πρότασιν τοῦ Sylburg διώρθωσε Δ  *Δαλμάται* κατὰ τὴν πρότασιν Sylburg διώρθωσε Δ : *Δαλματία* Π  17. *γὰρ* Π : *μὲν* διώρθωσε Δ  18. *Βενδέλικος* Π : *βενκένδικος* (β) Μ. Γραπτέον *Βενδέλικοι*  19. *Κάλασσος* Π : *Σάλασσος* Δ. Γραπτέον *Σάλασσοι*  20. *Βόσπορός τε* ΙΣΔ : *βόσπορος τὲ* ΑΜ  22. *ἄλβερον* Ι : *Ἄρβερον* ΑΜΣ : *Ἄλβιον* διώρθωσε Δ  23. *δὲ* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *σὲ* πρόσθετον ἄνωθεν τῇ δευτέρᾳ χειρὶ Λ  24. *πρόγονος* ΙΣΔ : *προγονὸς* τῇ δευτέρᾳ χειρὶ διωρθωμένον ἐκ τοῦ *πρόγονος* Λ : *προγονὸς* Μ



τος ἦν· ὅθεν αὐτῷ τεσσαράκοντα χιλιάδες ἀνδρῶν αἰχμαλώτων ἤχθησαν, ἀπῴκισέ τε αὐτοὺς περὶ τὰς ὄχθας τοῦ Ῥήνου. Καὶ τῆς Ἀρμενίας δὲ τοὺς Πέρσας ἀφελόμενος, ὁμήρους ἔλαβε παρ' αὐτῶν, τότε πρῶτον ἀνασχομένων παρασχεῖν· ὅτε δὴ καὶ τὰ ῥωμαϊκὰ σημεῖα τοῖς Ῥωμαίοις ἀπεδόθη, ἅπερ ἦσαν ἀποβαλόντες οἱ σὺν Βράκχῳ μεμαχημένοι.

10. Πρὸς αὐτὸν καὶ Ἰνδοὶ πρεσβείαν ἔστειλαν, οὔπω πρότερον τὴν ῥωμαϊκὴν βασιλείαν οὐδὲ ἀκοῇ δεδεγμένοι. Αὐτὸς καὶ Γαλατίαν, βασιλευομένην πρότερον μὲν εἰς σχῆμα ἤγαγεν ἐπαρχίας· ἡγεμόνα δὲ ἐπέστησε Μάρκον Πόλλιον. Τοιοῦτος δὲ ἦν αὐτοῦ καὶ τοῖς βαρβάροις ἔρως, ὥςτε πολλοὺς καὶ τῶν βασιλευόντων ἐπωνύμους αὐτῷ κατασκευάσαι πόλεις· ὅθεν ἔτι καὶ νῦν εἰσιν αἱ Καισάρειαι. Πολλοὶ δὲ καὶ τῶν βασιλέων αὐτῶν, ἐπιθυμίᾳ τῆς Αὐγούστου θέας εἰς τὴν Ῥώμην ἀφικόμενοι, τὴν ῥωμαϊκὴν μετῆλθον στολήν, οὕτω τε αὐτῷ κατηκολούθουν ἐπὶ τῆς πόλεως, ἢ ἐφ' ἅρματος ἢ ἐφ' ἵππου φερομένῳ. Καὶ πρῶτος ἁπάντων ἔλαβε τὴν τοῦ θεοῦ προςηγορίαν, παραπέμψας καίσαρι Τιβερίῳ τὴν ἀρχήν, ὃς πρόγονός τε ἦν αὐτοῦ καὶ ἐπὶ θυγατρὶ κηδεστὴς καὶ πρὸς υἱοθεσίαν εἰςπεποιημένος.

11. Ἀλλ' ὁ Τιβέριος ῥαθυμίᾳ τε ἐχρήσατο πολλῇ καὶ ὠμότητι καὶ πλεονεξίᾳ, ἡδοναῖς τε ἐξέδωκεν ἑαυτόν, πολέμου μὲν οὐδενὸς μετασχών, εἰ δέ που συσταίη, καὶ τοὺς καλουμένους λεγάτους ἐκπέμπων. Πίστεώς τε ἦν ὀλίγος αὐτῷ λόγος. Πολλοὺς γοῦν τῶν κατὰ ἔθνη βασιλευόντων ἐξ ἀπάτης εἰς ἑαυτὸν καλῶν κατεῖχεν ἄκοντας, ὡς Ἀρχέλαον τὸν Καππαδοκῶν βασιλέα, ὃν καὶ τῆς ἀρχῆς ἐκβαλών, ἐπαρχίαν τε ἐποίησε τὸ ἔθνος, καὶ τὴν μεγίστην πόλιν ὀνόματι προςηγόρευσεν οἰκείῳ Καισάρειαν, Μαζάκην πρότερον καλουμένην. Οὗτος μὲν οὖν τρίτῳ καὶ τριακοστῷ τῆς βασιλείας ἔτει τὸν βίον ἐτελεύτησεν

2. *ἀπῴκισέ τε* Δ : *ἀπώκισε τὲ* ΙΛΣ : *ἀπώκησε τὲ* Μ  *Ἀρμενίας* ΙΔ : *ἁρμενίας* ΑΜ : *Ἀρμενίας* Σ  4. *καὶ* ΑΜΙ : λείπει ΣΔ :  5. *Βράκχῳ* ΜΣ : *βράκχω* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *γράκχω* Λ : *γράκχω* Ι : *Κράσσῳ* διώρθωσε Δ  9. *μὲν εἰς σχῆμα (εἰσχῆμα Λ)* Π : *εἰς σχῆμα μὲν* Δ  10. *Πόλλιον* Π : *Λόλλιον* διώρθωσε Δ  12. *εἰσιν* Π : *εἰπὶν* Σ  *Καισάρειαι* Π : *κάρειαι* (αι) τοῦ κ διορθωθέντος εἰς σ Λ  13. *ἐπιθυμία* Π : *ἐπιθυμίαι* Λ  17. *πρόγονός* ΙΣΔ : *προγονὸς* Μ : *προγονὸς* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *πρόγονος* Λ  *αὐτοῦ* ΙΜ : *αὐτῷ* ΛΣΠ  18. *εἰςπεποιημένος* Π : *εἰς πεποιημένος* Μ  19. Ἐν τῇ φα *Τιβέριος* ΑΜ : λείπει ΙΣΔ  25. *καὶ* Π : λείπει Ι  26. *Μαζάκην* Δ : *Μαζάκκην* Σ : *Ζάχλην* ΙΑΜ : *ζάχλην* Μ  27. *τριακοστῷ* Π : *εἰκοστῷ* διώρθωσε Δ

ἐπὶ τῆς Καμπανίας, ἑβδομήκοντα καὶ ὀκτὼ γεγεννημένος ἔτη, μεγίστην τε ἔτεκεν ἅπασιν εὐφροσύνην ἡ τελευτή.

12. Καὶ δέχεται τὴν βασιλείαν Γάϊος Καῖσαρ, ᾧπερ ἦν ἐπώνυμον Καλιγούλας, Δρούσου τε ἀδελφιδοῦς καὶ αὐτοῦ Τιβερίου, παμμίαρος καὶ πάσης πέρα συμφορᾶς· ὃς ἐκ τῆς αὐτοῦ κακίας πλείστην ἤνεγκε τοῖς Τιβερίου πταίσμασιν ἀπολογίαν. Οὗτος πόλεμον ἐπαγαγὼν τοῖς Γερμανοῖς, ἀνεχώρησε μὲν ἐκ τῆς μάχης αἰσχρῶς, βιασάμενος δὲ τὰς ἀδελφὰς καὶ συνελθὼν ἑκατέραις, θυγατέρα ἐκ μιᾶς αὐτῶν ἐποιήσατο, καὶ τῆς ἑαυτοῦ ἐκγόνης αὖθις ἐγένετο φθορεύς. Φιλάργυρος δὲ ὢν καὶ πλεονεξίᾳ κατὰ πάντων χρώμενος, οὐδεμιᾶς δὲ ἀπεχόμενος ἡδονῆς καὶ τοῖς αἰσχροῖς ὠμότητα συνάπτων, ἐν τῷ παλατίῳ κατεσφάγη, ἐνάτῳ μὲν καὶ εἰκοστῷ τῆς ἡλικίας ἔτει, τρίτῳ δὲ τῆς βασιλείας πρὸς δέκα μησὶ καὶ ἡμέραις ὀκτώ.

13. Μετὰ τοῦτον βασιλεύει Κλαύδιος, ὃς ἦν μὲν [θεῖος] τοῦ Καλιγούλου, Δρούσου δὲ παῖς· οὗ μνημεῖόν ἐστιν ἐν Μογοντιακῷ. Οὗτος βασιλικώτερον ἑαυτὸν ἦγαγε, μετριότητι μὲν πρὸς τοὺς πλείστους καὶ ἡμερότητι χρώμενος, ὠμότητι δὲ πρὸς ὀλίγους σφόδρα. Καὶ πρῶτος μετὰ τὸν πρόγονον αὐτοῦ Γάϊον καίσαρα Βρεττανοῖς ἐπήνεγκε πόλεμον. Νικήσας δὲ αὐτοὺς καὶ φόροις ὑπαγαγὼν διὰ Γνέου Σεντίου καὶ Αὔλου Πλαυτίου τῶν στρατηγῶν, ἐθριάμβευσεν. Ὑπερβὰς δὲ Βρεττανούς, τὰς Ὠκεανίτιδας νήσους, αἳ καλοῦνται νῦν Ὀρχάδες, συνῆψε Ῥωμαίοις. Ὅλως δὲ πολιτείᾳ μᾶλλον ἦν πρέπων. Ἀμέλει τὸν Πλαύτιον, πολλὴν ἀνδρείαν ἐπιδεδειγμένον ἐν τοῖς ὅπλοις, θριάμβῳ τιμήσας, αὐτὸς αὐτοῦ προεπόμπευε, καὶ ἐπὶ τὸ Καπιτώλιον συνηκολούθησεν, ἐν δεξιᾷ τὸν Πλαύτιον ἔχων. Βασιλεύσας δὲ τέσσαρας ἐνιαυτοὺς καὶ δέκα, καθιερώθη τε μετὰ τὴν τελευτὴν καὶ προσηγορεύθη θεός.

1. Ἐν τῇ ᾤᾳ· *Cή* Α : *Cή* Μ : λείπει ΙΣΔ 3. Ἐν τῇ ᾤᾳ· *γάϊος* ΑΜ λείπει ΙΣΔ 4. *Καλιγούλας* ΙΔ : *Καλλιγούλας* ΑΜΣ 6. *οὗτος* Π : *οὗτος γὰρ* Π 7. *μὲν* Π : λείπει Δ 9. *φιλάργυρος* Π : *φὺλάργυρος* Μ : 10. *κατὰ πάντων* Π : *καταπάντων* Μ 12. *ἐνάτῳ* ἔγραψα : *ἐννάτω* Π 14. Ἐν τῇ ᾤᾳ· *κλαύδιος* ΑΜ : λείπει ΙΣΔ *θεῖος* κατὰ Sylburg προσέθηκε Δ : λείπει Π 15. *μνημεῖόν ἐστιν* ΙΔ : *μνημεῖον ἐστὶν* ΑΜΣ *Μογοντιακῷ* Π : *μογοντιάκιῶ* Μ *Οὗτος* Π : *Οὗτος δὲ* Δ 18. *πρόγονον* Ι : *προγονόν* τῇ δευτέρᾳ χειρὶ ἀντὶ τοῦ τῇ πρώτῃ γραφέντος *πρόγονον* Α : *προγονὸν* ΜΣΔ 19-20. *Γνέου Σεντίου καὶ Αὔλου Πλαυτίου* διώρθωσε Δ : *γνέου μοντίου* ΑΜΙ : *Γνέου δὲ Μαντίου* Σ 22. *ὅλως* ΣΔ : *ὅλος* ΑΜΙ *πρέπων* ΙΣΔ : *πρέπον* ΑΜ 22-23 (καὶ 25.) *Πλαύτιον* Π : *πλάντιον* Μ 24. *αὐτὸς* Π : *αὐτὸς* ἐκ τοῦ *αὐτοῖς* τῇ πρώτῃ χειρὶ Α *Καπιτώλιον* Δ : *Καπετώλιον* Π. Ἴδε ἀνωτέρω σ. 11, 23, 12, 24, 18, 5, 47, 9. 26. *τὴν* ΙΔ : λείπει ΑΜΣ



14. Καὶ παρῆλθεν εἰς τὴν βασιλείαν ὁ Νέρων, ἐξ ἀδελφῆς μὲν τοῦ Καλιγούλου γεγονώς, παριὼν δὲ πάσῃ πονηρίᾳ τὸν θεῖον Γάϊον. Τήν τε γὰρ ἀρχὴν κατῄσχυνε καὶ πολλὰ τῶν ῥωμαϊκῶν ἐμείωσε δικαίων. Οὕτω δὲ ἐδούλευεν ἡδοναῖς, ὡς μηδεμιᾶς ὑπὲρ αὐτῶν φείδεσθαι δαπάνης. Ἐνελούετο μὲν γὰρ μύροις, θερμοῖς μὲν ἀντὶ θερμῶν ὑδάτων, ψυχροῖς δὲ ἀντὶ τῶν ψυχρῶν, δίκτυά τε κατασκευάσας ἐκ χρυσοῦ τε καὶ ἀλουργίδος, τούτοις εἰς θήραν ἰχθύων ἐχρῆτο. Τελευτῶν τε εἰς τοσαύτην ἤλασεν ἀσέλγειαν, ὥστε ἐν θεάτροις πρὸς ὀρχηστάς τε καὶ κιθαριστὰς καὶ φωνάσκους ἀγωνίσασθαι σχήματι καὶ στολῇ τῶν ταῦτα ἐπιδεικνυμένων. Ἰσόρροπα δὲ ἦν αὐτῷ καὶ τὰ τῆς ὠμότητος, ὥστε μηδὲ τοῦ τῶν φιλτάτων αἵματος ἀποσχέσθαι. Πολλούς τε τῶν συγκλητικῶν ἀποσφάξας, ὕστερον τὸν ἀδελφὸν καὶ τὴν ἀδελφὴν καὶ τὴν γαμετὴν διεχρήσατο. Καὶ τὸ μέγιστον τοῦ διεφθάρθαι τὴν ψυχὴν αὐτῷ σημεῖον ἐκεῖνό ἐστιν. Ἐπιθυμήσας γὰρ ὀφθαλμοῖς δέξασθαι τὸν ἐν ταῖς συγγραφαῖς τῆς Τροίας ἐμπρησμόν, ἐκέλευσε τοῖς λαμπροῖς τῆς Ῥώμης οἰκοδομήσασιν ἐπιβληθῆναι πῦρ, καὶ τέρψεως εἶδος ἐποιεῖτο τοιαύτην συμφοράν. Τούτου βασιλεύοντος αἱ μέγισται τῶν βρεττανικῶν ἀφῃρέθησαν πόλεων, καὶ Πέρσαις Ἀρμενία προσεχώρησε, καὶ ὅλως ἐν αἰσχύνῃ τὰ Ῥωμαίων. Κατεστήσατό γε μὴν ἐπαρχίας τόν τε Πολεμωνιακὸν καλούμενον Πόντον καὶ τὰς Κοττίας Ἄλπεις, τὴν μὲν συγχωροῦντο· τότε Πολέμωνος βασιλεύοντος Πόντου, τὴν δὲ Κόττου τελευτήσ ς, ἐπειδήπερ ὁ κωλύων οὐκ ἦν.

15. Ἐκ τούτων ἐπάρατος μὲν ἦν ἐν πάσῃ τῇ βασιλευομένῃ γῇ, ψηφίσματι δὲ τῆς συγκλήτου καὶ πολέμιος ἀπεφάνθη. Καὶ καταλειφθεὶς ὑπὸ τῶν δορυφόρων τε καὶ ἡγουμένων ἐκαλεῖτο πρὸς τιμω-

1. Ἐν τῇ ᾤᾳ *νέρων* ΑΜ : λείπει ΙΣΔ 2. *παριὼν* ΙΛΔ : *περιὼν* ΜΣ *τὸν* ΜΣΔ : τὸ συμπληρωθὲν ὑπὸ τοῦ ἐρυθρογράφου εἰς τὸν Α *Γάϊον* ΣΔ : *γάϊον* πρόσθετον τῇ δευτέρᾳ χειρὶ ἄνωθεν Μ : λείπει Ι : *γάϊον* πρόσθετον ἄνωθεν ὑπὸ τοῦ ἐρυθρογράφου Α 4. *μηδεμιᾶς* ἔγραψα : *μηδὲ μιᾶς* Π 6. *δίκτυα τε* Δ : *δίκτυα τὲ* Π 8. *τε* Σ : *τὲ* ΑΜΙ : *δὲ* Δ *ἤλασεν* ΙΣΔ : *ἤλασεν* ΑΜ 9. *τε* ἔγραψα : *τὲ* Ι : λείπει Π *σχήματι* Π : *σχήματι* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *χρήματι* τῆς πρώτης Α 10. *ἐπιδεικνυμένων* Π : *περιδεικνυμένων* Δ 11. *μηδὲ* ΣΔ : *μὴ δὲ* ΑΜΙ 11-12. *πολλούς τε* Δ : *πολλοὺς τὲ* Π 14. *ἐκεῖνό ἐστιν* Δ : *ἐκεῖνο ἐστὶν* Π 17. *τούτου* Π : *τούτου οὖν* Δ 18. *Ἀρμενία* ΙΔ : *Ἀρμενία* ΑΜΣ 19. *Ῥωμαίων* Π : *ῥωμαίων ἐγένετο* κατὰ τὰ προταθέντα ὑπὸ Sylburg ὁ Δ 20. *Κοττίας* ΙΔ : *Σκοττίας* ΑΜΣ 21. *τότε Πολέμωνος* Π : *Πολέμωνος τοῦ τότε* Δ 22. *Κόττου* διώρθωσε Δ : *Σκόττου* ΙΑ : *Σκότου* ΜΣ *κωλύων* Π : *κωλύων* ἐκ τοῦ *κωλύσων* Μ 24-25. *καταλειφθεὶς* ΙΜΔ : *καταληφθεὶς* ΑΣ

ρίαν. Δόγμα δὲ ἦν, ὥστε γυμνὸν αὐτὸν παντὸς ἐσθήματος περιαχθῆναι, ζυγοῦ κατὰ τῶν τενόντων κειμένου, καὶ καταξανθέντα τὸ σῶμα ῥάβδοις κατακρημνισθῆναι. Τούτων οὕτω λελεγμένων αἰσθόμενος, κατέφυγεν ἐπὶ τὸ προάστειον μεταξὺ Σαλαρίας καὶ Νωμεντάνης, τετάρτῳ τῆς Ῥώμης σημείῳ, καὶ τελευτὴν ἐπήγαγεν ἑαυτῷ. Αὐτοῦ δὲ ἦν ἔργον τὸ λουτρόν, ὃ νῦν Ἀλεξανδρειανὰς προσαγορεύουσι, Νερωνιανὰς τὸ πρὶν καλούμενον. Ἔδοξε γὰρ μηδαμοῦ τὴν προσηγορίαν αὐτοῦ φέρεσθαι. Τριακοστοῦ δὲ καὶ ἑνὸς ἔτους τῆς ἡλικίας ἀπώλετο, τέσσαρα ἐπὶ τοῖς δέκα βασιλεύσας· εἰς αὐτόν τε ἔστη τῆς τοῦ Καίσαρος συγγενείας ἡ διαδοχή.

16. Μετὰ δὲ τοῦτον βασιλεύει Σέρβιος Γάλβας, ἐκ τῶν πορρωτάτω προγόνων ἐπιφανὴς καὶ τῆς συγκλήτου τῆς ῥωμαϊκῆς ἐπισημότατος, ἔτη γεγονὼς τρία καὶ ἑβδομήκοντα. Ἤγαγον δὲ αὐτὸν ἐπὶ τὴν ἀρχὴν Ἱσπανοί τε καὶ Γάλλοι, καὶ μετὰ τὴν ἐκείνων ἀνάρρησιν ὁ πᾶς κατηκολούθησε στρατός, θαῦμα ἔχων αὐτοῦ τῆς ἀρετῆς ἁπάσης, ἣν ἰδιωτεύοντι συνήθει περὶ τὰ πολιτικὰ πράγματα καὶ τὰς περὶ τοὺς πολέμους μάχας ἐν αἷς ἐξέλαμψε, νῦν μὲν ὑπατικήν, νῦν δὲ ἀνθύπατον ἐξουσίαν ἔχων, ἄλλοτε δὲ στρατηγῶν μόνον δίχα τινὸς ἀρχῆς. Ἐλάχιστον δὲ ἐβασίλευσε χρόνον, ἐν μὲν τοῖς προοιμίοις εὐδοκιμήσας, ἐξ ὠμότητος δὲ μετὰ ταῦτα χείρονα δόξαν λαβών. Τελευτᾷ δὲ ἐξ ἐπιβουλῆς Ὄθωνος, ἑβδόμῳ τῆς βασιλείας μηνί, ἀγχόνῃ διαφθαρεὶς ἐπὶ τῆς Ῥώμης· ἐτάφη τε ἐν τοῖς ἑαυτοῦ κήποις τοῖς περὶ τὴν ὁδὸν τὴν καλουμένην Αὐρηλίαν.

17. Βασιλεύει δὲ μετ᾽ αὐτὸν ὁ τούτου φονεύς, ἐξ ἐπισήμων κατιὼν πατέρων, ἐπιφανεστέρου δὲ τοῦ μητρῴου, ἀνὴρ ἀγαθός τε καὶ πρᾶος καὶ φίλος μὲν ἐς τὰ μάλιστα Νέρωνι, οὐδὲν δὲ ὑπὸ τῆς πρὸς ἐκεῖνον συνηθείας βλαβείς. Ἐν μέντοι τῇ βασιλείᾳ γενναῖον οὐδὲν ἐπεδείξατο δι᾽ αἰτίαν τήνδε. Βιτέλλιος γάρ, ἡνίκα οὗτος ἐβασίλευσεν, ὑπὸ τῆς

2. *κειμένου* Π : *κειμένου* Μ 6. *Νερωνιανὰς* Π. 9. *αὐτόν τε* ΙΜΔ : *αὐτόν τέ* ΑΣ *ἔστη* Π : *ἔστη* Μ 10. *διαδοχή* Π : *διάδοχη* Μ 11. Ἐν τῇ ῴᾳ· *γάλβας* ΑΜ : λείπει ΙΣΔ 14. *Ἱσπανοὶ* Α : *Ισπανοὶ* ΑΜΙ : *Ισπανοὶ* Σ 16. *τοὺς* Π : *τοὺς* ἐκ τοῦ *τοῦς* Α 17. *ἐξέλαμψε* ΙΔΣ : *ἐξέλαμψεν* ΑΜΣ 20-21. *Ὄθωνος* Π : *ὄθωνος* τῶν ἄνωθεν ος διαγραφέντων Α 22. *ὁδὸν τὴν* ΙΣΔ : *ὁλόντην* ΑΜ 24. Ἐν τῇ ῴᾳ· *ὄθων* ΑΜ : λείπει ΙΣΔ 26. *τὰ μάλιστα* Π : *ταμάλιστα* ἐκ τοῦ *τὰ μάλιστα* διαγραφέντος τοῦ τόνου Α 28. *Βιτέλλιος* ΣΔ : *βιτέλλιος* διώρθωσεν ὁ ἐρυθρογράφος τὸ *βετέλλιος* Α : *βιλτέλιος* Μ : *βετέλλιος* Ι *γὰρ* ΑΜΔ : λείπει ΙΣ



ἐν Γερμανοῖς στρατιᾶς ἀνερρήθη. Καὶ γίγνεται πόλεμος Ὄθωνί τε καὶ ἐκείνῳ καὶ τοῖς μεθ᾽ ἑκατέρου στρατεύμασι. Μετὰ πλείονος δὲ πλήθους οὗτος παραταττόμενος ἧττον ἔσχεν ἐν τῇ πρώτῃ συμπλοκῇ· δεινόν τε ποιησάμενος, ὅτι δὴ τῆς ἐλάττονος στρατιᾶς ἔλαττον σχοίη, πρὸς θάνατον ὥρμησε. Κωλυόντων δὲ αὐτὸν τῶν στρατιωτῶν σὺν τοῖς ἡγεμόσιν αὐτῶν καὶ πειθόντων ὡς ἀπαγορεύειν ἤδη τοῦ τέλους ἀπερίσκεπτον ἂν εἴη, τὴν ἑαυτοῦ γνώμην ἐκύρωσε, μὴ τοσούτου ποιεῖσθαι τὰ καθ᾽ ἑαυτόν, ὥστε ἀξιόχρεω νομίζειν αὐτὰ πρὸς ἐμφύλιον εἶναι πόλεμον. Ἐπήγαγεν ἑαυτῷ τελευτὴν ὀγδόῳ καὶ τριακοστῷ τῆς ἡλικίας ἔτει, τῆς δὲ βασιλείας πέντε καὶ ἐνενήκοντα ταῖς πάσαις ἡμέραις.

18. Βιτέλλιος οὖν ἦν ἐπὶ τῆς βασιλείας, ἐκ πατέρων γεγεννημένος γένει μὲν οὐκ ἐπισήμων, τὰς τιμὰς δὲ ἐξ ἀρετῆς κτησαμένων. Ὁ γοῦν πατὴρ αὐτοῦ, τρίτον ἐπὶ τὴν ὑπατείαν κληθείς, οὐ κατῄσχυνε τοὺς ἑλομένους, εἰς δέον ταῖς ἐξουσίαις χρησάμενος. Ἀλλ᾽ ἐγένετο κατὰ τὴν βασιλείαν ἀτοπώτατος καὶ τῇ γαστρὶ πάντα μετρῶν, ὥστε νύκτας ἡμέραις συνάπτειν ἐν συμποσίοις. Φασὶ γοῦν αὐτῷ τὸν ἀδελφὸν παρασκευάσαι τράπεζαν, προσθεῖναι δὲ αὐτῷ δισμυρίους μὲν ἰχθῦς, ἑπτακισχίλια δὲ πτηνὰ καὶ τὴν ἄλλην ἅπασαν δαπάνην ἐφάμιλλον. Μιμεῖσθαι δὲ ἐπεμελεῖτο τὸν Νέρωνα, καὶ πρὸς τὸν ἐκείνου ζῆλον ἅπαντα πράττειν ἐποιεῖτο. Τὸν τάφον τε αὐτῷ λαμπρότερον ἐποίησε γενέσθαι· κατορώρυκτο γὰρ ἀσήμως, ὡς ἐν τοῖς ἔμπροσθεν δεδήλωται. Ταῦτα οὔτε ὁ δῆμος ἤνεγκεν, οὔτε ὁ στρατὸς ὁ τεταγμένος ὑπὸ Οὐεσπασιανῷ· στρατηγὸς δὲ ἦν οὗτος τὴν πρὸς Ἰουδαίους διακονούμενος μάχην· ἀλλὰ προσάγουσι μὲν αὐτὸν εἰς τὸ δημόσιον, ἐπειδὴ καὶ τὸν ἀδελφὸν Οὐεσπασιανοῦ Σαβῖνον συνεμπρήσας ἐτύγχανε τῷ Καπιτωλίῳ.

1. *ἀνερρήθη* Π : *ἀνερρήθη* τῶν γραμμάτων *ερρη* γραφέντων ὑπὸ τοῦ ἐρυθρογράφου ἄνωθεν ἄλλων μελαίνων νῦν ἀδιαγνώστων Α *Ὄθωνί τε* Δ : *Ὄθωνι τὲ* Π 6. *αὐτῶν* Π : *αὐτῶν* Δ 6-7. *ἀπερίσκεπτον* Π : *ἀπερίσκεπτον* ἐκ τοῦ *ἀπερισκεπτὸν* Μ 8. *ἀξιόχρεω* Δ : *ἀξιόχρεων* Π 9. *ἐπήγαγεν* Π : *ἐπήγαγέ τε* Δ 10. *ἐνενήκοντα* ἔγραψα : *ἐννενήκοντα* Π 11. Ἐν τῇ ῴᾳ· *βιτέλλιος* ΑΜ : λείπει ΙΣΔ 12. *κτησαμένων* Π : *κατησαμένων* Π 15. *πάντα* Π : *πάντας* Ι 16. *αὐτῷ* ΑΣΔ : *αὐτοῦ* Μ : *ἐν αὐτῇ* Ι 17. *δισμυρίους* ΙΜΣ : *δισμυρίοις* Α : *δισχιλίους* διώρθωσε Δ *ἰχθῦς* Π : *ἰχθὺς* Μ 19. *ἐκείνου* Π : *ἐκείνου* ἐκ τοῦ *ἐκείνου* τῇ πρώτῃ χειρὶ Α 21. *ἀσήμως* ΙΣΔ : *ἀσήμως* ἄνωθεν δ᾽ αὐτοῦ τῇ δευτέρᾳ χειρὶ ἄσημος Μ : ἀσήμως οὗ ἄνωθεν ἐγράφη ὑπὸ τοῦ ἐρυθρογράφου ἄσημος Α *δεδήλωται* Π : *δεδήλωται* ἐκ τοῦ *δεδήλοται* Μ 22. *οὔτε ὁδ.* Π : *οὖν οὔτε ὁδ.* Δ *Οὐεσπεσιανοῦ* Π : *Οὐεσπεσιακοῦ* Δ 25. *Καπιτωλίῳ* Δ : *Καπετωλίῳ* Π. Ἴδε ἀνωτέρω σ. 11, 23. 12, 24. 18, 5. 47, 9. 74, 24.

Κρεμάσαντες δὲ ἀπὸ τῆς κόμης καὶ τῷ λαιμῷ ξίφος ὑποθέντες, εἷλκον διὰ τῆς πόλεως, τό τε στέρνον γυμνώσαντες, ὥστε τοὺς ἐντυγχάνοντας κατ' ἐξουσίαν πλήττειν, καὶ τοῦτον αἰκισάμενοι τὸν τρόπον, τὸ τελευταῖον ἀπέπνιξαν, καὶ τὸ σῶμα ἔρριψαν εἰς τὰ ῥεύματα τοῦ Θύμβριδος ὡς οὐκ ἄξιον ὂν ἐπικαλυφθῆναι τῇ γῇ. Καὶ ὁ μὲν οὕτως ἐτελεύτησεν ἑβδόμῳ καὶ πεντηκοστῷ τῆς ἡλικίας ἔτει, τῆς βασιλείας ἐν ὀγδόῳ μηνί, μιᾶς προσδεούσης ἡμέρας.

19. Διαδέχεται δὲ τὴν βασιλείαν Οὐεσπασιανός, ἐπὶ τῆς Παλαιστίνης ἀναρρηθείς, γένει μὲν οὐ λαμπρός, ἀρετὴν δὲ οἷος τοῦ σφόδρα ἀρίστοις συμφέρεσθαι καὶ δόξαν ἀεὶ δή ποτε μεγίστην ἐπὶ μεγίστοις ἔργοις κεκαρπωμένος, ἡνίκα Κλαυδίῳ τῷ βασιλεύσαντι στρατηγῶν, ὡς μικρῷ πρόσθεν εἴρηται, δύο καὶ τρισὶ μάχαις τήν τε Γερμανῶν καὶ Βρεττανῶν ἅπασαν γῆν συνῆψε Ῥωμαίοις πόλεις τε αὐτῶν εἷλεν εἴκοσι περιφανεστάτας καὶ τὴν μεγίστην τῶν βρεττανικῶν νήσων, τὴν Βέκτην. Οὕτω δ' ἐβασίλευσεν, ὥστε μηδὲ ἔξω γενέσθαι μετριότητος, μήτε ὑπεροφθῆναι παρὰ τῶν ὑπηκόων. Χρημάτων δὲ ἐπεμελεῖτο μέν, ἄδικον δὲ ἔφευγε κτῆσιν. Τὸν πλοῦτον γε μήν, ὃν συνέλεγε, τοῖς ἀμφ' αὐτὸν ἐδωρεῖτο καὶ τοῖς μάλιστα τῶν τιμῶν ἀξιωτάτοις. Οὐδεὶς γοῦν τῶν προτέρων τοσαύτην ἐπεδείξατο μεγαλοψυχίαν. Τοσαύτη δὲ ἦν ἡ φιλανθρωπία καὶ ἡ πραότης, ὥστε τοὺς ἐπιβουλεύειν αὐτοῦ τῇ βασιλείᾳ δόξαντας μὴ βαρέως ἀμύνασθαι, ἀλλ' ἄχρι τοῦ τῆς πόλεως ἐκβάλλειν στῆσαι τὰς τιμωρίας. Τῇ τε ἀρχῇ προσέθηκεν Ἰουδαίους τε καὶ τὰ Ἱεροσόλυμα, τότε πρῶτον αὐτοὺς ὑπαγαγὼν τῇ δουλείᾳ. Ἀχαΐαν τε καὶ Λυκίαν καὶ Ῥόδον καὶ τὸ Βυζάντιον καὶ Σάμον, αὐτονόμους οὔσας, ἠνάγκασε τοῖς ῥωμαϊκοῖς πολιτεύεσθαι θεσμοῖς, Θρᾷκάς τε ἐπὶ τούτοις καὶ Κομμαγηνούς, οἰκείας ἔχοντας βασιλείας, εἰς ἐπαρχιῶν σχῆμα μετέστησε.

20. Πάντων δὲ μέγιστον ἐκέκτητο τὸ μήτε ἀπεχθείας μνημονεύειν

1. *κόμης* Π : *κώμης* ΑΜ 3. *τὸν* Π : *τὸν* ἐκ τοῦ *τῶν* τῇ πρώτῃ χειρὶ Α 6. *καὶ* Π : *μὲν καὶ* Δ *βασιλείας* Π : *δὲ βασιλείας* Δ 8. Ἐν τῇ ῴᾳ' *οὐεσπεσιανὸς* ΑΜ : λείπει ΙΣΔ *δὲ* Π : *δὲ οἷος τοῖς σφόδρα* Μ *Παλαιστίνης* ΙΣΔ : *παλαιστήνης* ἐκ τοῦ *παλαιστίνης* τῇ πρώτῃ χειρὶ Α ; *παλαιστήνης* Μ 12. *τρισὶ* Π : *τριάκοντα* διώρθωσε Δ 14. *περιφανεστάτας* Π : *περιφανεστάτας* Α 15. *μηδὲ* ΣΔ : *μήδὲ* ΑΜΙ *ἔξω* ΑΣΔ : *ἔξωθεν* ΙΜ 15-16. *μετριότητος* Π : *μετριότητος* ἐκ τοῦ *μετριώτητος* Μ 18. *ἀξιωτάτοις* Π : *αξιωτάτους* Μ 25. *οὔσας* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *οὔσας* πρόσθετον ἄνωθεν τῇ δευτέρᾳ χειρὶ Α *θεσμοῖς* Π : *θεσμοῖς* διαξεσθέντος τοῦ ἀντὶ τοῦ σ γραφέντος τὸ πρῶτον ρ Μ 26. *Θρᾷκάς τε* Π : *Θρᾶκας τὲ* Δ



πρός τε τοὺς κατηγοροῦντας ῥήτοράς τε καὶ φιλοσόφους μὴ βαρέως ἔχειν. Τῶν γε μὴν στρατιωτικῶν πταισμάτων τιμωρὸς ἦν ἀκριβής, πικροτέραις αὐτοὺς ἀεὶ σωφρονίζων ἐπιστρεφαῖς, καὶ τοιοῦτος ἦν ἐπὶ τῆς βασιλείας. Θριαμβεύει δὲ ἐν Ῥώμῃ κατὰ Ἰουδαίων μετὰ τοῦ παιδός. Πάντας τοίνυν ἀνῃρημένος, τούς τε ἀπὸ τοῦ δήμου καὶ τοὺς ἐν ταῖς ἡγεμονίαις, καὶ τὸ ὑπήκοον ἅπαν, ἐπίσης δὲ ὑπὸ πάντων θαυμαζόμενος, ἐτελεύτησε, τῆς γαστρὸς αὐτοῦ καταρραγείσης, ἐν ἀγρῷ περὶ τὰ ὅρια Ἀθηνῶν, οἰκείως τε καὶ θεός τε προσηγορεύθη καὶ ὑπὸ Ῥωμαίων ἐτάφη λαμπρῶς, σφόδρα αὐτοῦ τὴν τελευτὴν ὀδυρομένων. Τούς γε μὴν παῖδας γενεθλιαλογήσας, ἑκατέρους αὐτοῦ ἐπέπειστο διαδόχους ἔσεσθαι τῆς ἀρχῆς, ὥστε, πολλῶν ἐπιβουλευσάντων πολλάκις, μηδὲν ἐπιστραφῆναι, φῆσαι δὲ ἐν κοινῇ ποτε συνόδῳ ἢ μηδένα μετ' αὐτὸν βασιλεύειν ἢ τοὺς ἐξ αὐτοῦ γεγεννημένους. Ἐτελεύτησε δὲ τῆς ἡλικίας ἔτει ἐνάτῳ καὶ ἑξηκοστῷ, τῆς βασιλείας δὲ ἐνάτῳ καὶ ἡμέρας ἑπτά.

21. Μετὰ τοῦτον τοίνυν διεδέξατο τὴν βασιλείαν Τίτος ὁ παῖς, ὁμώνυμος τῷ πατρί, ταῖς ἀρεταῖς ἁπάσαις πᾶσαν εὐφημίαν νικῶν. Τὸ πλῆθος γοῦν αὐτὸν κοινὸν ἔρωτα προσηγόρευεν. Ἦν δὲ οὐχ ἧττον τὴν γλῶτταν ἠσκημένος εἰς λόγους ἢ τὴν χεῖρα πρὸς μάχας· ἐν οὐδενὶ δὲ τοῦ εἰκότος τὸ μέτρον ὑπερέβαινεν. Ἠγώνιστο δὲ καὶ τοὺς ἐν δικαστηρίοις ἀγῶνας· καὶ δημιουργὸς μέτρων ἄριστος ἦν, ὡς καὶ τραγῳδίαν Ἑλλάδι φωνῇ συνθεῖναι. Ἡνίκα δὲ τῷ πατρὶ κατὰ τῶν Ἰουδαίων συνεστρατεύετο, δύοκαὶ δέκα τῶν προμάχων ἰσαρίθμους βέλεσι κατηγωνίσατο. Καὶ γενόμενος ἐπὶ τῆς βασιλείας οὕτως ἦν κοινὸς καὶ μέτριος, ὡς μηδένα μὲν ἀπαιτῆσαι τιμωρίαν, τοὺς δὲ ἐπ' αὐτῷ συστάντας ἔξω

2. *γε* ΙΣΔ : *τε* ΑΜ 6. *ὑπήκοον* Π : *ὑπήκοων* Ι 8. *Ἀθηνῶν* Π : *Σαβίνων* διώρθωσε Δ 9. *λαμπρῶς* Π : *λαμπρὸς* ἐκ τοῦ *λαμπρῶς* τῇ δευτέρᾳ χειρὶ Α 10. *γενεαθλολογήσας* ΙΑΜ : *γενεαθλολογήσας* ΣΔ 12. *ποτε* ΙΔ : *ποτὲ* ΑΜΣ Ἐν τῇ ῴᾳ Cῆαι Α : λείπει Π *βασιλεύειν* ΙΑΜ : *βασιλεύσειν* ΣΔ 14-15. Ἐν ταῖς λέξεσι *δὲ τῆς ἡλικίας—βασιλείας δὲ* defectus ὁ Σ 14. *ἡλικίας* ΑΜΙ : *μὲν ἡλικίας* Δ *ἐνάτῳ καὶ ἑξηκοστῷ* ΑΜΙ : *ἑξηκοστῷ ἐννάτῳ* Δ 15. *βασιλείας δὲ* ΑΜΙ : *δ' ἀρχῆς* Δ *ἐνάτῳ* Π : *ἐννάτῳ* Δ 16. Ἐν τῇ ῴᾳ' *τίτος* ΑΜ : λείπει ΙΣΔ *Τίτος* ΣΔ : *τίττος* ΑΜΙ *παῖς* ΙΣΔ : *παῖς, τίττος* ΑΜ 17. *ταῖς* Π : *ταῖς δ'* Δ 18. *προσηγόρευεν* Π : *προσηγόρευε* Σ 19. *γλῶτταν* Π : *γλῶτταν* Μ 20. *τοῦ εἰκότος* Π : *εἰκότως* διορθωθὲν τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *εἰκότος* Α 22-23. *κατηγωνίσατο* ἐν συνεχείᾳ τοῦ κειμένου ΜΣΔ : *κατηγωνίσατο* πρόσθετον ἀμέσως μετὰ τὸ τέλος τοῦ στίχου ἐν τῇ ῴᾳ Α : λείπει Ι 25. *ἔξω* Π : *ἐκ* Δ

συνομωσίας ἀφεῖναί τε καὶ καταριθμῆσαι τοῖς φίλοις. Τὸ μεγαλόψυχον δὲ αὐτοῦ καὶ φιλόδωρον τοσοῦτον ἦν, ὥςτε αὐτῷ τινας εὐκολίαν ἐγκαλεῖν, τὸν δὲ ἀπολυόμενον τὴν κατηγορίαν εἰπεῖν μηδένα χρῆναι στυγνοτέραν ἔχειν ἀπὸ βασιλέως τὴν ἀναχώρησιν. Δειπνοῦντα δέ ποτε καὶ λογισάμενον ὡς οὐδὲν οὐδεὶς ἐκείνην εὖ πάθοι τὴν ἡμέραν σχετλιάσαι καί, καθάπερ αὐτῷ τῆς ἡμέρας ἀπολωλυίας, εἰπεῖν Οὐκ ἐβασίλευσα τὴν παροῦσαν ἡμέραν· οὐδεὶς γὰρ ἐξ ἐμοῦ εὖ πέπονθε σήμερον. Κατασκευάσας δὲ Ῥωμαίοις τὸ καλούμενον Ἀμφιθέατρον, ἀπήρξατο τῆς ἐν αὐτῷ θέας, πεντακιςχίλια μὲν ἐγκατασφάξας τῷ τόπῳ θηρία, πολλὴν δὲ καὶ ἄλλην ἐπιδειξάμενος πολυτέλειαν.

22. Ἐτελεύτησε δὲ ὑπ' ἀρρωστίας ἐν ᾧπερ καὶ ὁ πατὴρ ἀγρῷ, δύο τοῦ πατρὸς ὕστερον ἔτεσι καὶ μησὶν ὀκτὼ καὶ ἡμέραις εἴκοσι βασιλεύσας, προβὰς εἰς ἡλικίαν ἔτους ἑνὸς πρὸς τοῖς τεσσαράκοντα. Καὶ ἤγειρε τῷ δήμῳ πένθος μέγα, ὥςτε κοινὸν αὐτὸ καὶ δημόσιον δογματισθῆναι. Καὶ οὐ μᾶλλον ἦν πάντων ἢ ἴδιον ἑκάστου τὸ πάθος· οὐδεὶς γὰρ ἦν ὃς οὐ τῆς οἰκίας ἐποιεῖτο τῆς αὐτοῦ τὴν συμφοράν. Ἀρχομένης γοῦν ἑσπέρας, αὐτοῦ μεταστάντος, σύνοδος ἐγένετο τοῦ λαμπροῦ πλήθους ἐν τῷ βουλευτηρίῳ, χάριτας ὁμολογούντων καὶ τεθνηκότι τῷ Τίτῳ. Μόνος τε οὗτος ἐκ πάντων πλείους ἐδέξατο θεραπείας ἐκ λόγων ἢ ζῶντες ἕτεροι. Συνηριθμήθη δὲ τοῖς θεοῖς

23. τὴν βασιλείαν ἐπὶ τὸν νεώτερον ἀδελφὸν παραπέμψας Δομετιανόν, ὃν Νέρωνα ἢ Καλιγούλαν ἢ Τιβέριον εἰπὼν οὐκ ἄν τις ἁμάρτοι· τοσοῦτον ἔσχε πρὸς αὐτοὺς τὸν ζῆλον, οὔτε τοῦ πατρός, οὔτε τοῦ ἀδελφοῦ μιμησάμενος οὐδέν. Ἀλλ ἐν προοιμίοις μὲν τῆς βασιλείας μετριότητός τινος ἐπεμελήθη· κατὰ μέρος δὲ αὔξων τὴν πονηρίαν, εἰς πᾶν προῆλθεν ἡδονῶν τε καὶ θυμοῦ καὶ ὠμότητος, καὶ ταῦτα ἐνίκα τῇ πλεονεξίᾳ. Μῖσος οὖν, ὡς εἰκός, ἠκολούθει μέγιστον, ὥςτε τῶν πατρῴων τε καὶ ἀδελφικῶν ἀγαθῶν τὴν μνήμην ἐκβαλεῖν. Οὕτω γοῦν πολλοὺς μὲν ἀνῄρει τῆς συγκλήτου, θεὸν δὲ αὐτὸν ἠνάγκαζε προςαγορεύειν, οὐκ ἀνεχόμενος ἀνδριάσι πλὴν χρυσοῖς καὶ ἀργυροῖς τιμᾶσθαι, καὶ τούτοις ἐν Καπιτωλίῳ. Ἐπλήρωσε δὲ καὶ ἐμφυλίου τὰς χεῖρας

1. *ἀφεῖναί τε* Δ : *ἀφεῖναι τὲ* Π 2. *τινας* Δ : *τινὰς* Π 3. *εἰπεῖν* ΣΔ : *εἶπεν* ΑΜΙ 11. *ἀρρωστίας* Α : *ἀρρωστία* Π 16. *αὐτοῦ* Π : *αὑτοῦ* Δ 19. *Τίτῳ* ΣΔ : *τίττω* ΑΜΙ *τε* ΣΔ : *τὲ* ΑΜΙ Ἐν τῇ ᾤᾳ· *δομετιανὸς* ΑΜ : λείπει ΙΣΔ 25. *μετριότητός τινος* Π : *μετριότητος τινὸς* Σ 27. *μῖσος* ΙΔ : *μίσος* ΜΣ : *μισος* Α 29. *ἀνῄρει* Π : *ἀνῄρει τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ ἀνείρει* Α 31. *τούτοις* Π : *τούτους* Α *Καπιτωλίῳ* Δ : *καπετωλίῳ* Π. Ἴδε ἀνωτέρω σ. 77, 25 *χεῖρας* Π : *χείρας* Ι



αἵματος, τοὺς ἀναιτίους ἀνελών, καὶ τὰ τῆς ὑπηρεσίας ᾕρετο. Καὶ τὰς ἐκστρατείας ἐκ μεγίστων ἐποιήσατο συμφορῶν ἐπὶ Σαρμάτας τε ἅμα καὶ Σκύθας, Δάκας τε ἅμα καὶ Κάτθους. Τάγμα τε ἓν ἀπώλεσε μετὰ τῶν στρατηγῶν, καὶ Σαβῖνος ὑπατικὸς καὶ Κορνήλιος Φοῦσκος ὕπαρχος ἔπεσον σὺν πολλῇ στρατιᾷ· ἐθριάμβευσε δὲ κατ' αὐτῶν ἀναιδῶς. Καὶ τὸ Καπιτώλιον καὶ τὴν Παροδικὴν ἀγορὰν καὶ τὸ Ἴσιον καὶ τὸ Στάδιον ᾠκοδόμησέ τε καὶ κατεκόσμησε. Μίσους τε ἐπὶ πλεῖστον προϊόντος, συνομόσαντες τῶν περὶ αὐτόν τινες, ἐν ταῖς βασιλικαῖς αὐλαῖς αὐτὸν διεχρήσαντο πέμπτῳ καὶ τεσσαρακοστῷ τῆς ἡλικίας ἔτει, τῆς βασιλείας δὲ δεκάτῳ καὶ πέμπτῳ. Τὰ νενομισμένα δὲ ἀπεπλήρωσε τῶν ἐν λόγῳ μὲν οὐδείς, μόνοι δὲ οἱ ταῖς κοιναῖς ἐπιτεταγμένοι ταφαῖς ἀφανῶς αὐτὸν καὶ ὡς σῶμα ἀπερριμμένον κατώρυξαν.

## ΒΙΒΛΙΟΝ Η'.

1. Τῆς μὲν οὖν πόλεως ἦν ὀκτακοσιοστὸν καὶ πεντηκοστὸν ἔτος· τὴν ὑπάτων δὲ εἶχον ἀρχὴν Βετέριός τε καὶ Οὐάλης. Τότε τοίνυν ἀνέθηλε τὰ τῆς Ῥώμης πράγματα, θαυμαστῶν ἐπιτυχόντα βασιλέων. Δομετιανοῦ γὰρ ἀπελθόντος ἐξ ἀνθρώπων τοῦ πονηρίᾳ πάντας ὑπερβαλλομένου, διεδέξατο τὴν ἀρχὴν ἀνὴρ ἰδιώτης, ἄριστος δὲ καὶ τῶν πολεμικῶν ἐπιστήμων Νέρβας, εἰ καὶ ἧττον περιφανῶν πατέρων, πρεσβύτης ἤδη παρελθὼν εἰς αὐτὴν σπουδῇ Πετρωνίου Σεκούνδου καὶ Παρθενίου. Τούτων ὁ μὲν ὕπαρχος ἦν, ὁ δὲ ἕτερος εἷς τῶν Δομετιανοῦ φονέων. Οὗτος, ἁπάσης ἀρετῆς οἱονεί τινας εἰκόνας διὰ τῶν ἔργων ἀναφήνας, προανηρπάσθη τοῦ τέλους. Εἰςποιησάμενος γὰρ παῖδα Τραϊανόν, ἐτελεύτησεν ἐπὶ τῆς Ῥώμης, ἐνιαυτὸν καὶ μῆνας τέσσαρας βασιλεύσας, ὀκτώ τε πρὸς ἡμέρας, ἑνὶ καὶ ἑβδομηκοστῷ τῆς ἡλικίας ἔτει, καὶ τῇ τῶν θεῶν ἐπεκλήθη προςηγορίᾳ.

3. *Κάτθους* Ι : *Κάτθας* Π 4. *Σαβῖνος* ΙΣΔ : *σαβίνος* ΑΜ *φοῦσκος* Π : *φούσκος* Ι 6. *Καπιτώλιον* Δ : *Καπετώλιον* Π. Ἴδε ἀνωτέρω σ. 80, 31 7. *τε (τὲ)* ΑΜΙ : *δὲ* ΣΔ 8. *αὐτόν τινες* ΙΔ : *αὐτὸν τινὲς* ΑΜΣ 11. *μόνοι* Π : *μόνον* Δ 13. *κατώρυξαν* ΙΣ : *κατωρυξαν* Δ : *κατορύξαι* ΑΜ 14. Ἐν τῇ ᾤᾳ· *ἀπὸ κτίσεως ῥώμης ἔτη ω͞ν* ΑΜ : λείπουσι ΙΣΔ *πεντηκοστὸν* Π : *πεντηκοσιοστὸν* Δ 19. Ἐν τῇ ᾤᾳ· *νέρβας* ΑΜ : λείπει ΙΣΔ *ἥττων* ΑΜΙ : *ἧττον* ΣΔ 20-21. *Σεκούνδου* Π : *σεκούντου* Δ 21. *μὲν* Π : *μὲ'ν* Α 22. *οἱονεί τινας* Δ : *οἱονεὶ τινὰς* Π 23. *ἀναφήνας* ΑΜΙ : *ἀναφῆνας* ΣΔ

2. Φέρουσι τοίνυν τὴν βασιλείαν ἐπὶ τὸν πεποιημένον αὐτῷ Τραϊανόν, ἰταλικοῦ μὲν γένους, τεχθέντα δὲ ἐν Ἱσπανίαις. Πρόγονοι δὲ αὐτῷ λαμπρὰν μὲν οὐ κατῆγον τὴν διαδοχὴν, τιμὰς δὲ ὧν διετύγχανον ἐξ ἀρετῆς ἐσχηκότες. Ὁ γοῦν πατὴρ αὐτῷ τῶν ὑπατικῶν ἦν. Οὗτος στρατηγὸς μὲν ἐγένετο τοῦ πρὸς Γάλλους πολέμου, στάντος Ἀγριππίνῃ. Βασιλεύων δὲ ὁ Τραϊανὸς οὕτω προέστη τῶν πραγμάτων, ὡς εἰκότως ἂν πάντων προτιμηθῆναι τῶν βασιλευσάντων. Δημαγωγὸς γὰρ ἦν ἄριστος κἀν ταῖς μάχαις ἀνδρειότατος. Τὴν ῥωμαϊκὴν γοῦν ἀρχὴν, τῶν ἔμπροσθεν μόλις κατασχεῖν δυνηθέντων, ηὔξησεν ἐπὶ πλεῖστον, καὶ τὰ ὅρια τῆς βασιλείας ὅσον ἐπὶ μήκιστον ἐξέτεινε. Πόλεις γοῦν ὑπὲρ τὸν Ῥῆνον ἐν μέσοις ἐδείματο τοῖς Γερμανοῖς. Δάκας τε, τὸν ἡγούμενον αὐτῶν καθελὼν Δεκίβαλλον, ὑπηγάγετο, ἐπαρχίαν τε ὑπὲρ τὸν Ἴστρον κατεστήσατο, καὶ τὴν γῆν ἐκείνην ἅπασαν, ἣν νῦν Θαΐφαλοι καὶ Βικτόαλοι καὶ Τερβῖται προσοικοῦσι, συνῆψε τῇ βασιλείᾳ, χιλίοις διαμετρουμένην κύκλῳ σημείοις.

3. Τὴν Ἀρμενίαν τε ἀνεκτήσατο παρὰ Πάρθων, Ἀλμάτας τε ὑφ' ἑαυτῷ κατέστησε, τὸν Φατόσιριν ἀνελών, ὃς ἐτυράννει τοῦ ἔθνους. Ἀλβανοῖς τε αὐτὸς ἔδωκε βασιλέα, Ἰβήρων τε καὶ Σαυροματῶν καὶ τῶν ἐν Βοσπόρῳ, ἔτι δὲ Ἀραβίων καὶ Ὀσδροηνῶν τοὺς βασιλεύοντας ὑποσπόνδους ἐποιήσατο, καὶ μὴν καὶ Ἀρδουήνων καὶ Μαρκομήδων, καὶ τὴν Ἀνθεμουσίαν, χωρίον Περσῶν εὐρύ τε καὶ εὔγαιον· Σελεύκειαν τε καὶ Κτησιφῶντα καὶ Βαβυλῶνα προσεκτήσατο. Μεσσηνίους τε μάχῃ νικήσας κτῆμά τε καὶ τούτους αὐτῷ ποιησάμενος, ἄχρις αὐτῶν ἐχώρησεν Ἰνδῶν καὶ τῆς Ἐρυθρᾶς καλουμένης θαλάσσης. Ὅθεν ἀρξάμενος, τρεῖς ἐπαρχίας κατῴκισεν

1. Ἐν τῇ ῷᾳ' τραϊανὸς ΑΜ : λείπει ΙΣΔ 2. Ἰσπανίαις Δ : Σπανίαις Π 3. τιμὰς Π : τιμᾶς Μ 8. κὰν Π : κἂν Δ 10. ἐπὶ μήκιστον ΙΣΔ : ἐπιμήκιστον ΑΜ 12. Δεκίβαλλον Π. Γραπτέον Δεκέβαλον 13. Ἴστρον ΣΔ : ἴστρον ΑΜΙ 14. Θαΐφαλοι ΑΜΙ : Θαΐφαλοί ΣΔ Τερβῖται ἔγραψα : Τερβίται Π 16. Ἀρμενίαν ΙΑΔ : Ἁρμενίαν ΜΣ 17. Φατόσιριν Π. Γραπτέον Παρθομάσιριν 18-20. Ἰβήρων—βασιλεύοντας ἐν συνεχείᾳ τοῦ κειμένου Π : πρόσθετα τῇ δευτέρᾳ χειρὶ ἐν τῇ ῷᾳ Μ 18-20. Σαυροματῶν Π : σαυρομάτων Μ 19. ἔτι Π : ἔτει Δ Ὀσδροηνῶν Π : ὀσδροκίων Α

20. Ἀρδουήνων Ι : Ἀρδουηνῶν Σ : ἀρδουκέων ΑΜ : Καρδουηνῶν Δ. Γραπτέον Κορδυηνῶν 21. Μαρκομήδων Π. Γραπτέον Μάρδων, Μήδων

23. Μεσσηνίους Π : Ἐδεσσηνίους Δ. Γραπτέον Ἐδεσσηνοὺς τε Π : δὲ Ι κτῆμά τε Δ : κτῆμα τὲ Π αὐτῷ Π : αὑτῷ Δ 24. αὐτῶν Π : αὑτῶν Ι ἐρυθρᾶς Π : ἐρυθρᾶς ἐκ τοῦ ἐρυθρὰς 25. κατῴκισεν ΣΔ : κατώκησεν ΑΜ : κατώκησεν Ι



Ἀρμενίαν τε καὶ Ἀσσυρίαν καὶ τὴν Μέσην τῶν ποταμῶν, ἧς μέρος ἦν καὶ ἡ τῶν Ναρικύων χώρα. Πρῶτος καὶ τὴν Ἀραβίαν ἐπαρχίαν ἐποίησε στόλον τε ἐγκατέστησε κατὰ τὴν Ἐρυθρὰν θάλασσαν, ὥςτε αὐτῷ καὶ διὰ θαλάττης ἐξεῖναι πολιορκεῖν Ἰνδούς.

4. Τοιαῦτα δὲ ὄντα τὰ κατὰ τοὺς πολέμους ὑπεχώρει τοῖς περὶ τὰ πολιτικὰ θαύμασιν. Οὔτε γὰρ πλέον οὔτε ἔλαττον εἶχεν ἕτερος ἑτέρου. Οὕτω δὲ ἐπεμελεῖτο τῶν πρὸς τοὺς φίλους καθηκόντων, ὥςτε συνήθως παρ' αὐτοὺς φοιτᾶν ἢ νόσῳ κατακεκλιμένους ἢ καὶ προσηγορίας μόνης χάριν, ἔστι δὲ ὅτε καὶ ἑορτάζουσιν ἰδίας τινὰς πανηγύρεις ἐποίει καὶ συνειστιᾶτο, ἀμοιβαίοις τε καὶ αὐτὸς εὐωχίαις αὐτοὺς ἐγέραιρεν. Ἐχρῆτο δὲ καὶ τοῖς ὀχήμασιν ἐκείνων, τὸν βασιλικὸν ἀπολιπὼν δίφρον. Οὐδενί τε τῶν ἐν Ῥώμῃ λαμπρῶν ἐπήγαγε βλάβην, οὐδὲ ηὔξησε τοὺς θησαυροὺς ἐξ ἀδίκου προσθήκης. Φιλοδωρότατός τε ἦν δημοσίᾳ τε καὶ ἰδίᾳ καὶ περὶ τὸ διδόναι τὰς ἀρχὰς ἀφθονώτατος. Πλέον δὲ ἦν τὸ περὶ αὐτὰ ταῦτα τοῖς φίλοις. Οἰκοδομημάτων δὲ αὐτῷ πανταχοῦ τῆς οἰκουμένης πολὺς ἦν ὁ λόγος, καὶ τὰς πόλεις ἀτελείας ἠξίου. Κεφάλαιόν τε τῆς ἡμερότητός τε αὐτοῦ καὶ φιλανθρωπίας παρὰ πάντα τὸν τῆς βασιλείας χρόνον εἷς ὑπέμεινε θάνατον, τῆς συγκλήτου τὴν ψῆφον ἐπαγαγούσης, ἀγνοοῦντος τοῦ βασιλέως. Τούτων ἕνεκα κατὰ τὴν οἰκουμένην ἅπασαν ἰσόθεος ὑπείληπτο καὶ ταῖς τῶν κρειττόνων ἐτιμᾶτο τιμαῖς.

5. Καὶ γὰρ δὴ κἀκεῖνο περὶ αὐτοῦ φασιν, ὅτι δή τινων αὐτοῦ τὴν πολλὴν κοινότητα καταμεμφομένων ἀπεκρίνατο χρῆναι τὸν βασιλέα τοιοῦτον εἶναι πρὸς τοὺς ἰδιώτας, οἷον ἰδιώτης ἂν τις εὔξαιτο τὸν βασιλέα περὶ αὐτὸν εἶναι. Τοσαύτης δὴ συγκεκροτημένης αὐτῷ τῆς εὐκλείας ἔν τε πολέμοις καὶ ἡσυχίαις, ἐκ τῆς Περσικῆς ἐπανιών, πρὸς Σελευκείᾳ τῇ τῶν Ἰσαύρων, ὑπενεχθείσης ἀθρόως τῆς γαστρός,

1. Ἀρμενίαν ΑΔ : Ἁρμενίαν ΜΙΣ Ἀσσυρίαν ΙΣΔ : ἀσσυρίαν τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ ἀσυρίαν Α : ἀσυρίαν Μ 6. ἔλαττον Π : ἔλαττον ἐκ τοῦ ἐλάττον Μ

7. συνήθως Π : συνήθως ἔχει τόνον καὶ ἐπὶ τοῦ υ διαγραφέντα Α 8. αὐτοὺς Π : αὐτοῖς τοῦ οι γραφέντος ἐπὶ ἑτέρων γραμμάτων διαξεσθέντων Μ

10. συνειστιᾶτο ΙΣΔ : συνεστιᾶτο ΑΜ 12. οὐδενί τε Δ : οὐδενὶ τὲ Π ἐν Π : λείπει Δ 13. φιλοδωρότατός τε Π : φιλοδωρότατος τὲ Ι

14. ἦν Π : ἦν ἐκ τοῦ ὢν τῇ δευτέρᾳ χειρὶ Α 18. εἷς Π : εἷς βουλευτὴς Δ

22. κἀκεῖνο ΙΣΔ : κἀκεῖνο ἐκ τοῦ κἀκείνω τῇ δευτέρᾳ χειρὶ Α : κακεῖνο Μ φασιν ἔγραψα : φασὶν Π. δή τινων ΙΔ : δὴ τινῶν ΑΜΣ

24. Ἐν τῇ ῷᾳ C η εὔξαιτο Π : εὔξαιτο ἐκ τοῦ εὔξετο Μ 25. δὴ Ι : δὲ Π 26. ἂν Π : ὂν Μ 27. πρὸς Δ : τῆς ἐν Π ὑπενεχθείσης Π : ὑπενεχθείσης ἐκ τοῦ ὑπενεχθήσης Μ

διεφθάρη, τῆς μὲν ἡλικίας τρίτον καὶ εἰκοστὸν ἄγων ἔτος καὶ μῆνας ἐννέα καὶ ἡμέρας πέντε, τῆς δὲ βασιλείας ἐνιαυτοὺς ἐννεακαίδεκα καὶ μῆνας ἓξ καὶ ἡμέρας πεντεκαίδεκα. Μόνῳ τε αὐτῷ τάφος ἐγένετο κατὰ μέσην τὴν Ῥώμην ἐπὶ τῆς ἀγορᾶς, ἣν αὐτός τε ἐδείματο καὶ κατωνόμασεν ἑαυτῷ. Κίων δὲ μηνύει τὴν ταφήν, εἰς ὕψος τεσσαράκοντα καὶ τεσσάρων ποδῶν ἐγηγερμένος. Τοιαύτη δὲ τούτου τοῦ βασιλέως ἡ μνήμη καὶ μετὰ ταῦτα διέμεινεν, ὥστε, ὁπόταν ἡ σύγκλητος εἰς τὸ βουλευτήριον ἐπ' εὐφημίαις τῶν βασιλευόντων συνήει, τοιαύτην τινὰ γίγνεσθαι φωνήν **Εὐτυχέστερος Αὐγούστου, τοῦ Τραϊανοῦ βελτίων**. Καὶ τὴν εἰκόνα ταύτην ποιοῦνται κόσμον οἱ κολακεύοντες ἢ κατὰ ἀλήθειαν ἐπαινοῦντες.

6. Παρὰ τούτου τὴν βασιλείαν Ἀδριανὸς ἐδέξατο, Τραϊανοῦ μὲν οὔτε βουληθέντος, οὔτε ἐντειλαμένου, τῆς δὲ ἐκείνου γαμετῆς Πλωτίνης καταπραξαμένης. Οὐδὲ γὰρ ἀνεψιδοῦν ὄντα αὐτὸν εἰσεποιήσατο Τραϊανός. Προγόνων δὲ ἦν καὶ οὗτος Ἰταλῶν, ἐν Ἱσπανίαις τεχθείς τε καὶ τραφείς. Εὐθὺς μὲν οὖν εἶχεν αὐτὸν τῆς Τραϊανοῦ δόξης φθόνος, καὶ τῶν ἐπαρχιῶν, ἃς κατεστήσατο, πάμπαν τὴν φυλάττουσαν αὐτὰς στρατιὰν ἀνακαλεσάμενος, συνέστειλε τοὺς τῆς βασιλείας ὅρους ἐντὸς Εὐφράτου ποταμοῦ. Βουλευόμενον δὲ αὐτὸν ὅμοια καὶ περὶ τῶν Δακῶν, οἱ φίλοι διεκώλυσαν· τοὺς γὰρ ἀποίκους τοὺς ἐκ τῶν πολιτῶν Ῥωμαίων ὑπὸ Τραϊανοῦ μεταστάντας οἰκήσεως ἕνεκα καὶ γεωργίας ἀνόσιον εἶναι γίγνεσθαι βαρβάρους. Τοῦ γὰρ οἰκείου πλήθους ἀπεσεσύλητο, τῷ χρονίῳ πολέμῳ κατανηλωμένου.

7. Εἰρήνης γε μὴν καὶ ἡσυχίας πολλὴν ἐποιήσατο πρόνοιαν πλὴν μιᾶς μικρᾶς τε καὶ ἀσήμου μάχης, ἣν δι' ἑνὸς τῶν ἀρχόντων συνεκρότησε. Περιῆλθε δὲ τὴν βασιλευομένην ἅπασαν, καὶ τοῖς οἰκοδομήμασι πολλὴν εἰσήνεγκε σπουδήν. Γλώττῃ τε τῇ Ἰταλῶν καὶ Ἑλλήνων ἐπίσης ἐξέλαμψε. Καὶ ἡμερότητος μὲν παντελῶς ἀπέσχε, τῶν χρημάτων δὲ καὶ τῶν θησαυρῶν ἐπεμελήθη καὶ τῆς στρατιωτικῆς τάξεώς τε καὶ ἁρμονίας. Ἐτελεύτησέ τε περὶ τὴν Καμπανίαν, ὑπὲρ τὰ

3. *τάφος* Π : *τύφος* Α   5. *κατωνόμασεν* Π : *κατωνόμασεν* ἐκ τοῦ *κατονόμασεν* Μ   8. *συνήει* Π : *συνίῃ* Δ   12. *τὴν* Π : *δὲ τὴν* Δ   16. *Ἱσπανίαις* ΙΣΔ : *ἱσπανίαις* ΑΜ   *τεχθείς τε* ΣΔ : *τεχθεὶς τὲ* ΑΜΙ   18. *συνέστειλε* ΛΣΔ : *συνέστειλέ τε* ΙΜ   20. *ὅμοια* Π : *ὅμοια* ἐκ τοῦ *ὅμα* τῇ δευτέρᾳ χειρὶ Α

28. *εἶναι* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *εἶναι* πρόσθετον ἄνωθεν τῇ δευτέρᾳ χειρὶ Α   31. *ἐτελεύτησέ τε* Π : *ἐτελεύτησε τὲ* Δ



ἑξήκοντα γεγονὼς ἔτη, ἕνα καὶ εἴκοσι βασιλεύσας ἐνιαυτοὺς καὶ μῆνας δέκα καὶ ἡμέρας ἐννέα. Πάντων δὲ ἀντιλεγόντων χρῆναι τὰς θείας αὐτῷ νομισθῆναι τιμάς, ὁ διαδεξάμενος τὴν βασιλείαν Μάρκος Ἀντωνῖνος ἐξῄτησε χάριν, καί, τὰς τῶν ἀνθισταμένων βιάσας γνώμας, ἔτυχεν.

8. Ἐβασίλευσε τοίνυν αὐτὸς οὗτος Ἀντωνῖνος Φούλβιος, ὃς καὶ Βοϊώνιος ἐπεκλήθη καὶ Πίος, ἐκ γένους τε κατιὼν λαμπροῦ τό γε εἰς τοὺς ἐγγὺς προγόνους· παλαιότητα γὰρ οὐκ εἶχε διεγνωσμένην· δικαίως τ' ἂν ἐξισωθεὶς τοὔνομα Πομπιλίῳ, ὥσπερ οὖν καὶ Τραϊανὸς Ῥωμύλῳ. Οὗτος σεμνὸς μὲν ἦν καὶ ἰδιωτεύων, οὐ διέφθειρε δὲ αὐτὸν οὐδὲ ἐπὶ τῆς ἀρχῆς, τραχύτητος πάμπαν ἀπέχων, ἥμερος δὲ πρὸς ἅπαντας καὶ ἁπλοῦς, ἐπιστήμῃ δὲ τῶν πολεμικῶν κεκοσμημένος, ἄδικον δὲ οὐκ ἐπάγων πόλεμον· φυλάττειν γὰρ ἦν αὐτῷ τὰ κτηθέντα σκοπός, οὐχ ἕτερα προστιθέναι. Καὶ τοὺς μὲν ἀγαθοὺς ἄνδρας ἦγεν ἐπὶ τὰς ἀρχὰς καὶ πάσης τιμῆς ἠξίου· τῶν πονηρῶν δὲ ἕκαστος αὐτῶν ἀφίστατο, μηδεμίαν περιβαλλόμενος συμφοράν. Τοῖς ἐνσπόνδοις δὲ τῶν κατὰ ἔθνη βασιλέων φοβερός τε ἦν ἅμα καὶ ἐπέραστος, ὥστε πολλοὺς τῶν βαρβάρων, ἀποθεμένους τὰ ὅπλα, περὶ τῶν διαφορῶν ὑπ' αὐτῷ κρίνεσθαι στέργειν τε ἅπερ ἂν γνοίη. Πλοῦτον δὲ ἔχων πρὸ τῆς βασιλείας οὐκ ὀλίγον, μετὰ τὴν βασιλείαν διένειμεν ἅπαντα τῷ στρατῷ καὶ τοῖς φίλοις, ὥστε τὰ δημόσια χρήματα, τῆς δαπάνης οἴκοθεν γιγνομένης, πολυπλασιασθῆναι. Εὐσεβὴς δὲ ἐπικληθεὶς διὰ τὴν φιλανθρωπίαν, τελευτᾷ τὸν βίον ἐν ἀγρῷ· Λωρίον ἦν ὄνομα αὐτῷ· τῆς Ῥώμης πόρρω δυοκαίδεκα σημείοις, ἑβδομηκονταετὴς γενόμενος, βασιλεύσας δὲ τρία καὶ εἴκοσιν ἔτη, καὶ καθιερώθη καὶ οὗτος δόγματι κοινῷ.

9. Μετὰ τοῦτον ἐβασίλευσε Μάρκος Ἀντωνῖνος Οὔηρος, ἐξ ἐπιφανῶν καὶ οὗτος πατέρων. Τὸ γὰρ δὴ γένος αὐτῷ πρὸς τὸν Νουμᾶν

7. *Βοϊώνιος* ΙΣΔ : *βοιώνιος* ΑΜ   *Πίος* ΑΜΣ : *Πῖος* ΙΔ   *κατιὼν* Π : *κατιὼν* ἐκ τοῦ *κατιὸν* Μ   9. *τοὔνομα* Π : *τῷ νουμᾷ* διώρθωσε κατὰ τὴν πρότασιν τοῦ Sylburg ὁ Δ   *πομπιλίῳ* ΙΣΔ : *πομπηλίῳ* Α : *πομπηλίω* ἐκ τοῦ *πομπηλίο* Μ   14. *οὐχ* ΑΜΣ : *καὶ οὐχ* ΙΔ   15-16. *ἕκαστος αὐτῶν προΐστατο* Π : *αὐτῶν ἀφίστατο* διώρθωσε Δ   16. *μηδεμίαν* ΙΣΔ : *μηδὲ μίαν* ΑΜ   *ἐνσπόνδοις* ΙΔ : *ἀσπόνδοις* ΑΜΣ   22. *Εὐσεβὴς* ΑΣΔ : *εὐσεβὴς* τῇ δευτέρᾳ χειρὶ ἐν χώρῳ κενῷ ἀφεθέντι ὑπὸ τῆς πρώτης χειρὸς Α : *πίος* Ι   24. *δυοκαίδεκα* ΙΣΔ : *διοκαίδεκα* ΑΜ   *σημείοις* Δ : *σημείων* Π   25. *εἴκοσιν* Π : *εἴκοσι* Μ   *καὶ καθιερώθη* ΙΜ : *καθιερώθη* ΑΣΔ   27. *Ἀντωνῖνος* ΜΣΔ : *ἀντωνίνος* ΑΙ

Πομπίλιον ἀνεφέρετο τὸ πατρῷον, μητρὸς δὲ ἦν ἐκ βασιλικοῦ σπέρματος κατιούσης. Σολεντῖνος γὰρ ἦν βασιλεύς τις ὁ ταύτης προπάτωρ. Καὶ συνεβασίλευσεν αὐτῷ Λούκιος Ἀντωνῖνος Οὖηρος. Καὶ τότε δὴ πρῶτον ὑπὸ δύο τὰ ῥωμαϊκὰ βασιλεῦσιν ἤγετο, τῶν πρόσθεν καθ' ἕνα βεβασιλευκότων.

10. Συνήγαγε δὲ αὐτοὺς καὶ συγγένεια, ἄλλη τε καὶ ἡ ἀπὸ τοῦ γάμου. Ὁ γὰρ Ἄννιος Ἀντωνῖνος Οὖηρος τοῦ Μάρκου Ἀντωνίνου κηδεστὴς ἦν ἐπὶ θυγατρί, ἐκεῖνος δὲ ἐπ' ἀνεψιᾷ κηδεύσας ἐτύγχανεν Ἀντωνίνῳ τῷ Πίῳ. Οὗτοι δὴ βασιλεύοντες ἐπήγαγον Πάρθοις πόλεμον, τότε πρῶτον ἀντιπαραταξαμένοις μετὰ τὴν Τραϊανοῦ νίκην. Καὶ στρατεύει μὲν ἐπ' αὐτοὺς Λούκιος Ἄννιος Ἀντωνῖνος. Τὰς διατριβὰς δὲ περὶ Ἀντιόχειαν καὶ τὴν Ἀρμενίαν ποιούμενος διὰ τῶν στρατηγῶν ἅπαντα κατώρθου· καὶ Σελεύκειαν, τὴν Ἀσσυρίων πόλιν ἐπιφανεστάτην, ἑλὼν μετὰ τῶν ἐγκαθημένων αὐτῇ στρατιωτῶν τετρακισμυρίων, ἐθριάμβευσεν ἐπὶ τῇ νίκῃ, κοινωνὸν ἔχων τοῦ θριάμβου τὸν κοινωνὸν τῆς βασιλείας καὶ τοῦ γένους τὸν κηδεστήν. Ἐτελεύτησε δὲ ἐν Βενετίᾳ, φερόμενος ἐπ' ὀχήματι ἅμα τῷ συμβασιλεύοντι· πορεία δὲ ἦν αὐτοῖς ἀπὸ Κονκορδίας εἰς Ἄλτινον· νόσον ὑπομείνας τε ἀποπληξίαν. Συνηριθμήθη τε τοῖς θεοῖς, ὑποληφθεὶς ἀνὴρ κοινός τε καὶ ἀγαθὸς εἶναι, καίτοι γε οὐκ ἦν, ἀλλ' ἐπέκρυπτεν αὐτὸν ἡ τοῦ βασιλέως ἀρετή.

11. Μόνος τοίνυν ἔμεινεν ἐπὶ τῆς ἀρχῆς ἅτερος Ἀντωνῖνος Μάρκος, οὗ θαῦμα μόνον ἄξιον ἔχειν, οὐκ ἐπαίνους ἀπαριθμεῖν. Ἐκ πρώτης γὰρ ἡλικίας ἥμερός τε ἐγένετο καὶ γαληνὸς ἰδεῖν, μηδὲ παιδὸς ὄντος ἡδονὴν ἢ λύπην κατακρατῆσαι, μηδ' ἐξ ἑτέρου τούτων αὐτῷ τὸ

1. *Πομπίλιον* Π : *πομπίλιον* ἐκ τοῦ *πομπήλιον* Μ 2. *Σολεντῖνος* ΙΣΔ : *σολεντῖνος* ΑΜ *βασιλεύς τίς* ΙΔ : *βασιλεὺς τίς* ΑΜΣ 3. *αὐτῷ λούκιος* Π : *αὐτῷ* (α' χείρ) *λού* (β' χεὶρ ἐν μείναντι κενῷ) ⁝⁝⁝ *κιος* (α' χείρ, διόρθωσις τῇ β' εἰς *κιος*, ἐν δὲ τῇ ᾤᾳ ·/. *κιος* διαγεγραμμένον Α *Ἀντωνῖνος* Π : *ἄννιος ἀντωνῖνος* Ι *Οὖηρος* Π : *οὔηρος* Α 6. *συνήγαγε δὲ* (τὸ *δὲ* λείπει Μ) *αὐτοὺς καὶ συγγένεια* Π : *συνήγαγε δὲ* $^{α}$*καὶ* $^{γ}$*αὐτοὺς* $^{β}$*συγγένεια* Α 8. *ἐκεῖνος* ΙΔ : *ἐκεῖνον* ΑΣ : *ἐκεῖνο* τοῦ ἄνωθεν ν προστεθέντος τῇ δευτέρᾳ χειρὶ Μ *ἐπ'* ΙΔ : λείπει ΑΜΣ 9. *δὴ* ΑΜ : *δὲ* ΙΣΔ 12. *περὶ* Π : *περὶ τὴν* Δ *Ἀρμενίαν* ΑΙΔ : *ἀρμενίαν* Μ : *Ἀρμενίαν* Σ 17. *ἐπ'* Π : *ἀπ'* Μ *πορεία* Π : *πορία* Δ 18. *τὲ* Π : *τε τὴν* Ι : *τὴν* Δ 20. *ἐπέκρυπτεν* ΑΜΣ : *ἀπέκρυπτεν* ΙΔ 21. *ἀρετὴ* Π : *ἀρετὴ* ἐκ τοῦ *ἀρετῇ* Μ 22. *ἅτερος* Α : *ἕτερος* Π Ἐν τῇ ᾤᾳ· *ἕτερος* (*ἕτερος* Μ) *μάρκος ἀντωνῖνος ὁ σοφὸς* ΑΜ : λείπουσι ΙΣΔ 22-23. *Μάρκος* Π : *ὁ Μάρκος* Δ 23. *οὗ* Δ : *οὑ* Π *ἄξιον* ΜΔ : *ἀξιῶν* ΑΙΣ 24. *μηδὲ* ΑΣΔ : *μὴδὲ* Ι 25. *κατακρατῆσαι* Π : *κατακρατῆσαι* ἐκ τοῦ *κατακρατῆσει* Μ *μηδ'* ΑΣΔ : *μηδ'* ΜΙ *αὐτῷ* ἔγραψα : *αὐτῶν* ΑΙΜ : *αὐτοῦ* ΣΔ



πρόσωπον ἀλλοιότερον φανῆναι. Φιλοσοφίας τε ἦν ἐραστής, ὑπὸ τοῖς Στωικοῖς πεπαιδευμένος, ὥστε μὴ μόνον τὸ ἦθος οὕτως ἠσκῆσθαι τοῖς παραγγέλμασιν, ἀλλὰ καὶ τὴν γλῶτταν ἐν τῇ λογικῇ τῶν ἄλλων πλέον ἔχειν. Οὕτω τε ἦν εὐκλεὴς ἔτι νέος, ὡς Ἀδριανόν, σκοπούμενον ὅστις αὐτῷ διαδέξεται τὴν βασιλείαν, ἐπειδὴ προτιμᾶν ἠναγκάζετο τὸν Πίον, παῖδα αὐτῷ πεποιημένον, συνάψαι τοῦτον ἐκείνῳ διὰ τοῦ γάμου τῆς θυγατρός, ὅπως ἂν ἐπ' αὐτὸν ἔκ τινος ἀκολουθίας ἡ βασιλεία κατενεχθῇ.

12. Διδασκάλῳ δὲ ἐχρῆτο τῆς φιλοσοφίας μὲν Ἀπολλωνίῳ τῷ Χαλκηδονίῳ, ῥητορείας δὲ ἑλληνικῆς μὲν Χερρονήσῳ, τῷ Πλουτάρχου συγγενεῖ, τῆς Ἰταλῶν δὲ Φρόντωνι, τῷ τότε ἀρίστῳ ῥητόρων. Ἐγένετο δὲ πάντων μάλιστα τῶν βασιλευσάντων τῆς ἰσότητος ἐραστής, πρὸς οὐδεμίαν ὑπεροψίαν ἀρθείς. Καὶ μεγαλόδωρος δὲ ἦν, καὶ τὰ τῶν ὑπηκόων ἐκ φιλαγαθίας διῳκεῖτο. Πολέμους δὲ τὸν μὲν κατὰ Γερμανῶν διὰ τῶν στρατηγῶν ἐνίκησε, τὸν δὲ κατὰ Μαρκομάννων αὐτὸς παρών τε καὶ αὐτουργῶν, ὃς οὕτως ἰσχυρὸς ἐγένετο καὶ μέγας, ὥστε τοῖς Ἄφροις αὐτὸν παραβάλλεσθαι. Μετὰ γὰρ πολὺ πτῶμα τῶν ἐναντίων τὸ κατὰ τὴν μάχην ἐγένετο μεῖζον ἕτερον, ἐπελθόντος λοιμοῦ τοῦ τε ἀέρος ἐπὶ τοσοῦτον φθαρέντος, ὥστε μετὰ τὴν νίκην ἅπασαν σχεδὸν τὴν στρατιὰν διαφθαρῆναι.

13. Καμνόντων τοίνυν αὐτῷ τῶν πραγμάτων, ὅμως προσεκαθέσθη τε καὶ τέλος ἐπέθηκε τῷ πολέμῳ, συνηττηθέντων Μαρκομάννοις Κουάδων τε καὶ Οὐανδάλων καὶ Σαρμάτων καὶ Σίλβων καὶ πάντων τῶν αὐτόθι βαρβάρων. Πανστρατιᾷ τε γὰρ αὐτοὺς ἀνεῖλε καὶ τοὺς Παίονας ἠλευθέρωσε δουλείας· ἐθριάμβευσέ τε ἐπὶ τῆς Ῥώμης μετὰ Κομόδου τοῦ παιδός, καίσαρα χειροτονήσας αὐτόν, Κόμοδόν τε Ἀντωνῖνον

3. *παραγγέλμασιν* ΙΣΔ : *παρακέλμασιν* ΑΜ 6. *Πίον* ΑΜΣ : *Πῖον* ΙΔ *πεποιημένον* Π : *πεποιημένον* ἐκ τοῦ *πεποιημένων* Μ 10. *Χαλκηδονίῳ* Δ : *χαρχηδονίω* Ι : *Χαρχηδονίω* ΑΜΣ *Χερρονήσῳ* Π : *Χαιρωνεῖ* διώρθωσε Δ 11. *τῷ* ΙΔ : *τῷ τε* ΑΜΣ 13. *οὐδεμίαν* ΙΣΔ : *οὐδὲ μίαν* ΑΜ 14. *φιλαγαθίας* ΙΜΔ : *φιλαγάθίας* Σ : *φὺλαγαθίας* Α 15. *τῶν* Π : *τὸν* ἐκ τοῦ *τῶν* τῇ δευτέρᾳ χειρὶ Α *Μαρκομάννων* Π : *μαρκομάννων* τῇ δευτέρᾳ χειρὶ διὰ παρενθήκης δευτέρου ν Α 16. *παρών τε* ΣΔ : *παρών τὲ* ΑΜΙ 23. *Σαρμάτων* Π : *Σαρματῶν* διώρθωσε Δ *Σίλβων* Π : *Σουήβων* διώρθωσε Δ 24. *πανστρατιᾷ* ΙΣΔ : *πανστρατιὰ* ΑΜ 25-26. *Κομόδου* ἐνί· μ ἐνταῦθα τε καὶ κατωτέρω Π. Γραπτέον *Κομμόδου* 26. *Κόμοδον* Π : *κόμοδον* τῶν γραμμάτων *κό* γραφέντων τῇ δευτέρᾳ χειρὶ ἐν κενῷ ὑπὸ τῆς πρώτης ἀφεθέντι χώρῳ Α

προςειπών. Φασὶ δὲ, τῆς δαπάνης αὐτὸν ἐπιλειπούσης, ἐπειδὴ φόρους ἐπάγειν ἑτέρους ἠρυθρία, τὴν βασιλικὴν ἐσθῆτα πᾶσαν καὶ τὰ σκεύη τὰ ἐξ ἀργύρου τε καὶ κρυστάλλου τὴν βασιλικήν τε ἅπασαν σκευὴν ὤνιον προθεῖναι καὶ τὸ συναχθὲν χρυσίον καταναλῶσαι τῷ πολέμῳ. Περιγενομένων δὲ τῶν πραγμάτων, τοῖς μὲν ἀποδοῦναι βουληθεῖσι τὰ τιμήματα ἀπαριθμῆσαι, τοὺς δὲ μὴ κατασχεῖν ἑλομένους μὴ βιάσασθαι.

14. Ἐπέτρεψέ τε κατὰ τὸ σχῆμα τὸ βασιλικὸν εὐωχεῖσθαι καὶ τοὺς ὑπηκόους οἰκέτας ὁμοίᾳ περιβάλλειν στολῇ, μηδὲν τῷ βασιλεῖ πλέον ἀπονέμοντας, ἐπεὶ οὕτως ἦν ἀφθονώτατος. Μεγαλοψυχίαν ἐπεδείξατο τοιαύτην, ὥστε νικητηρίους ἄγων ἑορτὰς, ἐν ταῖς πρὸς τὰ θηρία τῶν ἀνδρῶν μάχαις ἑκατὸν ἅμα λέοντας ὑπὸ τοῖς θεαταῖς ἀνεῖλεν. Ἐν τοσαύτῃ τῶν κοινῶν εὐδαιμονίᾳ καὶ τοῦ κρατοῦντος ἀρετῇ τέλος ἐπῆλθε τῷ βασιλεῖ, δεκάτῳ καὶ ὀγδόῳ τῆς ἀρχῆς ἔτει, τῆς δὲ ἡλικίας ἑνὶ καὶ ἑξηκοστῷ, γνώμῃ τε ἁπάντων μιᾷ συνηριθμήθη τοῖς θεοῖς,

15. παραπέμψας τῷ παιδὶ τὴν βασιλείαν, Λουκίῳ Ἀντωνίῳ Κομόδῳ, μήτε κτησαμένῳ τι τῆς πατρῴας ἀρετῆς μήτε ἐπιδειξαμένῳ πλὴν ὅτι πρὸς Γερμανοὺς καὶ οὗτος ἔσχεν εὐτυχῆ πόλεμον. Ἐπεχείρησε μέντοι τὸν μῆνα τὸν κατὰ Ῥωμαίους Νοέμβριον ἐπώνυμον ἑαυτῷ ποιῆσαι Κόμοδον, οὐ μὴν ἐδυνήθη. Τρυφαῖς δὲ καὶ ἀσελγείαις κατὰ μικρὸν διαφθειρόμενος, εἰς τοῦτο προῆλθεν ἀτοπίας, ὥστε καὶ ἐν τῷ μονομαχικῷ σταδίῳ καὶ μετὰ ταῦτα ἐν δημοτελεῖ θέᾳ κατὰ τὸ καλούμενον Ἀμφιθέατρον διαγωνίσασθαι πρὸς [τοὺς] τοῦτο ἐπιδεικνυμένους. Θάνατος δὲ ἐξαπίναιος ἐπελθὼν αὐτῷ δόξαν ἤνεγκε τοῖς πολλοῖς, ὡς ἀγχόνῃ τις αὐτὸν ἢ φαρμάκῳ καί τισι μαγγανείαις ὑπεξαγάγοι τοῦ βίου. Δώδεκα δὲ ἐξεπλήρωσε βασιλεύων ἐνιαυτοὺς μετὰ τὸν τοῦ πατρὸς θάνατον καὶ μῆνας ὀκτὼ, παρὰ πάντων ὁμοίως κοινὸς ἐχθρὸς καὶ μετὰ τὸν θάνατον ὀνομαζόμενος.

1. *αὐτὸν* ΣΔ : *αὐτῶν* ΑΜΙ 3. *σκευὴν* Π : *παρασκευὴν* Ι 4. *συναχθὲν* Π : *συνεχθὲν* Σ 6. *μὴ* ΙΜ : *[μὴ]* Σ : λείπει ΑΔ 8. *ἐπέτρεψέ* Δ : *ἐπιτρέψαι* Μ *κατὰ* Ι : *καὶ* ΑΜΣ : *τοῖς ἐπιφανεστέροις κατὰ* Δ 13. *τῶν* Π : *γοῦν τῶν* Δ 16. Ἐν τῇ φα' *λούκιος κόμοδος* ΑΜ : λείπουσι ΙΣΔ
17. *τι* ΙΔ : *τί* ΑΜΣ *μήτε ἐπιδειξαμένῳ* ΑΜΙ : *ἐπιδειξαμένῳ* Σ : *μήτε λαμπρόν τι ἐπιδειξαμένῳ* κατὰ τὰ προταθέντα ὑπὸ Sylburg ὁ Δ 23. *τοὺς* τοῦτο ἔγραψα : *ταῦτο* Π ; τοῦ ἐν τέλει στίχου, εἶτα δ' ἐν ἀρχῇ τοῦ ἑπομένου στίχου ἐν κενῷ ἀφεθέντι ὑπὸ τῆς πρώτης χειρὸς ἡ δευτέρα προςέθηκε το Α : *τοὺς αὐτόθι* Δ 25. *τις* ΙΔ : *τίς* ΑΜ : *τὶς* Σ *καί τισι* Π : *καὶ τισὶ* Σ 27. *ὀκτὼ* Π : *ὀκτὼ* ἐκ τοῦ *ὀκτῶ* αὐτῇ τῇ πρώτῃ χειρὶ Α



16. Μετὰ τοῦτον ἐβασίλευσε Περτίναξ, ἀνὴρ εἰς γῆρας ἤδη προβεβηκὼς ἑβδομηκοστόν τε ἰὼν τῆς ἡλικίας ἔτος. Ὕπαρχος δὲ τῆς Ῥώμης ἦν, ὅτε παρῆλθεν εἰς τὴν βασιλείαν, δόγματι τῆς συγκλήτου πάσης ἀναρρηθείς. Ἀλλ' ὀγδοηκοστῇ τῆς βασιλείας ἡμέρᾳ στρατιωτῶν αὐτὸν ὑπεξήγαγε στάσις, τῶν καλουμένων Πραιτωριανῶν.

17. Ἰουλιανὸς δὲ ἦν ὁ ταύτην ἐγείρας τὴν στάσιν, ὃς καὶ τὴν βασιλείαν ἥρπασεν, ἐπιφανὴς μὲν καὶ νόμους ἐξησκημένος· Ἰουλιανοῦ γὰρ ἔκγονος ἦν, ὃς τὸ διηνεκὲς διάταγμα τοῖς Ἀδριανοῦ χρόνοις συνέταξεν, ὃ μέχρι νῦν Ἀδριάνειον καλεῖται, κατὰ τὴν τῶν Ἰταλῶν φωνὴν ἤδικτον περπέτουον· ἀλλ' εὐθὺς ἀνῃρέθη πρὸς τῇ γεφύρᾳ τῇ καλουμένῃ Μουλβίᾳ, σφαγὴν ἐν αὐταῖς δεξάμενος ταῖς βασιλείοις αὐλαῖς.

18. Καὶ δέχεται τὴν βασιλείαν Σεπτίμιος Σευῆρος, Ἄφρος ἐκ τῆς Τριπολιτικῆς καλουμένης ἐπαρχίας· πόλις δὲ ἦν αὐτῷ Λέρκις. Μόνος δὲ οὗτος ἐξ Ἀφρικῆς ἐπὶ τὴν τῶν ὅλων παρῆλθεν ἐπιτροπὴν, καὶ οὔτε πρότερον ἡ μνήμη παραδέδωκεν, οὔτε μετὰ ταῦτα ἑξῆς ἐκεῖθεν βεβασιλευκότα. Ἦν δὲ πρότερον μὲν τοῦ ταμείου ῥήτωρ· τοῦ χρόνου δὲ προϊόντος, ἀρχὴν ἴθυνε στρατιωτικὴν, καὶ, προςεμμένων λιταῖς τιμαῖς, εἰς τοῦτο ἦλθε δυναστείας. Προςηγόρευσε δὲ ἑαυτὸν Περτίνακα, τὸν ἀνῃρημένον ὑπὸ Ἰουλιανοῦ τιμῶν. Μικρόψυχος μὲν ἀνὴρ καὶ χαλεπὸς, πολεμικὸς δὲ ἄλλως κἀν ταῖς μάχαις εὐτυχής. Πεσκέννιον γὰρ Νίγρον, τυραννήσασα κατὰ τὴν Αἴγυπτον, ἐν Κυζίκῳ νικήσας ἀνεῖλεν. Ἐκράτησε δὲ καὶ Πάρθων καὶ Ἀραβίων τῶν ἐνδοτάτω καὶ τῶν καλουμένων Ἀδιαβηνῶν, ὥστε τὴν μὲν Ἀραβίαν ἐπαρχίαν καταστήσασθαι κατὰ παλαιὸν ἔθος, ἀπὸ δὲ τῶν νενικημένων ἐθνῶν προσηγορίας λαβεῖν. Ἐκλήθη τε Παρθικὸς καὶ Ἀράβιος καὶ Ἀδιαβηνικός. Πλεῖστα δὲ καὶ τῶν τῆς βασιλείας οἰκοδομημάτων ἐπανήγαγεν εἰς

1. Ἐν τῇ φα' *περτίναξ* ΑΜ : λείπει ΙΣΔ 5. *αὐτὸν* ΑΙ : *αὐτόν* τῶν γραμμάτων ον γραφέντων ἐπὶ ἄλλων διαξεσθέντων Μ : λείπει ΣΔ
9. *Ἀδριάνειον* ΙΔ : *ἀδριάνειον* ΑΜ : *Ἀδριάνιον* Σ *τὴν* Π : *δὲ τὴν* Δ
10. *ἤδικτον* ΙΣΔ : *ἴδικτον* ΑΜ *γεφύρᾳ* ΑΙΔ : *γεφύρῃ* ΜΣ 11. *Μουλβίᾳ* ΣΔ : *μουβία* ΑΜΙ *σφαγὴν* Π : *σφαγῆν* Μ 13. *Σευῆρος* ΑΜΣ : *Σέβηρος* Ι : *Σεβῆρος* διώρθωσε Δ Ἐν τῇ φα' *σευῆρος* ΑΜ : λείπει ΙΣΔ Ἄφρος ΜΣΔ: *ἄφρος* διώρθωσεν ὁ ἐρυθρογράφος ἐκ τοῦ *ἀφρὸς* Α : *ἀφρός* Ι 14. *Τριπολιτικῆς* Π : *Τριπολικῆς* Δ *ἐπαρχίας* Π : *ὑπαρχίας* Μ *Λέρκις* Π : *Λέπτις* διώρθωσε Δ 16. *μετὰ ταῦτα* Π : *μεταταῦτα* Μ 17. *ταμείου* ΙΔ : *ταμίου* ΑΜΣ
19. *ἦλθε* ΙΣΔ : *ἦλθεν* ΑΜ 21. *κἀν* Π : *κἂν* Δ 24. *ἐπαρχίαν* Π : *ἐπαρχίαν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἐπαρχία* Α 26. *τε* Σ : *τὲ* ΑΜΙ : *γὰρ* Δ
*Ἀδιαβηνικὸς* ΣΔ : *ἀδιαβενικὸς* ΑΜΙ

νεότητα. Κατὰ τοῦτον τὸν χρόνον Κλώδιος Σαβῖνος ὁ κοινωνήσας Ἰουλιανῷ τῆς Περτίνακος σφαγῆς ἑαυτὸν ἐν Γάλλοις ἐχειροτόνησε καίσαρα· νικηθεὶς δὲ ἐν Λουγδούνῳ παρὰ τοῦ Σευήρου τέλος ἔσχε τοῦ βίου.

19. Σευῆρος δὲ ἦν μὲν ἐν τούτοις λαμπρός, οὐχ ἧττον δὲ ἐν τοῖς πολιτικοῖς. Φιλοσοφίας τε γὰρ ἐξήσκητο πρὸς ἄκρον καὶ τῶν ῥητόρων ἁπάντων ὑπερεῖχεν. Ὕστατόν τε πόλεμον πρὸς Βρεττανοὺς συγκροτήσας τάς τε πόλεις ἀνεκτήσατο καὶ τὰς ἀρχὰς ἐξασφαλιζόμενος χάρακα περιέβαλεν, ἐπὶ δύο καὶ τριάκοντα πρὸς τοῖς ἑκατὸν σημείοις ἐκτείνας αὐτὸν πρὸς θάλασσαν. Ἐπὶ τούτοις τοῖς ἔργοις ἐτελεύτησεν ἐν Βορακίῳ πρεσβύτης, βασιλεύσας ἓξ καὶ δέκα ἐνιαυτοὺς καὶ μῆνας τρεῖς, καὶ τοῖς θεοῖς συνηριθμήθη, δύο παῖδας διαδόχους τῆς βασιλείας καταλιπών, Βασιανὸν καὶ Γέταν, προςτάξας Βασιανὸν Ἀντωνῖνον μετακληθῆναι. Καὶ ὁ μὲν προςηγορεύθη Μάρκος Αὐρήλιος Ἀντωνῖνος Βασιανός, ἐπετρόπευσέ τε μετὰ τὸν πατέρα τῶν πραγμάτων. Γέτας δέ, ἐχθρὸς εἶναι κοινὸς κριθεὶς ὑπὲρ ὧν ἔπραττεν, ἀνῃρέθη.

20. Ἀντωνῖνος τοίνυν, προςλαβὼν καὶ τὴν τοῦ Καρακάλλου προςωνυμίαν, τῷ πατρὶ πρὸς ἅπαντα κατηκολούθησε τὸ πρῶτον· προϊὼν δὲ ἐχώρησέ τε εἰς ὠμότητα καὶ τὴν ἐν ταῖς ἀπειλαῖς ὑπερβολήν. Τῇ Ῥώμῃ δὲ κατεσκεύασε λουτρόν, ὅπερ εἰς τόδε Ἀντωνιανὸν καλεῖται. Ἄλλο δὲ ἄξιον μνήμης οὔτε εἶπεν, οὔτε ἔπραξεν οὐδέν· ἀλλ' ἡδοναῖς τε ἐδούλευσεν, ὥστε καὶ τὴν ἑαυτοῦ μητρυιὰν ποιήσασθαι γαμετήν. Ἐν Ἐδέσσῃ δὲ τῆς Ὀσδροηνῆς, στρατεύων ἐπὶ Πέρσας, ἀπῆλθε τοῦ βίου, βασιλεύσας μὲν ἓξ ἔτη καὶ μῆνας δύο, προελθὼν δὲ τῇ ἡλικίᾳ εἰς τρίτον καὶ τεσσαρακοστὸν ἔτος· ἐγένοντό τε αὐτῷ τὰ νενομισμένα παρὰ τοῦ στρατοῦ.

1. *τὸν* Π : *δὲ τὸν* Δ   *Σαβῖνος* ΜΙΣ : *σαβῖνος* Λ : *Ἀλβῖνος* διώρθωσε Δ   3. *καίσαρα* Π : *καῖσαρ* Μ   *Σευήρου* Π : *Σεβήρου* διώρθωσε Δ   5. *Σευῆρος* Π : *Σεβῆρος* διώρθωσε Δ   *ἐν τοῖς* Π : *κἀν τοῖς* Δ   6. *ἄκρον* Π : *ἄκαιρον* Μ   *ῥητόρων* Π : *ῥητώρων* Μ   7. *Βρεττανοὺς* Π : *Βρετανοὺς* Σ   8. *ἀρχὰς* Π : *ἐπαρχίας* διώρθωσε Δ   9. *περιέβαλεν* ΙΣΔ : *περιέβαλλεν* ΛΜ   11. *Βορακίῳ* Ι : *Κορακίω* ΛΜΣ : *Ἐβοράκῳ* Δ   *ἓξ καὶ δέκα* ΙΣΔ : *ἑξκαίδεκα* ΛΜ   15. *Βασιανὸς* Π : *βασσιανὸς* Ι   18. *προςλαβὼν* ΙΣΔ : *πρὸςλαβὼν* ΛΜ   Ἐν τῇ ᾤᾳ *ἀντωνῖνος καράκαλος* Λ : *αντωνῖνος φάκαλος* Μ : *λείπουσιν* ΙΣΔ   *Καρακάλλου* ΙΔ : *Καρακάλου* ΛΜΣ   20. *ἀπειλαῖς* Π : *ἀπειλαῖς* ἐκ τοῦ *ἀπιλαῖς* Μ   22. *ἄλλο* Π : *ἄλλον* Μ   24. *Ὀσδροηνῆς* ΣΔ : *ὀσδροήνης* Ι : *ὀσδρονύης* ΛΜ   26. *ἐγένοντό τε* Δ : *ἐγένοντο τὲ* Π



21. Καὶ βασιλεύει μετ' αὐτὸν Ὀφίλιος Μακρῖνος, ἐξ ὑπάρχου πρὸς τὴν βασιλείαν κληθείς· καὶ μετέσχεν ἀλουργίδος ὁ παῖς αὐτοῦ Διαδουμῖνος. Ἔπραξε δὲ οὐδὲ οὗτος μνήμης ἄξιον οὐδέν, τῆς ἀρχῆς εἰς ἐνιαυτὸν καὶ μῆνας δύο προελθούσης. Ἀνεῖλε δὲ ἀμφοτέρους στρατιωτικὴ στάσις.

22. Δέχεται δὲ τὴν βασιλείαν Μάρκος Αὐρήλιος, ὃς Ἀντωνίνου Καρακάλλου παῖς ὢν ὑπείληπτο· ἦν δὲ ἱερεὺς τοῦ ναοῦ τοῦ Ἡλιογαβάλου. Οὗτος ἐπὶ χρηστῇ τοῦ δήμου προσδοκίᾳ τὴν Ῥώμην καταλαβὼν ἐναντίος ὤφθη τῆς ἐλπίδος. Αἰσχρὸν γὰρ καὶ ἐπονείδιστον μετελθὼν βίον, μετὰ δύο ἔτη τῆς βασιλείας καὶ μῆνας ὀκτὼ ἀνῃρέθη, καὶ ἡ μήτηρ αὐτῷ συναπώλετο Συμία Σευήρα.

23. Ἐντεῦθεν ἦλθεν ἐπὶ τὴν βασιλείαν Ἀλέξανδρος, καῖσαρ μὲν ὑπὸ τῆς στρατιᾶς ἀναρρηθείς, αὔγουστος δὲ ὑπὸ τῆς συγκλήτου, κομιδῇ νέος. Οὗτος εὐθὺς ἐπὶ Πέρσας ἐστράτευσε καὶ τὸν βασιλέα Ἄρσην μετὰ πολλῆς ἐνίκησε τῆς εὐκλείας. Φοβερός τε ἐγένετο τῷ στρατῷ, ὥςτε ἀτάραχον αὐτὸν ἐν πολλῷ διαμεῖναι χρόνῳ. Ἐπειδὴ γοῦν τινα τῶν ταγμάτων ἐπήρθη πρὸς στάσεις, ἐκόλασέ τε, καὶ τοὺς ἐν αὐτοῖς ἄνδρας ἅπαντας ἀπεστράτευσε. Τούτῳ συνήδρευσεν ὁ νομοθέτης Οὐλπιανός, αὐτὸς καὶ τὴν φροντίδα τοῦ τοῖς δεομένοις ἀντιγράφειν ἔχων. Πολλῆς δὲ οὔσης αὐτῷ τῷ Ἀλεξάνδρῳ καὶ κατὰ τὴν Ῥώμην καὶ πανταχοῦ τῆς δόξης, ἐτελεύτησε παρὰ Γάλλοις, τάραχον ὑπομείνας στρατιωτικόν, τριςκαιδεκάτῳ τῆς βασιλείας ἔτει, πολλὴν εὐσέβειαν ἐπιδειξάμενος περὶ τὴν ἑαυτοῦ μητέρα καὶ μηδὲ ἓν κατὰ τοῦτο καταλιπὼν ὑπερβολήν.

1. Ἐν τῇ ᾤᾳ *μακρῖνος* ΛΜ : λείπει ΙΣΔ   *Ὀφίλιος* ΛΜΙ : *Οφίλιος* Σ : *Ὀπίλιος* διώρθωσε Δ   *ἐπάρχου* Π : *Ὑπάρχου* Δ   2. *αὐτοῦ* Π : *αὐτῷ* Ι
6. Ἐν τῇ ᾤᾳ *μάρκος αὐρήλιος* ΛΜ : λείπουσιν ΙΣΔ   *ὃς* ΣΔ : *ὡς* Ι : λείπει ΛΜ   7. *Καρακάλλου* ΛΜΣ : *Καρακάλου* ΣΔ   *ὢν* Σ : *ὢν ὡς* ΛΜ : *εἶναι* Δ   8. *ἐπὶ* Π : *οὖν ἐπὶ* Δ   9. *ἐναντίος* Π : *ἐναντίος* ἐκ τοῦ *ἐναντίως* Μ
11. *Συμία* Π : Γραπτέον *Σοαιμία*   *Σευήρα* Π : *Σεβήρα* διώρθωσε Δ
12. Ἐν τῇ ᾤᾳ *ἀλέξανδρος* ΛΜ : λείπει ΙΣΔ   13. *τῆς στρατιᾶς* ΜΣΔ : *τῆς στρατιᾶς* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *τὴν στρατειὰν* Λ : *τὴν στρατιὰν* Ι
14. *οὗτος* Π : *οὗτος δὲ* Δ   15. *Ἄρσην* Π : Γραπτέον *Ξέρξην*   *ἐνίκησε* Π : *ἐνίσε* Δ   17. *τινα* ΛΔ : *τινὰ* ΜΙΣ   *ἐπήρθη* ΛΜΙ *ἐπήρθη* ΣΔ
18. *τούτῳ* ΛΜΙ *τούτῳ δὲ* ΣΔ   19. *Οὐλπιανὸς* ΙΣ : *οὐπιανὸς* ΛΜΛ   22. *τριςκαιδεκάτῳ* ΙΔ : *δεκάτω* ΛΜΣ

# ΒΙΒΛΙΟΝ Θ.

1. Μεταλλάξαντος τοίνυν Ἀλεξάνδρου τὸν βίον, ἐβασίλευσε Μαξιμῖνος, πρῶτος οὗτος αἱρεθεὶς καὶ μόνῃ τῇ τῶν στρατιωτῶν ψήφῳ, τῆς συγκλήτου μὴ συμψηφισαμένης, ὅπου γε καὶ συνηριθμεῖτο τῇ γερουσίᾳ. Ἐπαγαγὼν δὲ Γερμανοῖς πόλεμον καὶ κρατήσας αὐτῶν ἐκ πολλοῦ τοῦ περιόντος καὶ προσαγορευθεὶς ἰμπεράτωρ, ὃ νῦν μὲν τῶν βασιλέων ἐστὶν ὄνομα, τότε δὲ ἥρμοττε τοῖς ἄριστα στρατηγοῦσιν, ἀνῃρέθη τῆς Ἰταλίας ἐντὸς ἐν Ἀκυληΐᾳ τῇ πόλει, Πουπιήνου τὴν σφαγὴν ἐπαγαγόντος. Συνανῃρέθη δὲ αὐτῷ καὶ ὁ παῖς, νήπιος κομιδῇ, κοινωνήσας τῷ πατρὶ τῆς βασιλείας τρισὶν ἔτεσι καὶ ἡμέραις ὀλίγαις.

2. Μετὰ τοῦτον τρεῖς ἅμα γίγνονται βασιλεῖς, Πουπίηνός τε ὁ τὸν φόνον ἐργασάμενος καὶ Βαλβῖνος καὶ Γορδιανός, οἱ μὲν ἐξ ἀφανοῦς καὶ ἀσήμου γένους, Γορδιανὸς δὲ ἐξ ἐπιφανῶν προγόνων. Γορδιανὸς γὰρ ἦν αὐτῷ πατήρ, οὕτω λαμπρός, ὥστε, Μαξιμίνου βασιλεύοντος, ὃν ὁ Πουπίηνος διεχρήσατο, ἐπὶ τῆς Ἀφρικῆς ἀνθυπατικὴν αὐτὸν ἔχοντα στρατιάν, κληθῆναι ἐπὶ τὴν βασιλείαν. Ἐπεὶ δὲ ἐπέδησαν τῆς Ῥώμης, Βαλβῖνος μὲν καὶ Πουπίηνος ἐν ταῖς αὐλαῖς ἀνῃρέθησαν ταῖς βασιλικαῖς, ἔμεινε δὲ Γορδιανὸς μόνος τὴν ἀρχὴν ἔχων. Νεώτατος δὲ ὤν, ἄγεται γαμετὴν Τρανκελλίναν. Ἀνεγείρας δὲ τὸ ἱερὸν τοῦ Ἰάννου, διὰ πολλοῦ τοῦ μέσου ὥρμησεν ἐπὶ τὰ πρὸς ἕω. Στρατούσας δὲ ἐπὶ Πέρσας καὶ κρατήσας αὐτῶν μάχαις πολλαῖς, ἐπανιὼν ἀνῃρέθη πρὸς τοῖς ῥωμαϊκοῖς ὅροις ὑπὸ Φιλίππου. Καὶ γίγνεται τῶν πραγμάτων ὁ Φίλιππος κύριος. Κατεσκεύασε δὲ αὐτῷ μνήμη τῶν πεπραγμένων ἡρῷον ὁ στρατὸς εἰκοστῷ τοῦ Κιρκησίου σημείῳ· φρούριον δέ ἐστι τοῦτο Ῥωμαίων, εἰσέτι καὶ νῦν οὕτω καλούμενον παρὰ τὸν Εὐφράτην ποταμόν. Τὸ σῶμα δὲ εἰς τὴν Ῥώμην ἐκόμισε, καὶ τῇ τῶν θεῶν ἐτίμησε προσηγορίᾳ.

3. Φίλιππος δὲ σὺν τῷ παιδὶ Φιλίππῳ τῆς βασιλείας ἐπελάβετο,

1. Ἐν τῇ ᾠᾳ' *μαξιμιανὸς* ΑΜ : λείπει ΙΣΔ 1-2. *Μαξιμῖνος* ΙΔ : *μαξιμιανὸς* ΑΜΣ 5. *μὲν τῶν* ΣΔ : *τῶν μὲν* ΑΜΙ 7. *πουπιήνου* ΙΣΔ : *πομπιήνου* διώρθωσεν ὁ ἐρυθρογράφος τὸ *πουπιήνου* Α : *πουπιήνου* τοῦ ν γραφέντος ἐπὶ ἄλλου γράμματος (μ ;) διαξεσθέντος Μ 8. *αὐτῷ καὶ ὁ παῖς* ΜΣΔ : *καὶ ὁ παῖς αὐτῷ* ΑΙ 11. *ἀφανοῦς* Π : *ἀφανοῦς* ἐκ τοῦ *ἀφανοὺς* Μ 13. *Μαξιμίνου* ΙΔ : *Μαξιμιανοῦ* ΑΜΣ 15. Ἐν τῇ ᾠᾳ' *γορδιανὸς* ΑΜ : λείπει ΙΣΔ 16. *Βαλβῖνος* ΛΔ : *Ἀλβιανὸς* ΜΙΣ *Πουπίηνος* Π : *πουπίηνος* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *πουπίνηνος* Α 18. *Τρανκελλίναν* ΑΜ : *τρανκυλλίναν* ΙΣΔ. Γραπτέον *Τρανκιλλῖναν* 19. *Ἰάννου* Π. Γραπτέον *Ἰανοῦ* *μέσου* Π : *μέσου* Μ *ὥρμησεν* Π : *ὥρμησε* Μ 21. *γίγνεται* Δ : *γίνεται* Π 24. *δέ ἐστι* ΙΔ : *δὲ ἐστὶ* ΑΜΙ
27. Ἐν τῇ ᾠᾳ' *φίλιππος* ΑΜ : λείπει ΙΣΔ



καρπὸν τοῦτο ποιησάμενος τοῦ φόνου. Καὶ τὴν στρατιὰν διαγαγὼν εἰς τὴν Ἰταλίαν ἤγαγε δημοτελῆ πανήγυριν ἐπὶ τῷ χιλιοστῷ τῆς πόλεως ἔτει, κατ' αὐτὸν ἀρξαμένῳ, παντοδαπαῖς τέρψεσι τὸ πλῆθος ἀνελόμενος. Ἀλλ' ἀνῃρέθη σὺν τῷ παιδί, τῶν στρατιωτῶν αὐτὸν μὲν ἐν Βερώνῃ, τὸν υἱὸν δὲ ἐν Ῥώμῃ διαχρησαμένων, πέντε βασιλεύσας ἐνιαυτούς. Τῆς μέντοι τῶν θεῶν ἠξιώθησαν προσηγορίας.

4. Καὶ παρῆλθεν εἰς τὴν ἐξουσίαν Δέκιος, ἐκ Παιόνων κατάγων ἀπὸ Βουδαλίας τῆς πόλεως τὸ γένος. Κινηθέντος δὲ ἐμφυλίου πολέμου, τούτου μὲν ἐκράτησε μάχῃ, τὸν δὲ παῖδα τὸν ἑαυτοῦ καίσαρα παρεσκεύασεν ἀναρρηθῆναι. Λουτρόν τε τῇ Ῥώμῃ κατεσκεύασεν ἐπώνυμον ἑαυτῷ, καὶ δύο τὴν ἀρχὴν κατασχὼν ἐνιαυτούς, ἅμα τῷ παιδὶ κατέλυσε τὸν βίον, ἐν μέσοις τοῖς βαρβάροις ἀναιρεθέντες, καὶ τῆς τῶν θεῶν ἔτυχον ἀμφότεροι τιμῆς.

5. Διαδέχεται δὲ τὴν βασιλείαν Γάλλος Ὀστιλιανὸς καὶ ὁ τούτου παῖς Βουλουσιανός. Τυραννήσαντος δὲ ἐν Μυσοῖς Αἰμιλιανοῦ, στρατεύουσιν ἀμφότεροι. Καὶ ἀναιρεθέντες ἐν Τεράμνοις, τῆς ἀρχῆς οὐδεμίαν οὐδενὶ κατέλιπον μνήμην. Τῆς δ' ἐξ αὐτῶν γενομένης συμφορᾶς πολὺ γέγονεν ὄνομα, λοιμῶν καὶ νόσων ποικίλων τότε σχεδὸν ἅπαν τὸ βασιλευόμενον διαφθειράντων.

6. Μετὰ τούτους Αἰμιλιανός, οὐκ ἔχων ἑαυτὸν ἀνενεγκεῖν ἐπὶ λαμπροὺς προγόνους, μᾶλλον δὲ ἐξ ἀσήμων πάντῃ τε γεγεννημένος, τρισὶ μησὶν ὅλοις βασιλεύσας ἐτελεύτησε.

7. Τότε τοίνυν Οὐαλεριανὸς μέν, περὶ τὰς Ῥητίας καὶ Νωρικὸν διατρίβων, ὑπὸ τῆς στρατιᾶς ᾑρέθη στρατηγὸς καὶ μετ' οὐ πολὺ βασιλεύς, Γαλλιῆνος δὲ ἐπὶ τῆς Ῥώμης ὑπὸ τῆς συγκλήτου πρὸς τὴν ἀρχὴν ἐκλήθη. Συνέδη δὲ τὴν τούτων βασιλείαν ὀλεθριωτάτην γενέσθαι δυστυχίᾳ τῶν ἡγεμόνων ἢ τὸ ἀληθέστερον ἀσθενείᾳ. Γερμανοὶ μὲν

1. *τοῦτο* ΛΣΔ : *τοῦτον* ΜΙ 4. *ἀνελόμενος* Π : *ανελόμενος* Α *αὐτὸν* Π : *αὐτὸν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *αὐτῶν* Α 5. *Βερώνῃ* ΙΔ : *βερώνη* Α : *βερόῃ* ΜΣ
7. Ἐν τῇ ᾠᾳ' *Δέκιος* ΑΜ : λείπει ΙΣΔ 8. *Βουδαλίας* ΣΔ : *μουδαλίας* ΑΜΙ
10. *λουτρόν τε* ΙΣΔ : *λουτρὸν τὲ* ΑΜ *τῇ Ῥώμῃ* ΑΜΙ : *κατὰ τὴν Ῥώμην* ΣΔ
14. *διαδέχεται* Π : *ὑποδέχεται* Ι Ἐν τῇ ᾠᾳ' *γάλλος* ΑΜ : λείπει ΙΣΔ
*Ὀστιλιανὸς* ΙΣΔ : *ὀστυλιανὸς* ΑΜ 15. *Αἰμιλιανοῦ* ΣΔ : *αἰμυλιανοῦ* ΑΜΙ
17. *ἐξ* Π : *ἐπ'* Δ *συμφορᾶς* Π : *ξυμφορᾶς* Ι 19. *διαφθειράντων* ΛΙΔ : *διαφθαρέντων* ΜΣ 20. *μετὰ* Π : *μετὰ δὲ* Δ *Αἰμιλιανὸς* Δ : *αἰμιλιανὸς* ΑΜΙ : *Αἰμυλιανός* Σ 23. *Ῥητίας* ΣΔ : *ῥητείας* ΑΜΙ 24. *ᾑρέθη* Π : *ἡρέθη* Α
*μετ' οὐ πολὺ* Π : *μετουπολὺ* Λ 25. *Γαλλιῆνος* Π : *γαλλίηνος* Ι *ἐπὶ* Π : *ἐπὶ* Μ
27. *δυστυχίᾳ* Π : *δυστυχίαι* Μ *ἀσθενείᾳ* ΛΣΔ : *ἀσθενείαι* Μ : *ἀδρανίᾳ* Ι

γὰρ ἐν μέσαις ταῖς Ἰταλίαις ἐστρατοπεδεύσαντο καὶ τῆς Ῥαβέννης αὐτῆς ἄχρι προῆλθον. Οὐαλεριανὸς δὲ ἐν τῇ Μέσῃ τῶν ποταμῶν Πέρσαις μαχόμενος ὑπὸ Σάπωρος τοῦ Περσῶν βασιλέως ἑάλω, καὶ κατεγήρασεν ἐν αἰχμαλωσίᾳ.

8. Γαλλιῆνος δέ, νέος ἐπὶ τὰ πράγματα παρελθών, τὸν μὲν πρῶτον χρόνον ἀνδρείαν τε ἐπεδείξατο καὶ τὴν τύχην εἶχε συλλαμβανομένην ἐν μάχαις, Γάλλων τε καὶ Ἰλλυριῶν κρατήσας Γέννουόν τε τυραννήσαντα ἀνελών. Προβαινούσης δὲ αὐτῷ τῆς ἡλικίας, μετέβαλε καὶ τὴν γνώμην καὶ τὸν βίον, ἐκ μὲν ἡμερότητος εἰς ὠμότητα μεταστάς, ἐκ σεμνότητος δὲ εἰς ἅπασαν ἡδονῶν ἀτοπίαν. Καὶ πάσας ἀφῆκε τὰς βασιλικὰς φροντίδας, ὡς Ἀλαμανούς, ὑπερβάντας τὴν Γάλλων γῆν, ἐπὶ τὴν Ἰταλίαν ἐλθεῖν, Δάκας τε καὶ τοὺς ὑπὲρ τὸν Ἴστρον, οἳ κτῆμα Τραϊανοῦ τοῦ πάλαι βασιλεύσαντος ἐγεγόνεισαν, ἀλλοτριωθῆναι Ῥωμαίων ἄλλα τε καὶ Μακεδονίαν καὶ Πόντον καὶ Ἀσίαν ὑπὸ τῶν περὶ τὸν Ἴστρον ἐθνῶν, Παίονας δὲ ὑπὸ Σαρματῶν καὶ Κουάδων πολιορκηθῆναι, Γερμανούς τε τὰς Ἱσπανίας ἐπινεμηθῆναι καὶ Ταράκωνα πόλιν ἐπιφανῆ κατασκάψαι, Πέρσας δέ, τὴν Μέσην τῶν ποταμῶν ἐφ' ἑαυτοῖς ποιησαμένους, ἤδη περὶ τῆς Συρίας τὸν πόλεμον ἔχειν.

9. Ἀπεγνωσμένων δὲ ἤδη τῶν πραγμάτων καὶ τῆς βασιλείας ἐκ τοῦ πλείονος ἀνῃρημένης, Ποστούμιος ἐν Γάλλοις, ἀφανὴς τὸ ἐκ πατέρων, περιθεὶς ἑαυτῷ τὴν ἁλουργίδα, δέκα τῶν πραγμάτων ἐνιαυτοῖς ἐπετρόπευσε καὶ τὴν ἀπολομένην γῆν ἀνεκτήσατο, πολλὴν ἀρετὴν ἐπιδειξάμενος. Πολλά τε κατώρθωσεν ἄν, εἰ μὴ τάραχος αὐτὸν στρατιωτικὸς ἀνεῖλεν, αἰτιασαμένου τοῦ πλήθους, ὅτι δὴ Μογοντιακὸν τὴν πόλιν, ἥτις τυραννήσαντι Λουκίῳ Αἰλιανῷ συνεπολέμησε,

1. *ῥαβέννης* ΙΣΔ : *ῥαβαίνης* ΛΜ  5. *Γαλλιῆνος* Π : *γαλλίηνος* Ι  5. Ἐν τῇ ᾤᾳ' *γαλλιηνός* Λ : *γαλλιῆνος* Μ : λείπει ΙΣΔ  6. *ἀνδρείαν* Π : *ἀνδρίαν* Δ
7. *Ἰλλυριῶν* Π : *ἰλλυριῶν γέννουόν τε* τῶν δύο τελευταίων λέξεων διαγραφεισῶν Λ  *κρατήσας* Π : *κρατήσας* τοῦ κ γραφέντος ἐπὶ ἄλλου γράμματος διαξεσθέντος Μ  *γέννουόν* Λ : *γένουον* Ι : *γέννυον* ΜΣ : *Ἰγγένυον* διώρθωσε Δ
10. *πάσας* Π : *πᾶσας* Ι  11. *Ἀλαμανοὺς* ΣΔ : *ἀλαμάνους* ΛΜ : *ἀλαμάννους* Ι
12. *Ἰταλίαν* Π : *ἰταλλίαν* Ι  *οἳ* Π : *οἳ* ἐκ τοῦ *ὁ* Μ  13. *ἐγεγόνεισαν* Π : *ἐγεγόνεσαν* Ι  14. *ἄλλα* ΛΜΣ : *ἀλλὰ* Ι : *Ἑλλάδα* διώρθωσε Δ  15. *Ἴστρον* ΛΣΔ : *ἴστρον* Ι : *ἴστρου* Μ  16. *Ἱσπανίας* ΣΔ : *ἰσπανίας* ΛΜΙ  18. *πόλιν* Π : *πόλιν πόλιν* Μ  21. Ἐν τῇ ᾤᾳ' *ποστούμιος* διαγεγραμμένον Λ : λείπει Π
22. *ἁλουργίδα* ΣΔ : *ἀλουργίδα* ΛΜΙ  23. *ἐνιαυτοῖς* ΛΜΙ : *ἐνιαυτοὺς* ΣΔ  *ἀπολομένην* Σ : *ἀπολλυμένην* Δ  24. *ἐπιδειξάμενος* Ι : *ἐνδειξάμενος* Π  *κατώρθωσεν* ΙΣΔ *κατώρθωσεν* ἐκ τοῦ *κατόρθοσεν* Μ  25-6. *δὴ Μογοντιακὸν* Δ : *δημογοτικῶν* Ι : *δημοκοπῶν* αὐτῇ τῇ πρώτῃ χειρὶ ἐκ τοῦ *δημογοτιῶν* Λ : *δημοκοπῶν* ΜΣ  26. *Αἰλιανῷ* ΙΣΔ : *αἰλιανῶ* ΛΜ



μετὰ τὴν νίκην οὐκ ἐπέτρεψε πολιορκηθῆναι καὶ τὰ χρήματα τῆς πόλεως γενέσθαι τῶν νενικηκότων. Οὕτω δὴ τούτου τελευτήσαντος Μάριος, εὐτελὴς καὶ προεστηκὼς ἐργαστηρίου, ἐπελάβετο τῆς ἀρχῆς, καὶ μίαν κρατήσας ἡμέραν τῇ ὑστεραίᾳ ἀνῃρέθη. Καὶ διεδέξατο Βικτωρῖνος τὴν βασιλείαν ἐν τῇ Γάλλων γῇ, χρῆσθαι μὲν τοῖς πράγμασιν ἐπιστάμενος, δουλεύων δὲ ἡδοναῖς καὶ τοῖς ἀλλοτρίοις ἐπιβουλεύων. Τοῦτο γοῦν αὐτὸν καὶ ἀπήνεγκεν ὡς τάχιστα τοῦ βίου, δεύτερον τῆς βασιλείας ἄγοντα ἔτος, δούλου τινὸς Ἀκτουαρίου τὴν τελευτὴν ἐπαγαγόντος· τοῦτο γὰρ ἦν ὄνομα τῷ πεφονευκότι.

10. Καὶ μετῆλθεν εἰς Τέτρικον ἡ βασιλεία, τῆς Ἀκυτανίας ἔχοντα τὴν ἡγεμονίαν, τοῦ στρατοῦ τὴν ψῆφον ἐπ' αὐτὸν ἀγαγόντος. Περιεβάλλετο μὲν οὖν ἐν Βουραγάλλοις τὴν ἁλουργίδα, ταραχὰς δὲ ὑπέμεινε στρατιωτικὰς πολλάς τε καὶ μεγάλας. Ταύτης δ' οὔσης ἐν Γάλλοις τῆς καταστάσεως, ἐν τοῖς ἑῴοις Ὀδέναθος, μετατιμηθεὶς τῆς ἀρχῆς, νικᾷ τε Πέρσας μάχῃ καὶ τὴν Συρίαν ἀνακτησάμενος προσῆλθεν ἐπὶ τὴν Μέσην τῶν ποταμῶν, καὶ πρὸς Κτησιφῶντα χωρήσας, αὐτὴν ἐπολιόρκει.

11. Καὶ οὕτως δή, τοῦ Γαλλιήνου τὴν ἀρχὴν ἐκλιπόντος, ἐν μὲν τοῖς ἑσπερίοις Ποστούμιος, ἐν δὲ τοῖς ἑῴοις Ὀδέναθος τὰ πράγματα διεφύλαξεν. Ἀλλ' ὁ μὲν Γαλλιῆνος ἀνῃρέθη, καὶ Οὐαλεριανός, ὁ ἀδελφὸς ὁ τούτου, τῆς τοιαύτης τελευτῆς ἐγένετο κοινωνός, ἐνάτῳ τῆς βασιλείας ἔτει. Κλαύδιος δέ, διαδεξάμενος τὴν ἀρχήν, τὰ ἔθνη κατεπολέμησεν ἃ προσῴκει τὸν Ἴστρον, ὑφ' ὧν Ἰλλυριοί τε καὶ Μακεδόνες ἐπολιορκοῦντο. Αὐτός τε σώφρων τε ἦν περὶ τὰς δημοσίας δαπάνας, μετριότητι δὲ ἐχρῆτο πρὸς ἅπαντα. Τοῦ δικαίου δὲ φύλαξ ἦν ἀκριβὴς καὶ πανταχόθεν τῇ βασιλείᾳ πρέπων. Ἀλλὰ νόσος αὐτὸν

4. *ὑστεραίας* Π : *ὑστεραίας* ἐκ τοῦ *ὑστερέας* Μ  5. Ἐν τῇ ᾤᾳ' *βικτωρῖνος* διαγεγραμμένον : λείπει Π  6. *ἀλλοτρίοις* Π : *ἀλλοτρίοις γάμοις* ὀρθῶς Δ  7. *γοῦν* Π : *γ'οῦν* Μ  8. *ἄγοντα ἔτος* Π : *ἔτος ἄγοντα* Ι
10. *Τέτρικον* ΣΔ : *τέττρικον* ΛΜΙ  11. *ἀγαγόντος* Π : *ἀγαγόντες* Μ
12. *περιεβάλλετο* Π : *περίεβάλλετο* Λ  *Βουραγάλλοις* Π : *Βουρδιγάλλοις* διώρθωσε Δ  *ἁλουργίδα* Π : *ἀλουργίδα* Μ  13. *ὑπέμεινε* Π : *ὑπέμεινε* ἐκ τοῦ *ὑπέμειναι* Μ  *στρατιωτικὰς* Π : *στρατιωτικᾶς* Μ  *δ'* ΙΔ : λείπει ΛΜΣ
14. *ὀδέναθος* ΣΔ : *ὀδέναθος* ΛΜΣ  16. *Κτησιφῶντα* Π : *κτησιφῶντα* ἐκ τοῦ *κτησιφόντα* Μ  17. *ἐπολιόρκει* Ι : *ἐπολιόρκη* τοῦ ἐρυθρογράφου προσθέντος ἄνωθεν *σεν* Λ : *ἐπολιόρκησεν* Μ : *ἐπολιόρκησεν* Σ : *ἐπολιόρκησε* Δ  18. *οὕτως* Π : *οὕτω* Δ  *ἐκλιπόντος* ΙΣΔ : *ἐκλειπόντος* ΛΜ  19. *Ὀδέναθος* ΣΔ : *Ὀδέναθος* ΛΜΙ  21. *ὁ ἀδ.* Π : *ἀδ.* Ι  *ἐνάτῳ* ἔγραψα : *ἐννάτῳ* Π  22. Ἐν τῇ ᾤᾳ' *Κλαύδιος* ΛΜ : λείπει ΙΣΔ  23. *Ἴστρον* ΛΣΔ : *ἴστρον* Ι : *ἴστρον* Μ  *Ἰλλυριοὶ* ΙΣΔ : *ἰλλύριοί* ΛΜ

δευτέρῳ τῆς ἀρχῆς ἔτει μετέστησε τοῦ βίου, καὶ τῶν θείων ἠξιώθη τιμῶν. Ἡ δὲ σύγκλητος πολυτρόποις τιμαῖς τὴν ἐκφορὰν ἐκόσμησε, καὶ τελευταῖον ἀσπίδα τε χρυσῆν ἔθηκεν ἐν τῷ βουλευτηρίῳ, καὶ αὐτὸν χρυσοῦν ἔστησεν ἐν τῷ Καπιτωλίῳ.

12. Ἐψηφίσατό τε Κυντίλλῳ, τοῦ τεθνηκότος ἀδελφῷ, τὴν βασιλείαν, συμψηφισαμένης καὶ τῆς στρατιᾶς ἁπάσης. Καὶ τῆς τε κρίσεως οὐ διήμαρτον οἱ ἑλόμενοι· ταῖς γὰρ ἀρεταῖς ἁπάσαις οὐ μόνον εἰς ἴσον ἦλθεν, ἀλλὰ καὶ παρῆλθε τὸν ἀδελφόν. Στρατηγὸν δὲ πρότερον αἱρεθεὶς μετὰ ταῦτα καὶ βασιλεὺς ἀνερρήθη. Ἀλλὰ καὶ οὗτος ἑπτακαίδεκα ὕστερον τῆς βασιλείας [ἡμέραις] ἀνῃρέθη.

13. Τότε λοιπὸν Αὐρηλιανὸς ἐπὶ τὰ πράγματα παρῆλθεν, ἐκ τῆς Δακίας τῆς καλουμένης Ῥιπενσίας ἕλκων τὸ γένος, δυνατώτατος μὲν καὶ ἀνδρειότατος ἐν ταῖς μάχαις, μικρόψυχος δὲ ἐν τοῖς πολιτικοῖς πράγμασιν. Οὗτος τοὺς μὲν περὶ τὸν Ἴστρον βαρβάρους ἐνίκησε μάχῃ καὶ τοὺς ῥωμαϊκοὺς ὅρους ἐξέτεινε κατὰ τὸ σχῆμα τὸ πρότερον. Ἐκράτησέ τε Τετρίκου μὲν ἐν Γάλλοις, αὐτοῦ προσαγαγόντος αὐτόν τε καὶ τὸ στρατόπεδον. Ἐπειδὴ γὰρ οὐκ ἔφερε, συνεχῶς αὐτῷ ἐπανισταμένων, μεθ' ἡδονῆς ἐδέξατο τὴν Αὐρηλιανοῦ δεσποτείαν. Φασὶ γοῦν αὐτὸν γράμμασι λαθραίοις παρακεκληκέναι τὴν ἀρχὴν ὑποδέξασθαι καὶ τὸ ἔπος ἐνθεῖναι τοῖς γράμμασιν, ὃ πεποίηκεν ὁ Βιργίλλιος ἐκ προσώπου Παλινούρου πρὸς τὸν Αἰνείαν Ἐξάρπασόν με τούτων, ἀήττητε, τῶν κακῶν. Συνάψας δὲ καὶ πρὸς Ζηνοβίαν μάχην, ἥτις

1. ἔτει Π : ἔτη Μ θείων Π : θείων μετὰ ἔθνῶν διαγεγραμμένον Λ 3. χρυσῆν ΙΣΔ : χρυσὴν ἐκ τοῦ χρυσοῦν Μ : χρυσὴν Λ 4. Καπιτωλίῳ Δ : Καπετωλίῳ Π. Ἴδε ἀνωτέρω σ. 81, 6 5. ἐψηφίσατό τε ΙΔ : ἐψηφίσατο τὲ ΛΜΣ τοῦ Π : τῷ τοῦ Δ 8. ἴσον ΣΔ : ἶσον ΛΜΙ παρῆλθε ΛΣΔ : παρῆλθε αὐτῇ τῇ πρώτῃ χειρὶ ἐκ τοῦ παρῆλθεν Λ : οὗτος (διαγεγραμμένον) παρῆλθε Μ 10. ἡμέραις προσέθηκε Δ : λείπει Π 11. Ἐν τῇ ὤᾳ· αὐρηλιανὸς ΑΜ : λείπει ΙΣΔ 12. ῥιπενσίας ΙΣΔ : ῥιπευσίας ΛΜ 14. οὗτος Π : οὗτος οὖν Δ Ἴστρον ΣΔ : Ἴστρον Ι : Ἴστρον ΛΜ 15. ῥωμαϊκοὺς Π : ῥωμαϊκοὺς αὐτῇ τῇ πρώτῃ χειρὶ ἐκ τοῦ ῥωμαϊκοῦς Λ 16. ἐκράτησέ Π : ἐκράτησε Μ Τετρίκου ΜΣΔ : τεττρίκου Ι : τεγρίκου Μ 17-18. αὐτόν τε ΛΔ : αὐτόν τε Ι : αὐτὶν τὲ ΜΣ 18. ἡδονῆς Π : ἡδονῆς Μ Αὐρηλιανοῦ Π : αὐρηλιανοῦ τοῦ ρ διορθωθέντος ἐκ λ αὐτῇ τῇ πρώτῃ χειρὶ Λ 19. γοῦν Π : γ'οῦν Λ λαθραίοις ΙΣΔ λαθραίοις τοῦ λ γραφέντος ἐπὶ ἄλλου γράμματος ἀδιαγνώστου Λ : ∴ ἀθροίοις ἐν τῷ κειμένῳ, οὐδὲν ἐν τῇ ὤᾳ Μ 20. Βεργίλλιος ΙΔ : βεργίλλιος ΛΜΣ 22. συνάψας ΙΣΔ : συνάψαι ΛΜ



μετὰ τὴν τοῦ ἀνδρὸς Ὀδενάθου τελευτὴν ἐβασίλευσε τῶν ζῴων, αἱρεῖ μὲν αὐτὴν πλησίον Ἀντιοχείας, οὐ καρτερᾶς δεηθεὶς μάχης· ἀπήγαγε δὲ εἰς τὴν Ῥώμην αὐτήν τε καὶ τὸν Τέτρικον καὶ καθ' ἑκατέρων ἐθριάμβευσε, σε.της οἰκουμένης αὐτοκράτωρ προσαγορευθείς. Ἡγοῦντο δὲ αὐτῷ τῶν ἁρμάτων Τέτρικός τε καὶ Ζηνοβία. Καὶ τὸν μὲν ἐπιτροπεύειν ἔταξε τῆς Λουκανῶν ἐπαρχίας τὸ λοιπὸν τοῦ βίου, Ζηνοβία δέ, καὶ αὐτὴ μικρὸν βιώσασα μετὰ τὴν αἰχμαλωσίαν χρόνον, τοὺς παῖδας κατέλιπεν ἐπὶ τῆς Ῥώμης, ὧν ἔτι καὶ νῦν εἰσιν ἀπόγονοι.

14. Κατὰ τούτους τοὺς χρόνους οἱ τὸ νόμισμα διοικοῦντες ἐξ ἀργύρου τε καὶ χρυσίου καὶ μὴν καὶ τὸν χαλκὸν μορφοῦντες εἰς δηνάριον ἐξανέστησαν εἰς στάσιν, ὥστε καὶ συγκροτῆσαι πόλεμον καὶ εἰς χεῖρας ἐλθεῖν. Αἰτίαν δὲ ἔσχεν ὁ πόλεμος τὴν περὶ τὸ νόμισμα ῥᾳδιουργίαν. Κρατήσας δὲ αὐτῶν Αὐρηλιανὸς πολλῇ μετὰ τὴν νίκην ὠμότητι κατεχρήσατο. Πολλοὺς δὲ καὶ τῶν ἐκ τῆς γερουσίας ἀνεῖλε, φονῶν ἀεί, ὥστε μῖσος μὲν αὐτῷ τεχθῆναι πολύ, μὴ μὴν ἄχρηστον πάντῃ γενέσθαι τὴν ὠμότητα, τῶν πολλῶν ἐκ τούτου πρὸς τὸ δέον ἀφικνουμένων, πλὴν ὅτι, καθάπερ ἔκ τινος μελέτης, οὐδὲ τῶν ἀδελφιδῶν ἐφείσατο.

15. Αὐτὸς καὶ τὴν πόλιν ὀχυρωτέροις περιέβαλε τείχεσι καὶ ναὸν ᾠκοδόμησεν Ἡλίῳ, πλοῦτόν τε ἐναπέθετο τῷ ναῷ πολὺν ἐκ χρυσοῦ τε καὶ λίθων τιμίων. Ἃς μέντοι κατεστήσατο πόλεις Τραϊανὸς ὑπὲρ τὸν Ἴστρον οὐκ ἠβουλήθη μέρος εἶναι τῆς ἀρχῆς· οὐ γὰρ ἤλπισε δύ-

1. Ὀδενάθου Π : ὀ.νάθου τῇ πρώτῃ χειρί, τῇ δὲ δευτέρᾳ ἡ βραχυγραφία ἐπηνωρθώθη εἰς τὸ ὁλόγραφον δὲ Λ ἐβασίλευσε Π : ἐβασίλευε Μ 1-2. αἱρεῖ Π: αἱρεῖ διαγεγραμμένον ἐν τέλει τοῦ φ. 219β καὶ πάλιν εἶτα αἱρεῖ ἐν ἀρχῇ τοῦ φ. 220α Λ 3. ἀπήγαγε ΛΜΙ : ἐπήγαγε ΣΔ αὐτήν τε Δ : αὐτὴν τὲ Π Τέτρικον ΣΔ : τέττρικον Ι : τέγγρικον ΛΜ 3-4. ἑκατέρων ΙΔ : ἑτέρων ΛΜΙ 4. ἐθριάμβευσε Π : ἐθριάμβευσαι (ε) Λ 5. ἡγοῦντο Π : ἡγοῦντο Μ Τέτρικος ΣΔ : τέττρικκος Ι : τέγγρικος ΛΜ 7. καὶ αὐτὴ μικρὸν ΛΜΙ : μικρὸν καὶ αὐτὴ ΣΔ 8. εἰσιν Δ : εἰσὶν ΛΜΣ : εἰσιν οἱ Ι 9. τούτους Π : τούτους δὲ Δ 9-10. ἀργύρου ΙΣΔ : αργύρου Λ : αργύρου μετὰ διάξεσιν τοῦ πνεύματος Μ 10. μὴν καὶ ΣΔ: μὴν κλιοι ΜΙ : μὴν(τοῦ η γραφέντος ἐπὶ ἄλλου γράμματος ἀδιαγνώστου)κλῖοι Λ 10-11. δηνάριον Π : δηνάριον ἐκ τοῦ δεινάριον Μ 13. αὐτῶν Π : αὐτὸν Λ 14. καὶ τῶν ἐκ τοῦ τῆς Ι : καὶ Κ ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ὤᾳ· Κ ἐκ τῶν τῆς Μ: καὶ ἐκ τῆς ΛΣΔ 15. φονῶν ΔΣΔ : φθονῶν Ι : φινονῶν Μ πάντῃ Π : πάντι Λ 19. καὶ Π : δὲ καὶ Δ 20. ᾠκοδόμησεν Π : ὠκοδόμησεν ἐκ τοῦ ὀκοδόμησεν Μ πλοῦτόν τε Δ : πλοῦτον τὲ Π 22. Ἴστρον Δ : Ἰστρον ΜΣ : Ἴστρον ΙΔ

νασθαι μένειν αὐτὰς ὑπὸ τοῖς Ῥωμαίοις, τῶν προβεβλημένων ἐθνῶν Ἰλλυριῶν τε καὶ Μυσῶν ἐκπεπορθημένων. Μετῴκησε γοῦν τοὺς κατοικισθέντας ἐκεῖ Ῥωμαίους εἰς μέσην τὴν Μυσῶν γῆν, προσαγορεύσας τὸν συνοικισμὸν Δακίαν, ἣ μέση νῦν τῶν δύο Μυσιῶν κεῖται καὶ ἔστιν ἐν δεξιᾷ διαπλέουσι τὸν Ἴστρον ἐπὶ τὴν θάλασσαν. Τοσαῦτα διαπραξάμενος οἰκέτου δόλῳ ἐτελεύτησε τὸν βίον, ὅς, τὴν τοῦ δεσπότου μιμησάμενος χεῖρα, γράφει πρός τινας τῶν φίλων περὶ σφαγῆς ἀνδρῶν τινων, ὡς Αὐρηλιανοῦ γράψαντος. Ὃ δὴ γνόντες οἷς ὁ φόνος ἀρτύεσθαι δῆθεν ἐδόκει, φθάσαντες αὐτοὶ τὸν Αὐρηλιανὸν ἔδρασαν ἃ πείσασθαι προσεδόκων. Σφάττεται τοίνυν μεταξὺ τοῦ τε Βυζαντίου καὶ Ἡρακλείας κατὰ τὴν παλαιὰν λεωφόρον· ὄνομα δέ ἐστιν τῷ τόπῳ Καινὸν φρούριον. Ἀλλ' ἐτιμώρησαν αὐτῷ μετὰ ταῦτά τινες, καὶ αὐτὸς συνηριθμήθη τοῖς θεοῖς.

16. Μετὰ τοῦτον Τάκιτος ὑπεδέξατο τὴν βασιλείαν. τό τε ἦθος εἰς ἅπασαν ἀρετὴν ἐξησκημένος δυνατός τε εἴπερ τις ἄλλος ἐπιτροπεῦσαι τῶν πραγμάτων. Ἀλλ' οὐδὲν ἔδειξε λαμπρόν· οὔτε γὰρ ἐπέτρεψεν ὁ χρόνος, τῆς βασιλείας ἓξ μῆνας προελθούσης μόνον. Ἀλλ' οὐδὲ Φλωριανός, τοῦτον ἐκδεξάμενος, ἔπραξέ τι γενναῖον εἴκοσι βασιλεύσας ἡμέρας.

17. Πρόβος ἐντεῦθεν ἐκτήσατο τὴν βασιλείαν, πολλὴν ἀπὸ τῶν πολεμικῶν δόξαν ἔχων, ἣν καὶ μετὰ ταῦτα οὐχ ἧττον ηὔξησε. Γάλλους τε γὰρ ἠλευθέρωσε τῶν βαρβάρων, πολλαῖς αὐτῶν κρατήσας μάχαις, τούς τε ἐπιβουλεῦσαι τῇ βασιλείᾳ βουληθέντας, Σατορνῖνόν τε ἐν τοῖς πρὸς ἕω, Πρόκλον τε καὶ τὸν Βόνωσον ἐν Ἀγριππίνῃ, πο-

1. *τοῖς* Π : *τοῖς ἐκ τῆς* Α  2. *γοῦν* ΙΣΔ : *γ' οὖν* ΑΜ  2-3. *κατοικισθέντας* ΣΔ : *κατωκισθέντας* ΙΑ : *κάτω κισθέντας* Μ  3. *τὴν* Π : *τὴν ἐκ τοῦ τῆν* Μ  4. *Δακίαν* Π : *Δακίας* Μ  *Μυσιῶν* Δ : *Μυσίων* Σ : *μυσέων* ΑΜΙ  5. *Ἴστρον* ΙΔ : *Ἴστρον* ΑΜΣ  *τοσαῦτα* ΜΙΣ : *τοσαῦτα δὲ* ΑΔ  7. *πρός τινας* Π : *πρὸς τινὰς* Σ  8. *τινων* Δ : *τινῶν* Π  *Αὐρηλιανοῦ* Π : *αὐριλϊανοῦ* Α  9. *φόνος* Π : *φθόνος* Μ  *δῆθεν* Π : *δῆθεν ἐκ τοῦ δεῖθεν* Μ  *αὐτοὶ* ΙΣΔ : *αὐτὸ* Α : *αὐτὸς ἐκ τοῦ αὐτοι* Μ  *Αὐρηλιανὸν* ΙΔ : *αὐρϊλιανόν* ΑΜΣ  10. *προσεδόκων* ΙΣΔ : *πρόσἐδόκων* Α : *προσεδόκων ἐκ τοῦ πρόσἐδόκων* διαγραφέντος τοῦ τόνου καὶ τοῦ πνεύματος Μ  12. *ταῦτά τινες* ΙΔ : *ταῦτα τινὲς* ΑΜΣ  14. *Τάκιτος* ΙΣΔ : *τάκητός* Μ : *τάκητος* Α  15. *εἴπερ* ΜΔ : *εἴπέρ* ΑΙΣ  17. *ἓξ* Π : *εἰς ἓξ* Δ  *μόνον* Π : *μόνους* Ι  18. *οὐδὲ* Π : *οὐδὲν* Δ  20. Ἐν τῇ ῷᾳ· *πρόβος* ΑΜ : λείπει ΙΣΔ  21. *πολεμικῶν* Π : *πολεμΐκῶν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *πολεμίων* Μ  23. *Σατορνῖνόν τε* Δ : *Σατορνῖνον τὲ* ΑΙΣ : *σατορνῖνος τὲ* Μ  24. *Ἀγριππίνῃ* ΣΔ : *ἀγριπίνῃ* ΑΜΙ



λέμῳ νικήσας ἀνεῖλε. Γάλλοις ἐπέτρεψεν ἀμπελουργεῖν, οὔπω πρότερον τοῦτο εἰδόσι, τῇ στρατιωτικῇ τε χρησάμενος χειρὶ τό τε Ἄλμον καὶ τὸ Ἄγρεον· ὄρη δέ ἐστιν τὸ μὲν Σιρμίου, τὸ δὲ ἐν Μυσοῖς· κατεφύτευσεν ἀμπελῶνας, καὶ παρέδωκε τοῖς προσοίκοις γεωργεῖν. Πολλούς τε ἑτέρους κατορθώσας πολέμους καὶ πάντα ποιήσας εἰρηναῖα καί τι καὶ νεανιευσάμενος μικρὸν ὕστερον, ὡς οὐδὲν αὐτῷ δεήσει δυναμένῳ, θαυμαζόμενος ἐπ' ἀνδρείᾳ τε καὶ δικαιοσύνῃ καὶ τοῖς μὲν πλεονεκτήμασιν ἀφομοιούμενος Αὐρηλιανῷ, τὰς κακίας δὲ φεύγων, ἀνῃρέθη κατὰ τὸ Σίρμιον, ὑπὸ στρατιωτικοῦ ταράχου τοῦτο παθών.

18. Δέχεται δὲ τὴν βασιλείαν Κάρος Ναρβωνήσιος· Γάλλων δὲ ἦν ἡ πόλις· καὶ ποιεῖ κοινωνοὺς εὐθὺς αὐτῷ τῆς βασιλείας Καρῖνον καὶ Νουμεριανὸν τοὺς παῖδας. Μαχόμενος δὲ πρὸς Σαρμάτας, ἐπειδή τις ἤγγειλεν αὐτῷ τοὺς Πέρσας τὰ πρὸς τὴν ἕω ταράττειν, δρόμον τε ὡς αὐτοὺς ἐποιήσατο καὶ κατεκράτησεν αὐτῶν πολλαῖς συμπλοκαῖς. Κόγχην τε καὶ Κτησιφῶντα, τῶν περσικῶν πόλεων ἐπιφανεστάτας, εἷλε· καὶ στρατοπεδευσάμενος ὑπὸ τὸν Τίγρητα ποταμόν, ἀπώλετο κεραυνῷ. Καὶ μετὰ τοῦτον ὁ παῖς Νουμεριανός, συνεκστρατεύσας αὐτῷ, δόλῳ θνήσκει τοῦ κηδεστοῦ· Ἄπρως δὲ ἦν ὄνομα αὐτῷ. Καὶ θνήσκει τὸν τρόπον τόνδε· ἐπιρροῆς αὐτῷ κατὰ τῶν ὀμμάτων γενομένης, οὐ δυνάμενος ἀλύπως δέχεσθαι τὸν καθαρὸν ἀέρα, ἐπιθεὶς ἑαυτὸν φορείῳ καὶ δέρμασι πανταχόθεν περικλείσας, ἤνυε τὴν ὁδόν. Ὁ τοίνυν Ἄπρως, ἀνελὼν αὐτόν, ἔκρυπτε τὸν θάνατον, πρὶν δὴ τῶν

1. *νικήσας* ΙΣΔ : *νικῆσας* ΑΜ  *ἐπέτρεψεν* Π : *ἐπέγραψεν* Μ  2. *χρησάμενος* ΣΔ : *χνησάμενος* ΑΜΙ  3. *Ἄγρεον* Π : *Ἄλμεον* διώρθωσε Δ  3-4. *πολλούς τε* ΣΔ : *πολλοὺς τὲ* ΑΜΣ  5. *κατορθώσας* ΙΣΔ : *κατορθῶσας* ΑΜ  *εἰρηναῖα* Ι : *ἐν εἰρήνῃ* Π  7. *ἀνδρείᾳ* Π : *ἀνδρίᾳ* Δ  8. *Αὐρηλιανῷ* ΜΣΔ : *αὐριλιανῶ* Α : *αὐρηλλιανῶ* Ι  10. Ἐν τῇ ῷᾳ· *κάρος καὶ καρῖνος* ΑΜ : λείπουσιν ΙΣΔ  *Ναρβωνήσιος* διώρθωσε Δ : *ἀνὴρ βωνήσιος* Ι : *ἀνὴρ μωνήσιος* ΑΜΣ  11. *καρῖνον* ΙΣΔ : *καρίνον* Α : *κάρινον* Μ  12. *Νουμεριανὸν* Π : *νουμεριανὸν* τῶν γραμμάτων ερ ἀντικαταστησάντων ἄλλα διαξεσθέντα Μ  *ἐπειδή τις* ΙΑΔ : *ἐπειδὴ τις* (τῖς Μ) ΜΣ  14. *αὐτοὺς* ΙΣΔ : *ἑαυτοὺς* ΑΜ  15. *ἐπιφανεστάτας* ΙΣΔ : *ἐπιφανέστατος* τῆς ἐπὶ τοῦ α ὀξείας εἶτα διαγραφείσης Α : *ἐπιφανέστατος ἐπιφανέστατος* Μ  17. *παῖς* Π : *παῖς ὁ* Δ  17. *συνεκστρατεύσας* ΙΣΔ : *σὺνἐκστρατεύσας* ΑΜ  18. (καὶ 22). *Ἄπρως* Π : *Ἄπρος* Δ  18-20. *καὶ θνήσκει—γενομένης* Ι : *καὶ διὰ τὸ τῶν ὀμμάτων γενόμενον πάθος* ΜΣΔ : *καὶ τὰ τῶν ὀμμάτων γενόμενος τῇ* πρώτῃ χειρὶ διωρθώθησαν τῇ δευτέρᾳ εἰς *καὶ διὰ τὸ τῶν ὀμμάτων γενόμενον πάθος* Α  21. *δέρμασι* Ι : *δέρματα* Π

ἑπομένων τινὲς ἠναγκάσθησαν ὑπὸ τῆς τοῦ νεκροῦ δυσωδίας περιεργάσασθαι καὶ μηνῦσαι τῷ στρατῷ τὸ γεγενημένον. Ἔκρυπτε δὲ τὴν τελευτὴν Ἄπρως, αὐτὸς κρατῆσαι τῶν πραγμάτων ἐπιθυμῶν.

19. Ἐν τούτοις δὲ ὄντων τῶν ἐκ Περσίδος ἐπανιόντων, Καρῖνος ὁ καταλειφθεὶς ὑπὸ τοῦ πατρὸς Ἰλλυριούς τε καὶ Γάλλους φυλάττειν καὶ τὴν Ἰταλίαν, πάσας ὑπερβὰς ἀτοπίας, τοὺς μὲν ἀνῄρει, πλάττων ἐγκλήματα, τῶν δὲ τὰς εὐνὰς ὕβριζεν. Ἤδη δὲ καὶ τῶν συμπεφοιτηκότων αὐτῷ τινας ὑπὲρ τῶν γενομένων ἐν τῇ νεότητι προσκρουσμάτων ὠμότατα διεχρήσατο, καὶ ἀπεστυγεῖτο παρὰ πάντων ὁμοίως. Ἀλλ' ὁ στρατὸς ἅπας Διοκλητιανὸν ἀνεῖπε βασιλέα, ἀφανῆ τινα καὶ ἄσημον. Οἱ μὲν γὰρ αὐτὸν δημοσίου γραμματέως παῖδά φασιν, οἱ δὲ ἀπελεύθερον Ἀνουλίνου τινὸς συγκλητικοῦ γεγονέναι.

20. Βασιλεύσας δὲ καὶ συγκαλέσας τὴν στρατιάν, ἀνωμόσατο μὴ συνειδέναι τῷ Νουμεριανοῦ φόνῳ, καὶ μετὰ τοὺς ὅρκους πλησίον ἑστηκότα τὸν Ἄπρων αὐτοχειρὶ διεχρήσατο. Χωρήσας δὲ καὶ ἐπὶ τὸν Καρῖνον, τῷ τε στρατεύματι καὶ τοῖς λοιποῖς προσεστηκότα, νικᾷ τε μάχῃ καὶ μετὰ ταῦτα ὑπὸ τῶν οἰκείων προδοθέντα περὶ Μάργον τὴν πόλιν ἀνεῖλε, καὶ γίγνεται μόνος αὐτοκράτωρ. Στασιάζοντος δὲ ἐν Γάλλοις τοῦ ἀγροικικοῦ καὶ Βακαύδας καλοῦντος τοὺς συγκροτηθέντας· ὄνομα δ' ἔστι τοῦτο τυράννους δηλοῦν ἐπιχωρίους· ἡγεμόνας δὲ ἔχοντος τοῦ τολμήματος Ἄμανδόν τε καὶ Αἰμιλιανόν, χειροτονήσας καίσαρα Μαξιμιανὸν τὸν Ἑρκούλιον ἐξέπεμψε. Καὶ νικήσας Μαξιμιανὸς μάχῃ τὴν ἐλευθερίαν ἀπέδωκε τῇ γῇ.

21. Κατὰ δὲ τὸν αὐτὸν χρόνον Καραύσιος, οὐδαμόθεν οὐδενὶ γνώριμος πλὴν ἐκ πολιτικῶν ἔργων, ἐκπεμφθεὶς παρὰ Μαξιμιανοῦ

2. *μηνῦσαι* Π : *μηνύσαι* Λ 5. *καταλειφθεὶς* ΙΣΔ : *καταφθεὶς* ΛΜ 6. *πάσας* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *πάσας* πρόςθετον ἄνωθεν Λ *ἀνῄρει* Π : *ἀνῄρει* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἀναίρει* Λ 8. *τινας* ΛΔ : *τινὰς* ΙΜΣ
9. *ὠμότατα* ΙΛΔ : *ὠμότητα* ΜΣ *πάντων* Π : *πάντα* Σ 10. Ἐν τῇ ῴᾳ· *διοκλητιανὸς* ΛΜ : λείπει ΙΣΔ *τινα* ΙΔ : *τινὰ* ΛΜΣ 11. *παῖδά φασιν* ἔγραψα : *παῖδα φασὶν* Π 12. *Ἀνουλίνου* ΣΔ : *ἀνουλίου* ΛΜΙ *συγκλητικοῦ* Π : *συσταλτικοῦ* Μ 13. *ἀνωμόσατο* ἔγραψα : *ἀνώμόσατο* ΛΜΙ : *ὠμόσατο* ΣΔ 15. *Ἄπρων* Π : *Ἄπρον* Δ *αὐτοχειρὶ* ΛΜΣ : *αὐτοχειρεὶ* ΙΔ
20. *ἔστι* ΙΣΔ : *ἔστιν* ΛΜ 21. *Ἄμανδόν τε* Δ : *Ἀμάνδον τὲ* Π *Αἰμιλιανὸν* Π : *αἰμιλιανὸν* Ι 23. Ἐν τῇ ῴᾳ *μαξιμιανὸς ὁ καὶ ἑρκούλιος* ΛΜ : λείπουσιν ΙΣΔ
*καίσαρα* Π : *καίσαρα* ἐκ τοῦ *καίσαρα* διώρθωσεν ὁ ἐρυθρογράφος Λ
*Ἑρκούλιον* ΣΔ : *ἕρκουλον* ΛΜΙ 25. *γνώριμος* Ι : *γνωριζόμενος* Π
*πολιτικῶν* Π : *πολεμικῶν* διώρθωσε Δ



εἰς τὴν Βονωνίαν, ὥστε τὰ περὶ τὴν Βελγικὴν καὶ Ἄλμορχον καταστῆσαι, παρὰ τῶν προσοίκων ἐνοχλούμενα βαρβάρων, πολλαῖς κρατήσας μάχαις, τὴν ἐκ τοῦ πολέμου λείαν οὔτε τῷ στρατῷ διένειμεν, οὔτε τοῖς βασιλεῦσιν ἀνέπεμψε· καὶ δι' ὑποψίας ἐλθών, ὡς ἐκ προνοίας ἐπὶ νεωτερισμῷ τὸν πλοῦτον συναγείρας, προσετάχθη μὲν ὑπὸ Μαξιμιανοῦ κατασφαγῆναι, γνοὺς δὲ ἁλουργίδα τε ἐνέδυ καὶ καταλαμβάνει τὰς βρεττανικὰς πόλεις.

22. Πάντων οὖν πανταχόθεν θορύβου πεπληρωμένων· καὶ γάρ τοι καὶ Ἀχιλλεὺς χεῖρας ἀντάρας ἐτύγχανεν ἐν Αἰγύπτῳ καὶ Γεντιανοί, πέντε δὲ ἦσαν οὗτοι, νεωτεροποιοῦντες ἐπὶ τῆς Ἀφρικῆς δύναμιν συνεκρότουν· τὸν μὲν Ἑρκούλιον Μαξιμιανὸν αὔγουστον ἀνηγόρευσε, Κωνστάντιον δὲ καὶ Μαξιμιανὸν καίσαρας. Ἦν δὲ Κωνστάντιος μὲν Κλαυδίου τοῦ βασιλεύσαντος ἀπὸ θυγατρὸς ἔκγονος, Μαξιμιανὸς δέ, ὁ καὶ Γαλέριος ἐπικληθείς, ἐκ Δακῶν τῶν περὶ Σαρδίκην ἔχων τὸ γένος. Βουλόμενος δὲ αὐτοὺς πιστοτέρους ἑαυτῷ καταστῆσαι τῇ διὰ τοῦ γάμου κατέδησε συγγενείᾳ, Κωνσταντίῳ μὲν τὴν Ἑρκουλίου τοῦ συμβασιλεύσαντος αὐτῷ προγονὴν ἐκδούς· Θεοδώρα ἦν ὄνομα αὐτῇ· ἀφ' ἧς δὴ καὶ ἓξ παῖδες ἐγένοντο αὐτῷ, Κωνσταντίνου τοῦ μετὰ ταῦτα βασιλεύσαντος ἀδελφοί· Γαλερίῳ δὲ τὴν αὐτοῦ θυγατέρα Οὐαλερίαν. Ἀλλὰ τὰς μὲν γαμετὰς ἑκατέρας ἀπεώσαντο. Καραύσιος δέ, ἐπειδήπερ ἀνάλωτος ἦν ἁπάσῃ μηχανῇ, σπένδεται πρὸς τοὺς βασιλέας, καὶ μετὰ τὰς σπονδὰς ἀνῃρέθη παρὰ τοῦ πάντων αὐτοῦ φιλτάτου, ὃς Ἄλληκτός τε ἐκαλεῖτο καὶ μετὰ ταῦτα ἐκράτησε τῶν Βρεττανικῶν· καὶ τρεῖς διατελέσας ἐνιαυτοὺς ὑπὸ τοῖς πολεμίοις ἐγένετο, στρατηγοῦντος Ἀσκληπιοδότου τοῦ τοῖς βασιλεύουσι τότε ὑπ-

1. *Βονωνίαν* ΙΣΔ : *βογωνίαν* ΛΜ τὰ Π : τὰ λεῖπον ἐν τῷ κειμένῳ προςέθηκεν ἐν τῇ ῴᾳ διὰ παραπεμπτικοῦ σημείου ∧ ἡ δευτέρα χεὶρ Λ
*περὶ* Π : *παρὰ* Μ 18. *Βελγικὴν* ἔγραψα : *Βελγικὲν* ΙΔ : *γελβίκην* ΛΜ : *Γελβίκου* Σ *Ἄλμορχον* Π : *Ἀλμόριχον* Δ : Γραπτέον *Ἀρμορικὴν*
3-5. *στρατῷ—προσετάχθη* ἐν συνεχείᾳ τοῦ κειμένου Π : πρόςθετα ἐν τῇ ῴᾳ τῇ δευτέρᾳ χειρὶ Μ 3. *διένειμεν* Π : *διένεμεν* Μ 5. *συναγείρας* Π : *συναγεῖραι* Μ 6. *ἁλουργίδα* ΙΣΔ : *ἀλουργίδα* ΛΜ 9. *ἀντάρας* ΙΛΜ : *ἀντήρας* ΣΔ
11. *Ἑρκούλιον* ΙΣΔ : *ἐρκούλιον* ΛΜ 14. *Γαλέριος* ΛΜΣ : *Γαλλέριος* ΙΔ
*Σαρδίκην* Ι : *Σαρδάκην* Π : Γραπτέον *Σαρδικὴν* 16. *Ἑρκουλίου* Δ : *ἐρκουλίου* ΛΜΙ : *Ερκουλλίου* Σ 17. *ἐκδοὺς* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *ἐκδοὺς* πρόςθετον ἐν τῇ ῴᾳ τῇ δευτέρᾳ χειρὶ διὰ παραπεμπτικοῦ σημείου K Μ
*Θεοδώρα* ΙΔΣ : *θεοδῶρα* ΛΜ *ἦν* ΙΜΣ : *δ' ἦν* ΛΔ 19. *Γαλερίῳ* ἔγραψα : *γαλλερίῳ* Π *δὲ* ΣΔ : λείπει ΛΜΙ *αὐτοῦ* ΛΔ : *αὐτοῦ* ΜΙΣ

ἄρχοντος. Οὕτως τὰ Βρεττανῶν, ἕνδεκα ἔτη χωρισθέντα τῆς βασιλείας, συνήφθη Ῥωμαίοις.

23. Κατὰ δὲ τούτους τοὺς χρόνους Κωνστάντιος ὁ καῖσαρ, ἐν Γάλλοις πολλὰς νικήσας μάχας, ἦλθε παρὰ μικρὸν κινδύνου. Κυκλωσάντων γὰρ αὐτὸν τῶν πολεμίων ἐν αὐτοῖς τοῖς προπυλαίοις Λίγγωνος τῆς πόλεως, κάλοις ἀνειλκύσθη πρὸς τὸ τεῖχος. Ἀλλὰ κατὰ τὴν αὐτὴν ἡμέραν, οὐδὲ πέντε διαγενομένων ὡρῶν, ἐπεξελθών, ἑξήκοντά τε ἀνεῖλε χιλιάδας καὶ τοὺς Ἀλαμανοὺς κατεδούλωσε. Μαξιμιανὸς δὲ τοὺς ἐν Ἀφρικῇ νεωτερίσαντας Γεντιανοὺς εἷλέ τε καὶ ὑποσπόνδους ἐποίησε. Καὶ αὐτὸς δὲ Διοκλητιανός, ἐν Αἰγύπτῳ τὸν Ἀχιλλέα νικήσας, αὐτόν τε διεχρήσατο καὶ διὰ πάσης ὠμότητος ἐπεξῆλθε τῇ νίκῃ, τοὺς μὲν κατασφάξας τῶν Αἰγυπτίων, τοῖς δὲ λοιποῖς φόρους τάξας ὡς μάλιστα βαρυτάτους. Ἐκ ταύτης τῆς αἰτίας καὶ πᾶσι τοῖς βασιλευομένοις τὰς εἰσφορὰς ἐπέθηκε, διαμετρησάμενος τὴν γῆν καὶ εἰς ἀπογραφὴν ἀναγαγὼν ἅπαντα, [ὅπερ καὶ] εἰς τόδε ἐκράτησεν.

24. Ἀλλ' οὐδὲ Μαξιμιανὸς ὁ Γαλέριος ἔξω μεγάλων ἔργων ἐγένετο. Στρατεύσας γὰρ κατὰ Ναρσοῦ τοῦ Περσῶν βασιλεύοντος· πάππος δὲ ἦν οὗτος Σάπωρί τε καὶ Ὁρμίσδῃ τοῖς εἰς τὴν ἡμετέραν ἡλικίαν ἀφικομένοις, τὸ μὲν πρῶτον ἐναντίαν ἔσχε τὴν ἔκβασιν, ἐξ ἀβουλίας μᾶλλον ἤπερ ἀσθενείας· οὐ γὰρ ἔχων ἀξιόμαχον στρατιὰν συνεπλάκη· καὶ τοιαύτην ἔσχε δυσημερίαν, ὥστε, ἐπειδήπερ ἧκε πρὸς Διοκλητιανόν, συλλεξάμενος ἑτέραν δύναμιν, μηδὲ λόγου τινὸς ἀξιωθῆναι, συνδραμεῖν δὲ τῷ ἅρματι μετὰ τῆς ἁλουργίδος αὐτῆς.

25. Ἀλλ' ἀγείρας πλῆθος πρὸς τὴν περσικὴν παρασκευὴν ἀξιόχρεων, χωρεῖ πρὸς τὴν Ἀρμενίαν, κἀκεῖ τῷ Ναρσῇ συμμίξας διαφθείρει μὲν αὐτοῦ τὸν στρατόν, αἱρεῖ δὲ τήν τε γαμετὴν αὐτοῦ καὶ τὰς ἀδελφάς, αὐτόν τε ἐπεξελθὼν ἤλασε πορρωτάτω τῆς βασιλείας. Γνοὺς δὲ ὡς Διοκλητιανὸς διατρίβει περὶ τὴν Μέσην τῶν ποταμῶν, ἀφίκετό τε εἰς αὐτὸν καὶ πρὸς ἀξίαν ἐτιμήθη τῶν εἰργασμένων. Ἐντεῦθεν πολλοὶ καὶ πρὸς πολλοὺς συνεκροτήθησαν πόλεμοι, οἱ μὲν πάντων ἅμα συστρατευόντων, οἱ δὲ παρ' ἑκάστου τῶν κρατούντων. Κάρποι γὰρ καὶ Βαστέρναι καὶ Σαρμάται κατεπολεμήθησαν, ὥστε τῆς ἀπὸ τοῦ πολέμου λείας ἀνδρῶν τε καὶ λοιπῶν τὴν ῥωμαϊκὴν πληρωθῆναι γῆν.

26. Ἀλλ' ὁ Διοκλητιανὸς μὲν ἀγχίνους τε ἦν φύσει μετά τινος κακουργίας πραγμάτων τε δεινὸς ἰχνευτής, καὶ τὰς βουλὰς ἀποκρύπτων τὴν τραχύτητά τε τὴν αὐτοῦ, σπουδὴν εἶχεν ἑτέροις ἐπιγράφεσθαι, καὶ τὴν ὠμότητα τοῖς ἔργοις ἐγγυμνάζων, ἐσοφίζετο φθόνον ἑτέρων εἶναι τὴν αὐτοῦ κακίαν. Ἐπιμελείας δὲ οὐκ ἦν ἔξω καὶ τῆς περὶ τὸ βασιλεύειν τέχνης. Αὐτός τε πρῶτος τὴν βασιλικὴν εἰσήγαγεν ὑπεροψίαν, κατὰ μικρὸν τὴν ἐλευθερίαν τὴν ῥωμαϊκὴν ὑποτεμνόμενος, καὶ προσκυνεῖσθαι προσέταξεν ἑαυτόν, τῶν μέχρις αὐτοῦ βασιλέων τῇ κοινῇ προσηγορίᾳ τιμωμένων. Καὶ τιμίους λίθους τοῖς τε ἐσθήμασι καὶ τοῖς ὑποδήμασιν ἐνήρμοσε. Πρότερον δὲ τὸ διαφέρον τῆς βασιλικῆς περιβολῆς ἀπὸ τῆς ἁλουργίδος ἦν μόνης.

27. Ἑρκούλιος δὲ σαφέστατα καὶ προδήλως ὠμὸς ἦν καὶ πάσης μετριότητός τε καὶ κοινότητος ἀλλότριος, ἄγριον δὲ καὶ τὸ βλέμμα καὶ τὴν πρόσοψιν ἔχων, ἐξ ὧν ἑκατέρων ἡ τῆς ψυχῆς ἐσημαίνετο ποιότης. Τὰς γοῦν ἀπηνεστέρας Διοκλητιανοῦ βουλὰς εὐθὺς εἰς ἔργον ἦγεν, ἔστι δὲ ὅτε καὶ ἀφορμὴν αὐταῖς παρεῖχε, πρόφασιν μὲν ὡς πάντα εἴκων αὐτῷ, τὸ δὲ οἰκεῖον θεραπεύων πάθος. Ἀλλ' ἐπειδὴ πρὸς γῆρας ἀφικόμενος Διοκλητιανὸς οὐ σφόδρα ἡγεῖτο τῇ προστασίᾳ τῶν κοινῶν ἀρκεῖν, ποιεῖται πρὸς τὸν Ἑρκούλιον λόγους, ὥστε τὴν ἀρχὴν ἀποθέσθαι καὶ παραδοθῆναι τοῖς ἐκ τῆς ἡλικίας ἐρρωμενεστέροις καὶ

1. *τὰ* ΙΔΣ : *τὴν* ΑΜ   *ἕνδεκα* ΙΔΣ : *ἔνδεκα* ΑΜ   7. *ὡρῶν* Π : *ὁρῶν* Δ   *ἑξήκοντα* Π : *ἐξήκοντα* Α   8. *ἀνεῖλε* ΙΜΔ : *ἀνεῖλεν* ΑΣ   *Ἀλαμανοὺς* ἔγραψα καθ' ἃ ἀνωτέρω ἐν σ. 94, 11 *Ἀλαμαννοὺς* ΣΔ : *ἀλαμάνους* ΑΜΙ   9. *εἷλέ τε* Δ : *εἷλε τὲ* Π   10. *δὲ* Ι : λείπει Π   12. *κατασφάξας* Π : *κατασφάξασ* ἐκ τοῦ *κατασφάξαν* Μ   *τοῖς* ΙΣΔ : *τοὺς* ΑΜ   *λοιποῖς* ΙΣΔ : *λοιποὺς* ΑΜ   14. *πᾶσι τοῖς βασιλευομένοις* ΣΔ : *πάσης τῆς βασιλευομένης* ΑΜΙ   15. *εἰς* Π : *ὅπερ καὶ εἰς* κατὰ τὰ ὑπὸ τοῦ Sylburg προταθέντα Δ   17. *Γαλέριος* ἔγραψα : *Γαλλέριος* Π   18. *κατὰ Ναρσοῦ* Π : *καταναρσοῦ* Μ   19. *Ὁρμίσδῃ* ἔγραψα : *Ὀρμίσδῃ* ΑΜΙ : *Ὁρμίσδᾳ* ΣΔ   20. *ἀφικομένοις* Π : *ἀφικομένης* Μ   20-21. *ἐξ ἀβουλίας* ΙΔΣ : *ἐξαβουλίας* ΑΜ   22. *ἧκε* ΙΔ : *ἧκεν* ΑΜΣ   23. *συλλεξάμενος* ΑΜ : *συλλεξόμενος* ΙΔΣ   *μηδὲ* Σ : *μὴδὲ* ΑΜ : *μήτε* ΙΔ   24. *ἁλουργίδος* ΙΣΔ : *ἀλουργίδος* ΑΜ   26. *Ἀρμενίαν* ΙΔ : *ἀρμενίαν* ΑΜ : *Αρμενίαν* Σ   *κἀκεῖ* Π : *κᾀκεῖ* Δ

3-4. *ἀφίκετό τε* Π : *ἀφίκετο τὲ* Α   4. *εἰργασμένων* Π : *ἐργασμένων* Μ   8. *πληρωθῆναι* ΙΣΔ : *πληρωθῆναι* ΑΜ   10. *μὲν* Π : *μὲ'ν* Α   *μετά τινος* Π : *μετὰ τινός* Σ   12. *αὐτοῦ* Π : *αὑτοῦ* Δ   15. *αὐτός τε* ΜΙΔ : *αὐτὸς τὲ* ΑΣ   17. *τῶν* Ι : λείπει Π   18. *ἐσθήμασι* Π : *ἐσθήμασιν* ΑΜ   20. *ἁλουργίδος* ΙΣΔ : *ἀλουργίδος* ΑΜ   21. *Ἑρκούλιος* ΙΔ : *ἑρκούλιος* ΑΜ : *Ερκούλιος* Σ   23. *πρόσοψιν* Π : *πρόκοψιν* Μ   25. *ὅτε* Π : *ὅτι* Δ   *πρόφασιν* Π : *πρόφασι* τοῦ ν προστεθέντος ἄνωθεν τῇ δευτέρᾳ χειρὶ Μ   28. *Ἑρκούλιον* Δ *Ἑρκούλιον* Π   29. *ἡλικίας* Π : *ἡλικίας* Α

ἀκμάζουσι. Καὶ πείθεται μέν, εἰ καὶ ἀνιώμενος καὶ βαρέως φέρων Ἑρκούλιος, συναφίσταται δὲ τῆς βασιλείας τῷ συμβουλεύσαντι· μία τε αὐτοὺς ἀπέδειξεν ἰδιώτας ἡμέρα, τὴν ἀλουργίδα ῥίψαντας ἐκ συνθήματος ἑνός, τὸν μὲν ἐν Νικομηδείᾳ, τὸν Διοκλητιανόν, τὸν δ' ἕτερον ἐν Μεδιολάνῳ μετὰ τὸν θρίαμβον ἐκεῖνον, ὃν κατὰ τῶν εἰρημένων ἐθνῶν ἐπὶ τῆς Ῥώμης ἐξεπλήρωσαν, προπομπευόντων τῆς τε Ναρσοῦ γαμετῆς καὶ τῶν ἀδελφῶν καὶ τῶν παίδων. Ἵδρυσαν οὖν ἑαυτοὺς ὁ μὲν Ἑρκούλιος ἐν Σάλωσι,

28. Διοκλητιανὸς δὲ περὶ τὴν Λουκανίαν ἐν ἀγρῷ γειτνιῶντι Σάλωσι. Καὶ διετέλεσεν ἐν ἡσυχίᾳ λαμπρᾷ, τὸ καινὸν τοῦτο μόνον ἑλόμενος καὶ μετελθὼν τῆς ἀρετῆς εἶδος, ὥστε ἐξ ὕψους τοσούτου πρὸς κοινὴν μεταστῆσαι πολιτείαν. Καινὸν γοῦν καὶ αὐτοῦ μετὰ τελευτὴν ὑπῆρξεν ἐξ ἀμοιβῆς· μόνος γὰρ ἰδιωτῶν ἀνηγορεύθη θεός.

## ΒΙΒΛΙΟΝ Ι'.

1. Οἱ μὲν οὖν ἐπαύσαντο τῆς ἀρχῆς. Κωνστάντιος δὲ καὶ Γαλέριος τὴν τῶν αὐγούστων προσλαμβάνουσι προσηγορίαν καὶ διαιροῦνται τὴν βασιλείαν ὥστε τὰς μὲν Γαλλίας καὶ τὴν Ἰταλίαν καὶ τὴν Ἀφρικὴν ὑπὸ Κωνσταντίῳ τετάχθαι, τὰ δὲ τῶν Ἰλλυριῶν καὶ τὰ πρὸς ἕω καὶ τὴν Ἀσίαν ἅπασαν ὑπὸ τῷ Γαλερίῳ. Χειροτονοῦνται δὲ παρ' αὐτῶν καίσαρες δύο. Ἀλλὰ Κωνστάντιος, ἀρκεῖν ἡγούμενος αὐτῷ τὴν τοῦ αὐ-

2. *Ἑρκούλιος* Δ : *Ἐρκούλιος* Π 3. *ἰδιώτας* Π : *ἰδιώτας* Ι *ἀλουργίδα* ΙΣΔ : *ἀλουργίδα* ΛΜ 5. *Μεδιολάνῳ* ΙΣΔ : *μενδιολάνω* ΛΜ *τῶν* Π : *τον* Μ 6. *ἐξεπλήρωσαν* Π : *ἐξεπλήρωσε* Δ 8. *Ἑρκούλιος* Δ : *Ἐρκούλιος* Π *ἐν Σάλωσι* Π : *περὶ τὴν Λουκανίαν* διώρθωσε κατὰ τὰ ὑπὸ τοῦ Sylburg προταθέντα Δ 9. *περὶ τὴν λουκανίαν* Π : *ἐν Δαλματίᾳ* διώρθωσε κατὰ τὰ ὑπὸ τοῦ Sylburg προταθέντα Δ *καινὸν* κατὰ τὴν ὑπὸ τοῦ Sylburg προταθεῖσαν διόρθωσιν Δ : *κοινὸν* Π 11. *μετελθὼν* ΙΛΜ : *μετριθὼν* ΣΜ

γο

12. *μετὰ* Π : *μετὰ τὴν* Δ 13. *ἀνηγορεύθη* Π : *ἀνηρεύθη* τῆς διορθώσεως γενομένης τῇ δευτέρᾳ χειρὶ Μ 14. Ἐν τῇ φᾳ' *βασιλεία γαλερίου καὶ κωνσταντίου τοῦ πατρὸς τοῦ μεγάλου κωνσταντίνου* ΛΜ : λείπουσιν ΙΣΔ *ἐπαύσαντο* Π: *ἐπαύσατο* Μ *Γαλέριος* Ι : *Γαλλέριος* Π 17. *προςλαμβάνουσι* ΙΣΔ : *πρόςλαμβάνουσι* Λ : *πρόςλαμβάνουσι* οὐδενὸς ἀνταποκρινομένου ἐν τῇ φᾳ Μ
16. *τὰς μὲν γαλλίας* ΛΜ : *Γαλλίας μὲν* ΙΣΔ 17. *Ἰλλυριῶν* Π : *ἰλυριῶν* Μ
18. *δὲ* ΣΔ : λείπει ΛΜΙ



γούστου καὶ προσηγορίαν καὶ τιμήν, μόνων μετεποιήθη τῶν ἐν Γάλλοις πραγμάτων, τὴν Ἰταλίαν καὶ τὴν Ἀφρικὴν ἀφείς, ἀνὴρ πάσης ἀρετῆς μέτοχος καὶ πάντας κοινότητι παρελθών. Οἰκεῖον γὰρ ἡγούμενος πλοῦτον [τὸν] τῶν ὑπηκόων, τὰς μὲν ἐκείνων συνεκρότει κτήσεις, τὰς δὲ βασιλικὰς παρὰ φαῦλον ἐποιεῖτο. Φασὶ γοῦν αὐτὸν λέγειν, ὡς ἄμεινον παρὰ τοῖς ἰδιώταις τὴν τοῦ βασιλέως εὐπορίαν εἶναι ἢ μικρῷ περικεκλεῖσθαι χωρίῳ. Οὕτω δὲ μετρίαν εἶχε τὴν τῶν ἀναγκαίων παρασκευήν, ὡς ἐν τοῖς πολυανθρωποτέροις τῶν συμποσίων παρὰ τῶν ἰδιωτῶν αἰτεῖν ἀργυρᾶ τε σκεύη καὶ τὴν λοιπὴν ἀφθονίαν. Τοσοῦτον δὲ ἦν αὐτοῦ παρὰ τοῖς Γάλλοις τὸ φίλτρον, ὥστε αὐτῷ κατὰ τὴν γνώμην ἀνακινεῖσθαι τὰ τῶν ἀνθρώπων, μάλιστα ἐπειδή περ ἐπίστευον αὐτοῦ χάριν τῆς τε δολερᾶς ἀγχινοίας Διοκλητιανοῦ καὶ τῆς φονικῆς Ἑρκουλίου θρασύτητος ἠλευθερῶσθαι. Τελευτᾷ μὲν οὖν ὁ Κωνστάντιος ἐν Βορακίῳ, πόλει βρεττανικῇ, τρίτῳ καὶ δεκάτῳ τῆς βασιλείας ἔτει, καὶ συναριθμεῖται τοῖς θεοῖς.

2. Γαλέριος δέ, ἀνὴρ καὶ κατ' ἀρετὴν αὐτῷ προσφερὴς καὶ τὴν τῶν πολεμίων ἐμπειρίαν ἔχων ἀνδρείᾳ τε καὶ τοὺς πώποτε νενικηκώς, αἰσθόμενος, ἔτι Κωνσταντίου περιόντος, ἀναγκαίως αὐτῷ προσήκειν τῶν τε ἰταλικῶν καὶ ἀφρικῶν ἐπιμεληθῆναι πραγμάτων, ἐπειδή περ αὐτῶν ἀφειστήκει τὰ πρὸ τῆς τελευτῆς Κωνστάντιος, δύο καίσαρας ἐχειροτόνησε· Μαξιμῖνον ἐπέστησε τοῖς ἑῴοις, Σευῆρον δὲ τοῖς ἐν Ἰταλίᾳ, αὐτὸς δὲ ἐν τοῖς Ἰλλυριοῖς διέτριβε. Πολλοὶ γὰρ τῇ σχέσει τῇ πρὸς Κωνστάντιον ἐνεχείρισαν Κωνσταντίνῳ τὴν βασιλείαν τῷ τούτῳ παιδί, διάγοντι κατὰ τὰς Βρεττανίας, καὶ τὴν ἀρχὴν ἐδέξατο τοῦ πατρός,

1. *μόνων* Ι : *μόνον* Π 3. *οἰκεῖον* ΛΜΙ : *καὶ οἰκεῖον* ΣΔ 4. *τὸν προσέθηκα* : λείπει Π *τὰς μὲν ἐκείνων* Π : *τὰς μὲν ἐκείνων* (διαγεγραμμένα ὑπὸ τοῦ ἐρυθρογράφου) *τὰς μὲν ἐκείνων* Λ 6. *τὴν* ΛΜΙ : λείπει ΣΔ
8. *πολυανθρωποτέροις* ΙΣΔ : *πολυανοποιέροις* ΛΜ 9. *ἀργυρᾶ* ΙΣΔ : *ἀργυρᾶ* ἐκ τοῦ *ἀργυρὰ* Λ : *ἀργυρὰ* Ι *τοσοῦτον* Π : *τόσοῦτον* Δ
11. *μάλιστα* Π : *καὶ μάλιστα* Δ 13. *Ἑρκουλίου* ΙΔ : *Ἑρκουλίου* ΛΜ : *Ἐρ-*

β

*κουλίου* Σ 14. *Βορακίῳ* Ι : *κορακίω* Μ : *κορακίω* ΛΣ : *Ἐβοράκῳ* Δ
15. *συναριθμεῖται* ΙΣΔ : *συναριθμῆται* ΛΜ 16. *Γαλέριος* ἔγραψα : *Γαλλέριος* Π
17. *ἀνδρείᾳ* Π : *ἀνδρίᾳ* Δ *νενικηκὼς* Π : *νενικηκὼς* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *νενικηκῶς* Λ 18. *ἔτι* Π : *ἐτι* Δ 20. *πρὸ* Π : *καὶ πρὸ* Δ 21. *Μαξιμῖνον* διώρθωσε Δ : *μαξιμιανὸν* Π *σευῆρον* Ι : *σεύηρον* ΛΜΣ : *Σεβῆρον* Δ 22. *γὰρ* Ι : *δὲ* Π 23. *ἐνεχείρισαν* ΙΛΣ : *ἐνεχείρησαν* ΙΛ *Κωνσταντίνῳ* Π : *κονσταντίνου* Μ Ἐν τῇ φᾳ' *κωνσταντῖνος ὁ μέγας* ΛΜ : λείπουσιν ΙΣΔ
24. *Βρεττανίας* Π : *πραιτανίας* Ι

ἐξ ἀνίσων αὐτῷ γεγεννημένος γάμων. Τούτων οὕτω διακειμένων, τὸ τάγμα τῶν πραιτωριανῶν, ἔκ τινος αἰτίας εἰς στάσιν ἀρθὲν, Μαξέντιον, τὸν Ἑρκουλίου παῖδα, πρὸ τῆς Ῥώμης ἐχειροτόνησεν, ἐν ἀγρῷ διατρίβοντα. Καὶ ἐπειδή τις ἤγγειλε τοῦτο τῷ πατρί, λαβὼν ἐλπίδα τοῦ πάλιν ἀνακτήσασθαι τὴν ἐξουσίαν, ἣν ἀπέθετο, καταλαμβάνει τὴν Ῥώμην ἀπὸ τῆς Λουκανίας, ἔνθα μετὰ πολλῆς εὐδαιμονέστατα διετέλει τῆς ἡσυχίας· καὶ γὰρ ἐπιτερπέστατον ἦν τὸ χωρίον· γράφει τε πρὸς Διοκλητιανὸν, προτρέπων καὶ αὐτὸν ἐπὶ τὴν ἴσην γνώμην. Ἀλλὰ Διοκλητιανὸς μὲν κατεγέλασε τῶν γραμμάτων· ὁ δὲ Γαλέριος, τὴν τῶν πραιτωριανῶν ἀταξίαν μαθὼν, Σευῆρον ἀποστέλλει τὸν καίσαρα τιμωρὸν τοῦ τολμήματος· ὃς ἀφικόμενος μετὰ πολλῆς στρατιᾶς, περικαθεσθεὶς τὴν πόλιν, κατελείφθη ὑπὸ τῶν οἰκείων,

3. τῷ Μαξεντίῳ προστεθέντων, καὶ φυγὼν ἐπὶ τῆς Ῥαβέννης ἀνῃρέθη. Ἑρκούλιος δὲ ὁ Μαξεντίου πατὴρ, ἐν μέσῳ τῷ στρατῷ δημηγορῶν, ὡς καταφανὴς ἐγένετο τὸν μὲν παῖδα παρωθούμενος, ἐφ᾽ ἑαυτὸν δὲ τὴν ἐξουσίαν ἄγων, μετὰ πολλὰς τὰς ἐπ᾽ αὐτῷ γενομένας λοιδορίας, ἀπεχώρησεν ἐπὶ τῆς Γαλλίας, πλαττόμενος ὑπὸ τοῦ παιδὸς ἐληλάσθαι, ὥστε ἀφορμὴν αὐτῷ τοῦτο γενέσθαι τῆς πρὸς Κωνσταντῖνον σχέσεως, ὃς ἦν αὐτῷ γαμβρὸς ἐπὶ θυγατρί. Τὸ δὲ ἀληθὲς ἐπραγματεύετο τὸν Κωνσταντίνου φόνον, ὃς ἤδη τῷ φίλτρῳ τῶν ἀρχομένων παρεληλύθει τὸν πατέρα, Φράγγους τε νενικηκὼς καὶ Ἀλαμανοὺς καὶ τοὺς βασιλέας αὐτῶν ὑφ᾽ ἑαυτῷ πεποιημένος, οὓς καὶ θηρίοις παραδοὺς ἐν κοινῇ θέᾳ διέφθειρεν. Οὗτος ὁ δόλος Ἑρκουλίου τὴν θυγατέρα Φαύσταν οὐκ ἔλαθε, Κωνσταντίνῳ συνοικοῦσαν, ἀλλ᾽ ἐπαγγέλλει τὸ τοῦ πατρὸς ἐγχείρημα. Δέει τοίνυν τοῦ γαμβροῦ

1. *γεγεννημένος* Π : *γεγενημένος* Δ  *γάμων* Π : *γάμων* ἐκ τοῦ *γάμον* Μ  2. *ἔκ τινος* Π : *ἐκ τινὸς* Σ  3. *Ἑρκουλίου* ΙΔ : *ἑρκουλίου* ΑΜ ; *Ερκουλίου* Σ  7. *ἐπιτερπέστατον* Π : *ἐπιτερπέςατον* τοῦ ς γραφέντος μετὰ διάξεσιν ἄλλου γράμματος Μ  8. *προτρέπων* Π : *προτρέπων* ἐκ τοῦ *προτρέπον* Μ  9. *Γαλέριος* ἔγραψα : *Γαλλέριος* Π  10. *Σευῆρον* ΑΜΣ : *σεύηρον* Ι : *Σεβῆρον* Δ  13. *προστεθέντων* : Π *προστιθέντων* Σ  14. *Ἑρκούλιος* ΙΔ : *ἑρκούλιος* ΑΜ : *Ερκούλιος* Σ  19. *Κωνσταντῖνον* ΙΣΔ : *Κων*^στν^ Α : *κωνσταντίνου* Μ  20. *φόνον* Π : *φόνον* ἐν ᾧ τὸ φ τὸ ν καὶ τὸ δεύτερον ο ἐκ διορθώσεως τῆς δευτέρας χειρὸς Μ  21. *Φράγγους* Π : *φράγχους* Ι  22. *Ἀλαμανοὺς* Σ : *ἀλαμάνους* ΑΜΙ : *Ἀλαμαννοὺς* Δ  *ὑφ᾽* Π : *ἐφ᾽* Μ  23. *ὁ* Π : *δὲ ὁ* Δ  23-24. *Ἑρκουλίου* ΙΔ : *ἑρκουλίου* ΑΜ : *Ερκουλίου* Σ  25. *ἐπαγγέλλει* Π : *ἀπαγγέλλει* Ι  *ἐγχείρημα* Π : *ἐχείρημα* Μ  *γαμβροῦ* ΣΔΙ : *γαυροῦ* ΑΜ



μεμαθηκότος ἤδη τὴν ἐπιβολὴν, φεύγει, καὶ γενόμενος ἐν τῇ Μασσαλίᾳ παρασκευαζόμενός τε ἐκεῖθεν ἐπὶ τὸν υἱὸν ἐκπλεῦσαι Μαξέντιον, ἀνῃρέθη, δικαιοτάτην ὑπομείνας τελευτὴν, ὠμότητός τε καὶ τοῦ θηριώδους τρόπου χάριν. Πρὸς γὰρ τῇ κακίᾳ ταύτῃ πρὸς πάντας ἦν ἄπιστος καὶ τῆς κοινῆς πολιτείας λυμεὼν, κοινότητος παντοδαπῆς ἀλλότριος.

4. Ἐν τούτῳ τῷ χρόνῳ Γαλέριος ἤγαγεν εἰς βασιλείαν Λικίνιον, γνώριμον αὐτῷ γεγενημένον ἐκ τῆς πρὸς Ναρσῆν τὸν Πέρσην μάχης. Τῶν γὰρ ἀνδρειότατα μεμαχημένων τε καὶ ἠριστευκότων ἦν. Καὶ μετὰ τοῦτο εὐθὺς Γαλέριος ἐτελεύτησε. Τέσσαρές τε λοιπὸν τῶν ῥωμαϊκῶν ἐκράτησαν πραγμάτων, Κωνσταντῖνος καὶ Μαξέντιος, ἐξ αὐγούστων γεγενημένοι, Λικίνιος καὶ Μαξιμιανὸς, ἐξ ἰδιωτῶν πρὸς τὴν ἀρχὴν κεκλημένοι. Κωνσταντῖνος μὲν οὖν, πέμπτῳ τῆς βασιλείας ἔτει στρατεύσας ἐπὶ Μαξέντιον, ἐμφύλιον συνῆψε μάχην, ἐκράτησέ τε αὐτοῦ πανστρατιᾷ. Μετ᾽ οὐ πολὺ δὲ καὶ αὐτὸν ἀνεῖλεν ἐν τῇ γεφύρᾳ τῇ καλουμένῃ Μουλβίᾳ, πολὺν ὄλεθρον κατὰ τῆς συγκλήτου βουλευόμενον· προςέθηκέ τε τὴν Ἰταλίαν τῇ βασιλείᾳ. Μαξιμιανὸς δέ τις νεωτερίσας ἐπήγαγε Λικινίῳ πόλεμον ἐν τοῖς μέρεσι τοῖς ἑῴοις, καὶ τελευτᾷ τὸν βίον πρὶν εἰς ἔργον τι προελθεῖν ἐξαπιναίως ἐν Ταρσῷ τῆς Κιλικίας. Οὐ μὴν ἡσύχασε Λικινίῳ τὰ πράγματα.

5. Κωνσταντῖνος γὰρ, στρατηγεῖν τε ἀγαθὸς ὢν καὶ ἀνδρειότατος ἐν ταῖς μάχαις δυνατώτατός τε ἤδη ἐν ταῖς προσθήκαις γεγενημένος, ἐπήγαγεν αὐτῷ πόλεμον ἐπιθυμίᾳ τῆς τοῦ παντὸς ἀρχῆς, παρὰ φαῦλον ποιησάμενος τὴν ἀπὸ τοῦ γάμου συγγένειαν· κηδεστὴς

1-2. *Μασσαλίᾳ* ΙΣΔ : *μεσσαλίᾳ* ΑΜ  5. *λυμεὼν* Π : *λυμεὼν* ἐκ τοῦ *λυμεῶν* τῇ δευτέρᾳ χειρὶ Α  7. *Γαλέριος* Ι : *Γαλλέριος* Π (καὶ κατωτέρω πανταχοῦ). *Λικίνιον* ἔγραψα : *Λικίννιον* Π  9. *μεμαχημένων* Π : *μεμαχημένον* Μ  10. *Γαλέριος* ἔγραψα : *Γαλλέριος* Π  *τέσσαρές* ΙΣΔ : *τέσσαράς* Μ : *τέσσαρας* Α  11. *καὶ* Π : *μὲν καὶ* Δ  12. *γεγενημένοι* Π : *γεγενημένοι* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *γεγενημένον* Α  *καὶ* Π : *δὲ καὶ* Δ  *Μαξιμιανὸς* Π : *Μαξιμῖνος* διώρθωσε Δ  14. *Μαξέντιον* Π : *μαξέτιον* εἶτα διαγραφέντος τοῦ δευτέρου τόνου Μ  16-17. *συγκλήτου* Π : *συγλήτου* αὐτῇ τῇ πρώτῃ χειρὶ Μ  17-18. *Μαξιμιανὸς* Π *Μαξιμῖνος* διώρθωσε Δ  25. *ποιησάμενος* Π : ἐν τῷ *ποιησάμενος* τὸ βραχυγραφικὸν μενος τῆς πρώτης χειρὸς ἐγράφη ἀναλυτικώτερον ὑπὸ τῆς δευτέρας Α  *συγγένειαν* Π : *συγγένειαν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *συγκένειαν* Α

γὰρ ἦν αὐτῷ Λικίνιος ἐπ' ἀδελφῇ Κωνσταντίᾳ. Καὶ πρῶτον μὲν ἐν Κιβάλει, πόλει παιονικῇ, πολλὴν συναγείραντα δύναμιν καὶ παρασκευῇ πάσῃ χρώμενον ἀθρόως ἐπελθὼν διεσκέδασεν· ἐκράτησέ τε Δαρδάνων καὶ Μυσῶν καὶ Μακεδόνων καὶ πολλῶν ἑτέρων ἐθνῶν, ὧν ὁ Λικίνιος ἐβασίλευε.

6. Μετὰ δὲ ταῦτα πολλαῖς αὐτῷ συμπλακεὶς μάχαις σπονδάς τε θέμενος, εἶτα καὶ ταύτας ὑπερβάς, ἐπειδὴ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἡττημένος ὁ Λικίνιος καὶ οὐδὲ ὑπὸ τῶν ὅρκων ὠφελούμενος πρὸς τὴν Θεσσαλονίκην κατέφυγεν, εἷλέ τε αὐτόν, καὶ κατέστη μόνος αὐτοκράτωρ, τρεῖς ἔχων ὑφ' ἑαυτῷ καίσαρας, τοὺς ἑαυτοῦ παῖδας· ὅπερ οὐδέπω πρότερον ἡ τῶν ῥωμαϊκῶν ἔσχε πραγμάτων κατάστασις. Ἐκ ταύτης οὖν τῆς εὐπραγίας μετεβλήθη τοὺς τρόπους, καὶ τῆς κοινότητος ὑπερεῖδε, τῆς πολλῆς τε ἐκείνης πραότητος ἀφεῖλεν, ἣν ἐν προοιμίοις ἐπεδείξατο, προῆλθέ τε εἰς ὠμότητα, δι' ἣν καὶ αἵμασιν οἰκείων ἐμιάνθη σωμάτων, υἱοῦ τε καὶ ἀδελφοῦ φόνον ἐργασάμενος φίλοις τε ὡς πλείστοις τὴν χεῖρα ἐπιβαλών.

7. Συνελόντι δὲ εἰπεῖν, ἀρξάμενος μὲν τῆς βασιλείας τοῖς ἀρίστοις συνηριθμήθη τῶν βασιλευσάντων, τελευτῶν δὲ μόλις ἐξισώθη τοῖς μέσοις· καίτοι καὶ ῥώμῃ σώματος καὶ ἀρετῇ ψυχῆς οἷός τ' ἂν ἐγένετο διαλάμψαι. Δόξης τε γὰρ ἐπεθύμει πολεμικῆς καὶ πρὸς ἀριστείαν ἦν ἕτοιμος, τύχη δὲ ἠκολούθει μὲν αὐτοῦ τοῖς ἐγχειρήμασι δεξιά. Τὰς ἀρετὰς δὲ οὐκ ἔκρυπτεν, ἀλλ' * ἐκείνων ἐνομίζετο καὶ ταύτης ἦν. Σκύθας τε κατεπολέμησε σπονδάς τε κατ' ἐξουσίαν ἐποιήσατο. Πολύς τε ἦν αὐτοῦ παρὰ τοῖς βαρβάροις λόγος, ὥστε τοὺς πλείστους ἀμοιβὰς ἐποφείλειν αὐτῷ νομίζειν. Καὶ τῆς ἐλευθέρου παιδείας καὶ τῶν λογικῶν ἐπιστημῶν * καὶ τοῦ παρὰ πάντων φίλτρου, μήτε δωρεᾶς ὑπὲρ τούτου, μήτ' ἄλλης σπουδῆς μετὰ τοῦ σεμνοῦ φειδόμενος. Τῶν φίλων δὲ τισὶ μὲν ἠπίστει, τινὰς δὲ ἀναμφισβητήτως ἐθεράπευσεν, οὐδεμίαν καταλιπὼν ὑπερβολήν, ἀλλὰ πλουσίους τε αὐτοὺς καὶ δυνατοὺς ἀποφαίνων.

2. *παιονικῇ* Π : *Παννονικῇ* διώρθωσε Δ *συναγείραντα* Π : *συνάγείραντα* Μ 4. *Μυσῶν* Π : *Μοισῶν* Δ 5. *ἐβασίλευε* Π : *ἐβασίλευσε* Δ 6. *αὐτῷ* Π : *αὐτῶν* Μ *συμπλακεὶς* Π : *συμπλακεὶς* ἐκ τοῦ *συμπλακεῖς* Μ
9. *εἷλέ τε* Δ : *εἷλε τὲ* Π 12. *οὖν* ΙΜΔ : λείπει ΑΣ 14. *προῆλθέ τε* Δ : *προῆλθε τὲ* Π 15. *ἀδελφοῦ* Π : *ἀδελφιδοῦ* Δ 18-19. *μέσοις* Π : *μέσοις* ἄνευ ἀντιστοίχου ἐν τῇ ᾤᾳ πλὴν τοῦ σημείου .·. Μ 19. *οἷός* Π : *οἷος* Μ
20. *διαλάμψαι* ΣΔ : *διαλάμψας* ΑΜΙ *ἐπεθύμει* ΙΣΔ : *ἐπεθύμη* ΑΜ
21. *ἕτοιμος* ΙΣΔ : *ἕτοιμος* ΑΜ 22-23. *τὰς ἀρετὰς—ἐξουσίαν* ἐν συνεχείᾳ τοῦ κειμένου Π : πρόσθετα ἐν τῇ ᾤᾳ δευτέρᾳ χειρὶ Μ 22. *ἐκείνων* ΙΑΜ : *ἥττων ἐκείνων* ΣΔ *ταύτης ἦν* Π : *ταύτῃ οὖν* Δ 23. *τε* Π : *τοι* Σ *κατεπολέμησε* Π : *κατεπολέμησε* ἐκ τοῦ *κατεπολέμιϊσε* Μ



8. Νόμους δὲ τοὺς μὲν δι' αὐτὸ τὸ καλὸν ἔθηκε μόνον, τοὺς δὲ ἐκ περιουσίας πρὸς οὐδὲν χρήσιμον, ἔστι δὲ οὓς ἀπηνέστερον συνέγραψεν, ὡς διὰ τούτου τάξιν ἐπιθήσων τῇ πολιτείᾳ. Παρασκευαζόμενος δὲ ἐπιστρατεῦσαι κατὰ Περσῶν, τὴν Μεσοποταμίαν ἐνοχλούντων, ἑνὶ καὶ τριακοστῷ τῆς βασιλείας ἔτει, τῆς δὲ ἡλικίας ἑξηκοστῷ καὶ ἕκτῳ, κατὰ τὴν Βιθυνίαν ἐτελεύτησεν ἐν Νικομηδικῷ χωρίῳ, καὶ τὴν τελευτὴν αὐτοῦ πρὸ ἄλλου τινὸς ἀγγέλου τοῖς πανταχοῦ κομήτης ἀστὴρ ἐμήνυσεν ἐπὶ πολλαῖς ἀνέχων ταῖς ἡμέραις. Ὁ μὲν οὖν συνηριθμήθη τοῖς θεοῖς.

9. Διαδέχονται δὲ τὴν βασιλείαν οἱ τρεῖς παῖδες καὶ Δαλμάτιος, ἀδελφοῦ παῖς, καῖσαρ κεχειροτονημένος. Ἀλλὰ Δαλμάτιος μὲν εὐθὺς ἀνῃρέθη, φύσεώς τε ἀρίστης νεανίσκος καὶ τῷ θείῳ μᾶλλον ἐμφερής, στρατιωτῶν αὐτόν, κελεύοντος Κωνσταντίου, διαχρησαμένων, ἢ τὴν ἐπιβουλὴν οὐκ ἀγνοοῦντος. Κωνσταντῖνος δὲ τὸν ἀδελφὸν Κώνσταντα * ἐν Ἀκυλίᾳ, τῇ πόλει τῆς Ἰταλίας, ἀπερισκέπτως ἐνστρεφόμενος ταῖς μάχαις, ἔπεσε, παρὰ τῶν ἡγεμόνων τῆς ἐναντίας παρατάξεως δεξάμενος τὴν πληγήν. Τὴν πᾶσαν δὴ λοιπὸν ἀρχὴν ἔσχον Κώνστας τε καὶ Κωνστάντιος. Ἀλλ' ὁ μὲν ἀνδρείᾳ τε καὶ δικαιοσύνῃ τὸ πρῶτον ἐκλάμψας, ὁ Κώνστας, ἔπειτα καὶ ὑπὸ νόσου καὶ ὑπὸ τῆς τῶν συνόντων πονηρίας ἐξ ἀρετῆς εἰς κακίαν ἰσόρροπον μετέστη, καί, τοῖς τε

1. *ἐπιστημῶν* Π : *ἐπιστημῶν ἀντείχετο* Δ *δωρεᾶς* ΙΣΔ : *δωρεὰς* ΑΜ
2. *τούτου* ΑΜΙ : *τοῦτον* Σ : *τούτων* Δ 3. *δὲ τισι* ΙΔ : *δὲ τισὶ* ΑΜΣ *ἐθεράπευσεν* Π : *ἐθεράπευσε* Μ *οὐδεμίαν* ΙΣΔ : *οὐδὲ μίαν* ΑΜ
4-7. *τε* (*τὲ* ΙΑ) *αὐτοὺς—περιουσίας* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *τὲ αὐτοὺς—περιουσίας* πρόσθετα ἐν τῇ ᾤᾳ δευτέρᾳ χειρὶ Μ 10. *ἡλικίας* Π : *ἡλικίας* Α
11. *Βιθυνίαν* Π : *βηθυνίαν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *βιθυνίαν* Α
13. *μὲν* Π : *μὲν* Α 15. Ἐν τῇ ᾤᾳ *Τ'κων...ίνον* τῶν λοιπῶν κεκομμένων κατὰ τὴν στάχωσιν Α : λείπουσι Π 16. *καῖσαρ* ΙΔ : *καίσαρ* ΑΜΣ
18. *αὐτὸν* Π : *αὐτῶν* ΑΜ 20. *ἐν* Π : *πολιορκῶν ἐν* Δ *ἐνστρεφόμενος* Δ : *ἐνστρεφόμενος* ἐκ τοῦ *ἐνστρεφόμενον* Μ : *ἐνστρεφόμενον* ΑΙΣ 21. *παρὰ* Π : *πολλὰ* Σ *παρατάξεως* Π : *παρατάξεως* καὶ εἶτα κενὸς χῶρος ὡσεὶ ἑπτὰ γραμμάτων, ἴσως ἀφεθεὶς μόνον ἕνεκα κακῆς ποιότητος τοῦ χάρτου ἐν τούτῳ τῷ χωρίῳ Α 23. *ἀνδρείᾳ* ΑΜΣ : *ἀνδρίᾳ* ΙΔ 25. *ἀρετῆς* Π : *ἀρετῆς* Μ

ὑπηκόοις ὢν βαρὺς τῷ στρατεύματί τε ἀηδής, ἐξ ἐπιβουλῆς Μαγνεντίου νεωτερίσαντος ἀνῃρέθη πλησίον τῆς Ἱσπανίας ἐν φρουρίῳ Ἕλει καλουμένῳ, ἑπτακαίδεκα βασιλεύσας ἐνιαυτούς, τριακοστὸν δὲ τῆς ἡλικίας ἐκπληρώσας, στρατιώτης οὐκ ἀγενής, οὐδὲ εὐκαταφρόνητος τῇ στρατιᾷ, τοὐναντίον δὲ φοβερώτατος, οὐχὶ ὠμότητος, ἀλλ' ἀνδρείας ποιούσης φόβον.

10. Κωνσταντίῳ δὲ οὐ κατὰ τὸν ἀδελφὸν ἀπήντησε τὰ τῆς τύχης. Περσῶν γὰρ ἀεὶ καὶ μάχῃ κρατηθέντων καὶ ληφθέντων αἰχμαλώτων καὶ πόλεις ἀποβαλόντων καὶ πολιορκίαις καταδαπανηθέντων ἐν τοῖς ἔμπροσθεν, οὐδέποτε Κωνστάντιος κατὰ Σαπώρου, τοῦ τῶν Περσῶν βασιλεύοντος, εὐτυχῶς ἐπολέμησε πλὴν ἐν Σιγγάροις, ἔνθα δὴ νίκην αὐτὸν ἀνελέσθαι παντελῆ τῶν τε ἱππέων καὶ τῶν ὁπλιτῶν ἡ προπέτεια, οὐ συνειδότων τὸν καιρὸν, διεκώλυσεν. Ἀρχομένης γὰρ ἑσπέρας, προεκαλέσαντο τὴν μάχην. Καὶ μετὰ τὴν Κώνσταντος δὲ τελευτὴν Ἰταλίας καὶ Ἀφρικῆς καὶ Γάλλων ὑπὸ Μαγνεντίῳ τελούντων, οὐδὲ τὰ τῶν Ἰλλυριῶν ἦν ἐν ἡσυχίᾳ, τῆς ἐκεῖ στρατιᾶς πρὸς φυλακὴν τῆς χώρας Βετρανίωνά τινα πρεσβύτην ἀνειπούσης καὶ περιθείσης αὐτῷ τὴν ἁλουργίδα. Ὃς ἐπίσημος μὲν ἦν ἐκ πολλῶν πολέμων καὶ τῆς κατ' αὐτοὺς εὐτυχίας ἀρετῆς τε ἐραστής, οἷαν εἰκὸς τὸν ἐν ὅπλοις ὄντα ἐργάζεσθαι, ὅλης τῆς παλαιότητος εἰκών, παιδείας δὲ ἀμέτοχος τῆς ἐν λόγοις καὶ αὐτῶν ἄπειρος τῶν γραμμάτων, πλὴν ὅσον τῆς τούτων ἐπεμελήθη γνώσεως ἀφ' οὗπερ ἐβασίλευσε.

11. Κωνστάντιος δὲ τιμωρῆσαι τἀδελφῷ προελόμενος, Βετρανίωνα μὲν ἀφείλετο τῆς ἀρχῆς, συνθεμένου καὶ συνεργοῦντος τοῦ στρατοῦ, θέαμά τε ἐγένετο καινὸν εἰς ἰδιώτην ἐκ βασιλέως μεθιστάμενος. Νεπω-

1. *ἐξ ἐπιβουλῆς* Π : *ἐξεπιβουλῆς* Μ  2. *Ἱσπανίας* Δ. *Ἰσπανίας* ΑΜΙ : *Ισπανίας* Σ  *Ἕλει* Π : *Ἑλένῃ* διώρθωσε Δ  4. *ἡλικίας* Π : *ἡλικίας* Α  *ἀγενὴς* Π : *ἀγεννὴς* Ι  5. *ἀνδρείας* Π : *ἀνδρίας* Δ  6. *φόβον* Π : : *τὸν φόβον* Ι  9. *πολιορκίαις* Π : *πολϊορκίαις* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *πολϋορκίαις* Α  10. *τοῦ* ΣΔ : *τοῦ κατὰ* ΑΜΙ  *βασιλεύοντος* ΙΣΔ : *βασιλεύοντα* ΑΜ  12. *νίκην* Π : *νῖκην* ἐκ τοῦ *νϊκῶν* Μ  *ὁπλιτῶν* Π : *ὁπλϊτῶν* ἐκ τοῦ *ὁπλητῶν* Μ  14. *ἑσπέρας* ΙΣΔ : *ἑσπέρας* ἔχον τὸ π ἕνεκα περισσίας μέλανος οἱονεὶ μονοσκελὲς ὅμοιον πρὸς τ Α : *ἑστέρας* Μ  16. *στρατιᾶς* ΙΣΔ : *στρατιὰς* ΑΜ  17. *Βετρανίωνά* Δ : *βετρανίωνα* Ι: *βρεττανίωνα* ΑΜΣ  *τινα* Δ : *τινὰ* Π  *πρεσβύτην* ΙΣΔ : *πρεσβύτην* ἐκ τοῦ *πρεσβεύτην* Α : *πρεσβεύτην* Μ  18. *ἁλουργίδα* ΙΣΔ : *ἀλουργίδα* ΑΜ  19. *τε* ΙΣΔ : *δὲ* ΑΜ  *οἷαν* (*οεἷαν* Α) *εἰκὸς* Π : οἵ ἀνεικός τοῦ ει διορθωθέντος ἐκ τοῦ ῃ μετὰ διάξεσιν Μ  20. *ὅλης* Π : *καὶ ὅλης* Δ  23. *Βετρανίωνα* ΙΔ : *βρεττανίωνα* ΑΜΣ  25. *ἐγένετο καινὸν* ΙΣΔ : *ἐγίνετο κοινὸν* ΑΜ



τιανὸν δὲ, τὸν ἀνεψιὸν ἐξ ἀδελφῆς τοῦ πατρὸς γεγενημένον καὶ τυραννήσαντα κατὰ τὴν Ῥώμην, διὰ χειρὸς τῶν αὐτόθι μονομαχούντων Μαγνεντίου στρατηγοὶ διεχρήσαντο εἰκοστῇ ὀγδόῃ τῆς τυραννίδος ἡμέρᾳ, μεγάλην προαπολόμενον τῶν ἀρχομένων βλάβης· οἷος γὰρ ἂν ἐγένετο περιγενόμενος ὁ μικρὸς ἔδειξε χρόνος. Καὶ τὴν κεφαλὴν ἀποτεμόντες δόρατί τε ἐμπήξαντες, ἐν τοῖς τοῦ δήμου περιῆγαγον ὀφθαλμοῖς· τοὺς συνειδότας δὲ τῇ πράξει κατέσφαξαν, τὰς οὐσίας ποιήσαντες δημοσίας.

12. Ἀλλὰ καὶ Μαγνέντιος, ἐν Μουρσῇ νικηθεὶς, μικροῦ μὲν καὶ αὐτὸς ἑάλω. Τοσοῦτος δὲ ἐγένετο φόνος ἐξ ἑκατέρου στρατεύματος, ὥστε μεγίστην ἐνεγκεῖν τοῖς κοινοῖς ζημίαν· πολὺν γὰρ ἂν ἔτεκον τῇ πόλει θρίαμβον, εἰ πρὸς ἀλλοφύλους τὸν ἀγῶνα εἶχον. Μαγνεντίου τοίνυν δυνάμεις ἑτέρας συναγείραντος, εὐλαβηθεὶς περὶ τῶν ἑῴων Κωνστάντιος, τὸν ἀνεψιὸν Γάλλον καίσαρα χειροτονήσας ἐξέπεμψεν εἰς ἕω· αὐτός τε εἴχετο τοῦ πρὸς Μαγνέντιον ἔργου. Καὶ δὴ μάχαις ἑτέραις περικόψας αὐτῷ τὰς ἐλπίδας, συνήλασεν εἰς Λούγδουνον, οὗ βιαίαν ἐπήγαγεν ἑαυτῷ τελευτὴν, τοῦ ἀδελφοῦ Σενῶνος προτέρου τὴν κεφαλὴν ἀποκόψας, ὃν καίσαρα χειροτονήσας ἐπέστησε ταῖς Γαλλίαις, ὅτε ἀντεξῆγε Κωνσταντίῳ τὴν δύναμιν. Τρίτον δὲ ἦν αὐτῷ τῆς βασιλείας ἔτος καὶ μῆνες ζ'.

13. Οὕτω δὴ τὸν ἐμφύλιον καταπαύσας πόλεμον ὁ Κωνστάντιος, ἐπειδὴ περ ἐπύθετο Γάλλον ἀτόπως χρῆσθαι τῆς ἀρχῆς ἐξουσίᾳ, ἀπειρημένον τε εἶναι καὶ τυραννίδι μᾶλλον ἢ βασιλείᾳ πρέπειν, τὸν μὲν ἀνεῖλε, Σιλβανὸν δὲ ἐν Γάλλοις νεωτερίσαντα τριακοστῇ καθεῖλέ τε καὶ διέφθειρεν ἡμέρᾳ, μόνος τε τῶν πάντων ἐγένετο κύριος.

14. Ἐπανόδου δὲ ἐπιθυμῶν, τὸν ἀνεψιὸν Ἰουλιανὸν, ἀδελφὸν ὄντα τοῦ Γάλλου, καίσαρα χειροτονησας ἐξέπεμψεν εἰς τὰς Γαλλίας, συν-

1. *τὸν* Π : *τὸν Κωνσταντίνου* Δ  *ἐξ ἀδελφῆς* ΙΔ : *ἐξ ἀδελφικῆς* ΜΣ : *ἐξαδελφικῆς* Α  2. *διὰ χειρὸς* Π : *διαχειρὸς* Μ  3. *διεχρήσαντο* Π : *διεχρήσαντο* Μ  *ὀγδόῃ* Π : *ὀγδόῃ* Ι  4. *προαπολόμενον* ΑΜΣ : *προαπολλύμενον* Δ  *γὰρ* ΙΣΔ : λείπει ΑΜ  9. *Μουρσῇ* ἔγραψα : *μουρσῇ* τοῦ σ διὰ τὸ πολὺ μέλαν ὁμοιάζοντος πρὸς γ Α : *μουργῇ* ΜΣ : *Μούρσῃ* ΙΔ  11. *ζημίαν* Α : *ζημίας* Μ: *βλάβην* ΙΔ : λείπει Σ  *πολὺν* Π : *πολλὴν* Α  12. *ἀλλοφύλους* ἔγραψα : *ἀλλοφύλους* Ι : *ἀλλο* τοῦ τέλους τῆς λέξεως λείποντος Π.  Ἀπὸ τῶν γραμμάτων *φύλους* τῆς λέξεως ταύτης μέχρι τῶν λέξεων *μάλιστα δὲ δικαιοσύνης* (Ἴδε κατωτέρω σ. 113, 12-13) περιλαμβάνονται ἐν μόνῳ τῷ Ι λείποντα ἀπὸ τῶν λοιπῶν  16. *Λούγδουνον* ἔγραψα : *λουγδοῦνον* Ι  17. *Σενῶνος* ἔγραψα : *σενῶνας* Ι  24. *καθεῖλέ τε* ἔγραψα : *καθεῖλε τὲ* Ι

ἀψας αὐτῷ τὴν ἀδελφὴν εἰς γάμον. Οὗτος ἀνώρθωσε τὰ πράγματα. ὀξέως ἤδη κείμενα καὶ πεπτωκότα. Τῶν τε γὰρ προσοικούντων βαρβάρων πολλαῖς ἐκράτησε μάχαις τήν τε τῶν οἰκείων πολιορκίαν μετέστησεν εἰς τὴν βαρβάρων, οὐδὲ ἀξιομάχῳ πρὸς τὰ βαρβαρικὰ πλήθη χρώμενος δυνάμει. Καὶ πολὺ πλῆθος ἀλαμανικὸν διαφθείρας, ἐπὶ πᾶσι τὸν βασιλέα τοῦ ἔθνους εἷλεν αἰχμάλωτον πρὸς Ἀργεντοράτῳ τῇ πόλει. Τοῖς Γάλλοις δὲ ἐπανήγαγε τὴν εὐδαιμονίαν συνεχῶς ἐπεξιών τε τοῖς πολεμίοις καὶ νικῶν, ὥστε αὐτοὺς ὑπὲρ τὸν Ῥῆνον συγκλεισθέντας μηκέτι κατεγχειρεῖν ἐξόδου. Ταῦτα γνοὺς Κωνστάντιος ἐκέλευσε τὴν στρατιὰν ἀναχωρῆσαι τῶν Γαλλιῶν, οὐ μετρίως φέρων τὰς περὶ Ἰουλιανοῦ φήμας.

15. Τότε τοίνυν αὔγουστος παρὰ τοῦ στρατοπέδου καὶ ἄκων ἀνερρήθη Ἰουλιανός, ἐνιαυτῷ τε ὕστερον ὅλῳ τῆς ἀναρρήσεως ἧκεν ἐπὶ Ἰλλυριοὺς ὡς προσθήσων αὐτοὺς τῇ βασιλείᾳ· Κωνστάντιον γὰρ ὁ περσικὸς κατεῖχε πόλεμος. Ἐπεὶ δὲ ἐπύθετο ταύτης τῆς Ἰουλιανοῦ ὁρμῆς ὁ Κωνστάντιος, ἐκίνησε τὴν κατ᾽ αὐτοῦ στρατιάν, σαφῶς ἐμφύλιον ἀράμενος πόλεμον. Ἀλλ᾽ ἐτελεύτησε μεταξὺ Καππαδοκῶν τε καὶ Κιλίκων ἐν Μουκρήναις τῷ χωρίῳ, τριάκοντα πρὸς τοῖς ὀκτὼ βασιλεύσας ἐνιαυτούς, γενόμενος ἔτη πέντε καὶ τεσσαράκοντα. Συνεψηφίσθη τε τοῖς θεοῖς, ἀνὴρ ἥμερός τε καὶ φιλάνθρωπος καὶ περὶ τὰς φιλίας πιστός, πλὴν ὅτι ταῖς τῶν γαμετῶν ἐδούλευε γνώμαις· καὶ τοῖς τε φίλοις καὶ τοῖς οἰκειοτάτοις πάντων μετεδίδου τῶν ἀγαθῶν, τοὺς ἀξίους τε τιμῶν οὐκ ἀπεστέρει τῶν ὀφειλομένων· ὠμότητός τε ἀπήλλακτο πάσης, τότε μόνον αὐτῇ χρώμενος, ὅτε τις αὐτὸν ὑποψία κατέσχεν ὡς ἐπιβουλευομένης αὐτῷ τῆς βασιλείας. Τὰ δὲ τῆς τύχης αὐτοῦ πρὸς τοὺς ἐμφυλίους ἢ τοὺς βαρβαρικοὺς πολέμους ἐτύγχανε δεξιώτερα.

16. Καθίσταται δὲ Ἰουλιανὸς τοῦ παντὸς κύριος, καὶ πάσῃ παρασκευῇ κατὰ Περσῶν ἐστράτευσε· πολλὰ δὲ τῶν περσικῶν ἑλὼν φρουρίων, ἐκδιδόντων αὐτὰ τῶν φυλάκων, τῆς πολιορκίας ἀναγκαζούσης, ἐκπεπορθημένης ἤδη τῆς Συρίας, τὰς παρεμβολὰς ἐστήσατο πρὸς αὐτῇ Κτησιφῶντι. Καὶ εἰ μέτρον ἐπέθηκε τῷ πολέμῳ, τάχα ἂν ἐπανῆλθε σῶος· ἀλλ᾽ ἐπανιὼν καὶ τοῖς προκατωρθωμένοις θαρρῶν, ἀφυλακτότερον ἀνεστρέφετο ταῖς μάχαις. Καὶ βληθεὶς ὑπό τινος τῶν πολεμίων,

7. *ἐπεξιών τε* ἔγραψα : *ἐπεξιών τὲ* I 8. *ὥστε* ἔγραψα : *ὥς τε* I
12-13. *ἀνερρήθη* ἔγραψα : *ἀνερρέθη* I 14. *Ἰλλυριοὺς* ἔγραψα : *Ἰλλυρίους* I
24. *τις* ἔγραψα : *τίς* I



τὸν βίον ἀπέλιπεν ἕκτῃ καὶ εἰκάδι τοῦ Ἰουλίου μηνός, τρίτῳ τῆς βασιλείας ἔτει, τῆς δὲ ἡλικίας τριακοστῷ καὶ ἑνί, ἀνὴρ ἄξιος ἀγασθῆναι καὶ μέγιστος ἐσόμενος τοῖς κοινοῖς ὄφελος, εἰ μὴ τὰ τῶν μοιρῶν ἐκράτησε. Γλῶττα μὲν γὰρ αὐτῷ πρὸς ἑκατέραν ἠκόνητο φωνήν, τήν τε βασιλεύουσαν καὶ τὴν Ἑλλάδα, ὥστε κρατεῖν μὲν αὐτὸν ἐν ἀμφοτέραις, αὐτῶν δὲ αὐτοῦ κρατεῖν θατέρᾳ, τῇ τῶν Ἑλλήνων. Ῥέων καὶ γὰρ ἐν τῷ λέγειν πολύς, ὑπερέβαινε τοῦτο τὸ θαῦμα τῇ μνήμῃ τῶν ἀρχαίων. Οὐδὲν γὰρ ἦν ὃ μὴ διὰ στόματος ἦγε τῶν ταῖς ἀκοαῖς ἅπαξ ἐμπεσόντων. Τὰ δὲ τῆς βιοτῆς αὐτῷ φιλοσοφίας ἐγγύτερα, καὶ μὴν καὶ περὶ τὰς φιλίας ἐπιμελὴς ἦν καὶ πιστότατος ἁπάντων. Πλὴν οὐ δοκιμάζων ἐξ ἀρχῆς προΐετο, οὐδὲ βασιλικῶς ἐβασάνιζε τοὺς ἐσομένους φίλους· ὅθεν ἤδη καὶ μῶμον ἐκ τῆς τινῶν ἔσχε συνουσίας. Μάλιστα δὲ δικαιοσύνης...

Τὸ ἀξιόλογον ἐκ τοῦ Ἰβηριτικοῦ κώδικος ἕρμαιον ἱκανοῦ μέρους τοῦ τέλους, συνεχίζοντος τὰ μέχρι τοῦδ᾽ ἐκ τῶν ἄλλων κωδίκων ἀτελῆ μένοντα κεφάλαια, εἶνε καὶ κατὰ τοῦτο ἄξιον προσοχῆς, ὅτι ἡ ἐν αὐτῷ παράφρασις εἶνε μακροτέρα τῆς παρὰ τῷ Παιανίῳ συνήθους, περιέχει δὲ καί τινα λείποντα ἐν τῷ πρωτοτύπῳ τοῦ Εὐτροπίου.

Ἡ δ᾽ ἐν λεπτομερείᾳ ἐν τῇ ἐμῇ ἐκδόσει παράθεσις τῶν διαφόρων γραφῶν τῶν κωδίκων δύναται εὐκόλως νὰ πείσῃ τὸν ἀναγνώστην περὶ τῆς πρὸς ἀλλήλους σχέσεως αὐτῶν. Καὶ δὴ ἀνεξάρτητοι ἀλλήλων εἶνε οἱ πάντων ἀρχαιότατοι, ὁ Ἰβηριτικὸς καὶ ὁ Λαυρεντιακός, ἐκ τούτου δ᾽ ἀπέρρευσαν ὅ τε Μονάχειος καὶ ὁ τοῦ Pithou, ὁ νῦν ἀνήκων εἰς τὸν μαρκίωνα de Rosanbo, ὅστις ἐχρησίμευσεν ὡς βάσις εἰς τὴν ἔκδοσιν τοῦ Sylburg. Ὅτι δὲ ὁ Μονάχειος εἶνε ἄμεσον ἀπότοκον τοῦ Λαυρεντιακοῦ

2. *ἄξιος ἀγασθῆναι* ἔγραψα : *ἀξιαγασθῆναι* I 13. Εἰς τὴν λέξιν *δικαιοσύνης* ἕπονται ἐν συνεχείᾳ ἀμέσως τάδε· *ἐνεχθείσης αὐτῷ κατὰ τὴν ἐπιδημίαν ἣν αὐτὸς προέγραψεν· ἔτι περιὼν τῇ τῶν Ἑλλήνων πολιτείᾳ κτλ.* Ἀλλὰ ταῦτα δὲν ἀνήκουσι προφανῶς εἰς τὸν Παιάνιον, εἶνε δὲ ἡ ἀρχὴ τῆς ἀνωνύμου συγγραφῆς περὶ τοῦ Καισαρείου γένους, περὶ ἧς ἴδε ἀνωτέρω σ. 6.

δεικνύει καταφανέστατα ὁ ἡμέτερος apparatus criticus. Ἀλλ' εἰς τὰ ἐξ αὐτοῦ ἀναμφίλεκτα τεκμήρια προστίθενται τὰ ἐκ τῆς αὐτοψίας τῶν δύο κωδίκων, ἐξ ἧς πολλάκις γραφαὶ τοῦ Μοναχείου ἐξηγοῦνται ἐκδηλότατα μόνον ἐκ τοῦ τρόπου τῆς γραφῆς ἢ διασώσεως τῶν οἰκείων λέξεων ἐν τῷ Λαυρεντιακῷ. Οὕτω χάριν παραδείγματος τὸ ἀνωτέρω ἐν σ. 74, 9 *φύλάργυρος* προῆλθεν οἱονεὶ αὐτομάτως ἐκ τοῦ *φιλάργυρος* τοῦ Λαυρεντιακοῦ, ἐν ᾧ τὸ *ι* ἔχει τὴν κάτω ἄκραν παρεκτεινομένην διὰ στροφῆς πρὸς τὰ ἄνω ἐπὶ τοσοῦτον, ὥςτ' ἐπιπόλαιος ἀναγνώστης νὰ ἐκλάβῃ αὐτὸ πράγματι ἀντὶ *υ*. Τοῦτ' αὐτὸ συμβαίνει ἐν σ. 76, 2, ὅπου ἡ λέξις *κειμένον* ἔχει ἐν τῷ Λαυρεντιακῷ τὸ *υ* οὕτω κεκλεισμένον πρὸς τὰ κάτω, ὥστε ὁ βιβλιογράφος τοῦ Μοναχείου οὐκ ἄνευ λόγου ἐξέλαβεν αὐτὸ ἀντὶ *ν* καὶ ἔγραψε *κειμένον*. Τἀνάπαλιν δὲ συμβαίνει ἐν τῷ Λαυρεντιακῷ ὡς πρὸς τὸ *ν* τῆς λέξεως *ῥιπενσίας* (σ. 96, 12) ὅπερ εἶνε τοσοῦτον ἀνοικτὸν, ὁμοιάζον αὐτόχρημα πρὸς *υ*, ὥςτ' εὐλόγως ὁ γράψας τὸν Μονάχειον ἔγραψε *ῥιπευσίας*. Ὁμοίως τὸ ἐν σ. 104, 4 παράδοξον *μετριθὼν* τοῦ τε Μοναχείου καὶ τοῦ Σ ἐξηγεῖται ἐκ τῆς μορφῆς τοῦ ἐν τῷ Λαυρεντιακῷ *μετελθών*. Τὸ ἐν σ. 106, 25 *ἐχείρημα* τοῦ Μοναχείου ἐγράφη οὕτως ἕνεκα τῆς μέχρις ἀφανείας σμικρότητος τοῦ *γ* τοῦ *ἐγχείρημα* ἐν τῷ Λαυρεντιακῷ, ἐν δὲ σ. 110, 14 τὸ *ἑστέρας* τοῦ Μοναχείου δικαιολογεῖται ἀμέσως εὐθὺς ὡς ἴδῃ τις ἐν τῷ Λαυρεντιακῷ τὰ δύο σκέλη τοῦ *π* ἕνεκα τοῦ πολλοῦ μέλανος οὕτω συνερρυηκότα, ὥςτε νἀποτελῆται πράγματι γράμμα δυνάμενον νὰ ἐκληφθῇ ἀντὶ τοῦ *τ*.

Παρατηρῶ δὲ περὶ τοῦ Μοναχείου καὶ τοῦτο, ὅτι, κατά τινα σημείωσιν ἐν τῷ κώδικι, τοῦτον ἐμελέτησαν τῷ μὲν 1868 ἐν Γώθᾳ ὁ Beck, τῷ δὲ 1872 ὁ πολὺς Mommsen.

Ἀξία δὲ μνείας εἶνε καὶ ἡ ἀνωμαλία περὶ τὴν γραφήν τινων λέξεων, οἷον *γίνεται* καὶ *γίγνεται*, *θάλασσα* καὶ *θάλαττα*, *ἐβούλοντο* καὶ *ἠβούλοντο*, *τέσσαρα* καὶ *τέτταρα*, *Ἀννίβου* καὶ *Ἀννίβα*. Τὴν ἀνωμαλίαν δὲ ταύτην ἐτήρησα, ἅτε πιθανῶς προερχομένην οὐχὶ ἐξ ἀμελείας τῶν βιβλιογράφων, ἀλλ' ἐξ ἀνεπιστασίας αὐτοῦ τοῦ μεταφραστοῦ τοῦ Παιανίου.



Ὡς πρὸς δὲ τὰ ἐκ τῆς ἐκδόσεως Λούκα ἐμὰ παρατηρήματα ὀφείλω νὰ δηλώσω, ὅτι αἱ σημειούμεναι παρ' αὐτῷ διορθώσεις προῆλθον ἄλλαι μὲν ἐξ ἀποδοχῆς ὑπ' αὐτοῦ τῶν προτάσεων τοῦ Sylburg, ἃς καὶ ἄλλοι πλὴν αὐτοῦ, ἰδίως δ' ὁ Cellarius, ἀπεδέχθησαν πρὸ τοῦ Λούκα, ἄλλαι δ' ἐκ τῆς ἤδη ὑπὸ τοῦ Sylburg διὰ τῆς χρήσεως ἀστερίσκου ἐνδειχθείσης ἀσυμφωνίας τῶν γραφῶν τοῦ προκειμένου αὐτῷ κώδικος τῆς ἑλληνικῆς μεταφράσεως πρὸς τὸ λατινικὸν πρωτότυπον.

Ἐν τέλει σημειωθήτωσαν τὰ ἑξῆς εἰς τὴν ἐμὴν ἀνωτέρω ἔκδοσιν παρεισφρήσαντα παροράματα·

Ἐν σ. 17 εἰς τὰ ὑποσελίδια σημειώματα προςτεθήτω· 7. *Ἐν τῇ ὤᾳ ἐρυθρά· + περὶ τῆς νεάνιδος Λ.*

Ἐν σ. 18 εἰς τὰ ὑποσελίδια σημειώματα στίχου 1 τῆς ἀρχῆς τοῦ Βιβλίου Β' προςτεθήτω· *Ἐν τῇ ὤᾳ ἔτη τξε* (ἐρυθρὰ) *ὀλυμπιὰς ρ̄* (κιρρὰ) *ΛΜ.*

Ἐν σ. 19· ἐν ταῖς ὑποσημειώσεσι τοῦ στ. 12 διορθωτέον *Λ* ἀντὶ *Σ* ἔνθα ἀναγράφεται τὸ ἐν τῇ ὤᾳ σημείωμα *περὶ τῆς τῶν ὑπάτων αὖθις ἀρχῆς ἀναλήψεως.*

Ἐν σ. 28 στ. 12 γραπτέον *Σκιπίωνος* ἀντὶ *Σκηπίωνος.*

Ἐν σ. 79, στ. 3 ἀντὶ *ἐπιστρεφαῖς* γράφε *ἐπιστροφαῖς*, ἐν δὲ στ. 23 ἀντὶ *δύο . . . ἰσαρίθμους* γράφε *δύο . . . ἰσαρίθμοις.*

Ἐν σ. 108 ἐν ταῖς ὑποσημειώσεσι τοῦ στ. 21 γράφε· *ἕτοιμος* ΙΣΔ : *ἕτοιμος* ΛΜ.

# ΤΑ ΠΑΤΡΙΑ ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ

Ἀπὸ μακροῦ ἤδη χρόνου ἡμέτεροί τε καὶ ἀλλογενεῖς ἔστρεψαν, ὡς γνωστόν, τὸν νοῦν εἰς τὰ τοῦ Ἁγίου ὄρους, καὶ ἐναμίλλως διέτριψαν περὶ τὴν φυσικὴν τῆς ὡραίας χερσονήσου περιγραφὴν ἢ τὴν ἀρχαιολογίαν αὐτῆς, τὴν ἱστορίαν τῆς ἐν αὐτῷ μοναχικῆς πολιτείας ἢ τὰς βιβλιοθήκας. Ἀπό τινων δὲ δεκαετηρίδων, ἀλλὰ μάλιστα ἐπ' ἐσχάτων ἤρχισε καὶ ἡ μελέτη τῶν ἀρχειακῶν ἐγγράφων τῶν διαφωτιζόντων τὰ τῆς ἐν Ἁγίῳ ὄρει ἱστορίας τῶν μονῶν μετὰ προϊούσης κριτικωτέρας ἐπιστασίας. Ἀλλ' αὐτόχρημα ἡ ἱστορικὴ κριτική, ἐπιβαλλομένη τὴν ἀνακάθαρσιν τῶν ἐπιχωριαζουσῶν ἐν ταῖς μοναῖς παραδόσεων καὶ τὴν κατὰ μικρὸν ἀποκατάστασιν τῆς ἱστορικῆς ἀληθείας, συντελεῖ ὁσημέραι μᾶλλον εἰς τὴν ἐξάλειψιν τῶν ποικίλων ἐκείνων θρύλων, δι' ὧν περισσὸς θρησκευτικὸς ζῆλος περιέβαλε τὴν κτίσιν τῶν μονῶν καὶ τὰς πρώτας αὐτῶν ἀρχάς. Λησμονοῦνται δ' οὕτω κατὰ μικρὸν ἢ ἀπορρίπτονται τὰ Πάτρια τοῦ Ἁγίου ὄρους, ἅτινα οὐ μόνον ὑπὸ λαογραφικὴν ἔποψιν εἶνε πολλάκις ἄξια σπουδῆς, ἀλλὰ καὶ δύνανται νὰ χρησιμεύσωσι πρὸς σύγκρισιν τῶν περὶ τῆς κτίσεως ἀρχαίων πόλεων θρυλουμένων, ἐνίοτε δὲ καὶ περισώζουσι λείψανα ἱστορικῶν γεγονότων παραδεδομένων ὑπὸ τὴν μορφὴν τοῦ μύθου.

Τοιαύτη τις συστηματικὴ μελέτη περὶ τῶν κτιρίων, περιωνύμων τινῶν εἰκόνων, διασήμων τινῶν μοναχῶν, ἀξίων λόγου ἐπιδρομῶν, καθ' ἃς κατεδείχθη ἡ ἔμμονος εἰς τὴν πίστιν ἀφοσίωσις τῶν μοναζόντων, ἀξιομνημονευμάτων θαυμάτων καὶ ἄλλων τινῶν τοιούτων, ἀποσκοποῦσα εἰς τὴν συλλογὴν πάσης οὐ μόνον γραπτῆς, ἀλλὰ καὶ προφορικῆς μέχρι τῆς σήμερον παραδόσεως, ἤθελεν ἀποβῆ ὑπὸ πολλὰς ἐπόψεις χρησιμωτάτη.

Εἰς τὴν τοιαύτην μελέτην οὐκ ὀλίγον ἤθελε συντελέσει ἡ διαλεύκανσις περὶ μιᾶς τῶν πολυθρυλήτων ἐν Ἁγίῳ ὄρει πηγῶν



τῆς ἀθωνικῆς ἱστορίας, τοῦ λεγομένου Τράγου. Δίδεται δὲ τοῦτο τὸ ὄνομα εἰς συλλογὴν ἱστορημάτων καὶ ἐγγράφων, ἀναφερομένων εἰς τὰ Πάτρια τοῦ Ὄρους, κληθεῖσαν οὕτω δῆθεν ἐκ τοῦ τραγείου δέρματος, ἐφ' οὗ ἦτο γεγραμμένη. Πρόκειται κατὰ ταῦτα περὶ συλλογῆς παλαιᾶς ἐπὶ περγαμηνῆς, ἧς δὲν σώζεται μὲν τὸ πλῆρες πρωτότυπον, ἀλλὰ δὲν συναπωλέσθη καὶ ἡ παράδοσις[1]. Μεταγενέστεραι γραπταὶ μαρτυρίαι, εἰς ἃς ἐσκοπεῖτο νὰ δοθῇ ὁ χαρακτὴρ αὐθεντείας καὶ κύρους, παριστάνοντο ἀπορρεύσασαι ἀπὸ τούτου τοῦ Τράγου, ἤτοι οἱονεὶ τοῦ ἐπισήμου κώδικος τῶν περὶ τοῦ Ἁγίου ὄρους ἱστορουμένων. Ἀλλὰ κατὰ μικρὸν συνέβη περὶ τὸν ἁγιορειτικὸν Τράγον ὅ τι καὶ περὶ τὸν ἠπειρωτικὸν Κουβαρᾶν. Ὡς ἐν Ἠπείρῳ τὸ ὄνομα τακτοῦ πολυμιγοῦς (miscellaneus) κώδικος, ἐν ᾧ περιελαμβάνοντο διάφορα ἠπειρωτικὰ χρονογραφήματα, κατήντησε νὰ σημαίνῃ πᾶσαν συλλογὴν ἠπειρωτικῶν ἱστορημάτων, οὐ μὴν ἀλλὰ καὶ πάντα σύμμικτον κώδικα[2], οὕτω καὶ παρὰ τοῖς Ἁγιορείταις ὁ Τράγος ἀπέβη ταὐτὸ καὶ δήλωσις καθ' ὅλου πηγῆς παραδόσεων ἀρχαίας προελεύσεως.

(1) Ἐν φ. 974α τοῦ κώδικος τῆς μονῆς Ἰβήρων ὑπ' ἀρ. 382 ἀναγινώσκομεν τάδε· «Τόμος καὶ τύπος τοῦ Ἁγίου ὄρους καὶ τοῦ Πρωτάτου», κάτω δ' ἐν τῇ ᾤᾳ· *Τοῦ λεγομένου Τράγου ἀντίτυπον, ἤτοι ἴσον αὐτοῦ ἐστὶ τὸ παρόν*. Εἶνε δὲ ὁ κῶδιξ γεγραμμένος τὸν ιε' αἰῶνα. Ἴδε **Σπυρ. Π. Λάμπρου** Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου ὄρους ἑλληνικῶν κωδίκων. Ἐν Κανταβριγίᾳ τῆς Ἀγγλίας. 1900. Τόμ. Β' σ. 118.—Ἐν σ. 214 τοῦ κώδικος 280 τῆς μονῆς Ἁγίου Παντελεήμονος, αἰῶνος ιθ', ἀναγινώσκονται τάδε· «Τυπικὸν πρῶτον τοῦ Ὄρους ἐκ τοῦ Τράγου εἰς κεφάλαια κη'» Ἔνθ' ἀν. σ. 349. —Ἐν σ. 281 τοῦ κώδικος 281 τῆς αὐτῆς μονῆς, αἰῶνος ιθ'· «Ἐκ τοῦ Τράγου (ἤτοι μεμβράνης ἐκ τράγου δέρματος κατασκευασθείσης) ὑπόμνημα περὶ τῆς τοῦ Ὄρου Ἄθω καταδρομῆς» κτλ. καὶ κατωτέρω ἐν σ. 286 τοῦ αὐτοῦ κώδικος «Ὅρος καὶ θεσμὸς τοῦ Ὄρους Ἄθω καὶ Πρωτάτου Συνοδικὸς γενόμενος ἐπὶ Μανουὴλ τοῦ Παλαιολόγου ἐν ἔτει 1394· ἐκ τοῦ Τράγου». Ἔνθ' ἀν. σ. 352.—Ἐν φ. 334β τοῦ κώδικος 299 τῆς αὐτῆς μονῆς «Ἐκ τοῦ Τράγου περὶ τοῦ κουκουλίου». Ἔνθ' ἀν. σ. 358.—Ἐν σ. 222 τοῦ κώδικος 759 τῆς αὐτῆς μονῆς «Ἐκ τοῦ Τράγου Ἴσον ἀπαράλλακτον παῖδας ἀγενείους μὴ δέχεσθαι» Ἔνθ' ἀν. σ. 428.

(2) Ἴδε τὴν ἐμὴν σημείωσιν ἐν μεταφράσει τῆς τοῦ *Θόμψωνος* Ἑλληνικῆς καὶ λατινικῆς παλαιογραφίας (Βιβλιοθήκη Μαρασλῆ. Ἐν Ἀθήναις 1903 σ. 36).

Ὡς συμβολὴν δὲ πρὸς τοιαύτην συστηματικὴν συλλογὴν τοιούτων παραδόσεων, μεθ᾽ ὧν εἶνε ἐγκαταμεμιγμένη καὶ ἱστορικὴ ὕλη, ἐκδίδομεν κατωτέρω διάφορα κείμενα ἐξ ἁγιορειτικῶν χειρογράφων. Καὶ δηλοῦμεν μὲν περὶ ἑκάστου ὁπόθεν ἐλήφθη, τὰ πλεῖστα δὲ τούτων περιλαμβάνονται ἐν τοῖς ὑπ᾽ ἀρ. 281 καὶ 282 κώδιξι τῆς ἐν αὐτῷ τῷ Ἁγίῳ ὄρει ῥωσικῆς μονῆς Ἁγίου Παντελεήμονος. Οἱ δύο οὗτοι κώδικες μετὰ τῶν ὑπ᾽ ἀρ. 280 καὶ 759 τῆς αὐτῆς μονῆς καὶ τῶν κωδίκων 382 καὶ 754 τῆς μονῆς τῶν Ἰβήρων εἶνε τῶν περιεχόντων ἐξαιρέτως πλουσίαν ὕλην ἀναφερομένην εἰς τὸ κατὰ τὸ Ἅγιον ὄρος. Οἱ δὲ δύο κώδικες τοῦ Ἁγίου Παντελεήμονος, ἐξ ὧν ἐλήφθησαν τὰ πλεῖστα τῶν κατωτέρω ἐκδιδομένων κειμένων, ὀνομάζονται ἀμφότεροι Ἀθωνιὰς, ἔχουσι δὲ τὰς ἑξῆς ἐπιγραφάς. Ὁ μὲν ὑπ᾽ ἀρ. 282 ἐπιγράφεται ὧδε· «Βίβλος σὺν θεῷ ἁγίῳ καλουμένη Ἀθωνιάς, περιέχουσα ἀπ᾽ ἀρχῆς τοῦ α´ αἰῶνος τῆς θείας Χριστοῦ ἐνσάρκου οἰκονομίας, ἄχρι τοῦ ιη´ αἰῶνος 1855. Καὶ περιγραφὴν τῶν νῦν σωζομένων εἴκοσιν εὐαγῶν ἱερῶν, καὶ τῶν ὅσων κατερημώθησαν. Καὶ καταγραφὴ τῶν ὅσων ἁγίων παλαιῶν καὶ νέων ἐν τῷ αὐτῷ Ὄρει ὁσίως διέπρεψαν. Ὅροι τε καὶ θεσμοὶ ὅσοι βασιλικοὶ καὶ πατριαρχικοὶ εἰς τοὺς ἐν Ἄθῳ ἀσκοῦντας ἐδόθησαν. Νῦν πρῶτον παρὰ μοναχοῦ Ἰακώβου Ἁγιορείτου συλεχθεῖσα, καὶ συντεθεῖσα, αἰτήσει τοῦ ἐν τῇ ἱερᾷ μονῇ Ῥωσικοῦ Ἀρχιμανδρίτου κυρίου Ἱερωνύμου καὶ τοῦ σὺν αὐτῷ ἐλλογίμου τῆς Σθλαβικῆς διαλέκτου κυρίου Ἀζαρία εἰς ὠφέλειαν τῶν φιλομαθῶν ἀναγνώστων· καὶ εἰς ἀΐδιον αὐτῶν μνημόσυνον.

Ὄρος θεοῦ κατάσκιον Παρθένε Παναγία,
τοὺς ἐν τῷ Ὄρει φύλαττε, ὡς ἡμῶν προστασία.

Ἐν ἔτει σεπτῆς Χριστοῦ θεογονίας ᾳωνε´ ἤτοι 1855 ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω ἐν Νέᾳ σκήτει μονῆς Ἁγίου Παύλου». Ὁ δὲ ὑπ᾽ ἀρ. 281 κῶδιξ φέρει τήνδε τὴν ἐπιγραφήν· «Βίβλος σὺν θεῷ ἁγίῳ Ἀθωνιὰς καλουμένη περιέχουσα τὰ ἐν τῷ Ὄρει συμβάντα, καὶ περὶ ἀρχαίων μονῶν καὶ νεοτέρων. Καὶ ὅσα χρυσόβουλλα παλαιῶν βασιλέων, καὶ σιγγίλλια πατριαρχικὰ πρὸς τοὺς ἐν αὐτῷ εὑρισκομένους πατέρας κατὰ καιροὺς ἐξεδόθησαν, καὶ ὁπόσοι ἅγιοι ἤσκησαν ἐν μοναῖς καὶ ἐρημίαις παλαιοί τε καὶ νεώτεροι. Εἰς τρία μέρη διαιρουμένη, τὸ μὲν πρῶτον προλεγόμενα περιέχων τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τοῦδε συμβεβηκότων ἐν τῷ Ὄρει. Τὸ δεύτερον βίους ἁγίων τῶν πρῶτον ἀσκησάντων ἐν τῷ Ὄρει χρυσόβουλλά τε καὶ τυπικὰ τοῦ Τράγου. Τὸ δὲ τρίτον, περιγραφὴν τῶν νῦν σωζομένων μονῶν εἴκοσι καὶ τῶν ὅσων παλαιῶν ἐν ἀρχαίοις ὑπομνήμασιν εὑρισκομένων. Νῦν πρῶτον αἰτήσει τοῦ φιλομαθοῦς ἁγίου ἀρχιμανδρίτου καθηγουμένου τῆς ἱερᾶς ῥωσσικῆς Κοινοβιακῆς μονῆς τῆς τιμωμένης ἐν τῇ ἁγία σκέπῃ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου κυρίου κυρίου Ἱερωνύμου. Σπουδῇ δὲ καὶ ὅσῃ ἐπιμελείᾳ τοῦ μαθητοῦ αὐτοῦ ὁσιωτάτου καὶ ἐλλογίμου τῆς Σθλαβικῆς διαλέκτου κυρίου Ἀζαρία, εἰς ἀΐδιον αὐτῶν μνήμην· πόνῳ δὲ ἔτι Ἰακώβου οἰκτροῦ ἱμονάχου. Ἐν ἔτει σωτηρίῳ ᾳωξεῳ = 1865 ἐν τῷ ἁγιωνύμῳ ὄρει Ἄθω κλήρῳ τῆς Θεοτόκου Μαρίας».

Εἶνε δὲ ὁ μοναχὸς Ἰάκωβος οὗτος ὁ πρὸς διάκρισιν τοῦ Προδρομίτου καλλιγράφου Ἰακώβου τοῦ νεωτέρου προσονομαζόμενος πρεσβύτερος ἢ διδάσκαλος, γνωστὸς Ἁγιορείτης βιβλιογράφος τοῦ δεκάτου ἐνάτου αἰῶνος, πλείστους γράψας κώδικας ἔτι καὶ νῦν σωζομένους ἐν ταῖς μοναῖς Ἰβήρων καὶ Ἁγίου Παντελεήμονος[1]

1 Ἴδε ***Σπυρ. Π. Λάμπρου*** ἔνθ᾽ ἀν. Τόμ. Β´ σ. 575 ἐν λ. *Ἰάκωβος Ἁγιορείτης μοναχός*.

## 1*

# Πρατήριον γράμμα

| σίγνον \| Θωμᾶ | σίγνον \| Ἀθανασίου | σίγνον \| Κυρίλλου |
|---|---|---|
| Μονα \| χοῦ | Μονα \| χοῦ | Μο \| ναχοῦ |

Ἐν ὀνόματι τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος Θωμᾶς μοναχὸς καὶ ἡγούμενος τῶν... (α) καὶ τῷ μακαριωτάτῳ Κυρίῳ Ἀντωνίῳ (β) Πέπρακα εἰς ὑμᾶς μετὰ τῶν ἐμῶν ἀδελφῶν Ἀθανασίου, καὶ Κυρίλλου, πρὸς ὑμᾶς τοὺς πνευματικοὺς ἀδελφοὺς τὸν κύριον Ὀνησιφόρον, καὶ τοὺς γνησίους αὐτοῦ ἀδελφοὺς (γ) τὸν ἀγρὸν τὸν ἐπονομαζόμενον τοῦ Ξηροκάστρου τοὺς Ἁγίους Ἀποστό-

* Τὸ ἔγγραφον τοῦτο εὑρηται ἀντιγεγραμμένον ἐκ τοῦ πρωτοτύπου ἐν σ. 233—235 τοῦ ὑπ' ἀρ. 282 κώδικος τῆς μονῆς Ἁγίου Παντελεήμονος, αἰῶνος ιϐ', στερούμενον ἐν αὐτῷ ἐπιγραφῆς. Αἵ τε ὑποσημειώσεις καὶ αἱ εἰς αὐτὰς ἐν τῷ κειμένῳ παραπομπαὶ ὑπάρχουσιν ὁμοίως ἐν τῷ κώδικι. Τὰς ἀνορθογραφίας τοῦ κώδικος δὲν ἐπηνώρθωσα, εἰκάζων, ὅτι καὶ ταύτας συμπαρέλαβεν ὁ βιβλιογράφος Ἰάκωβος ἐκ τοῦ ὑπ' ὄψιν αὐτοῦ πρωτοτύπου. Ὀλίγα δέ τινα ἡμέτερα παρατηρήματα μετὰ τὰς ὑποσημειώσεις τοῦ κώδικος ἀναφέρονται εἰς τὴν κατὰ πέντε στίχους ἡμετέραν ἀρίθμησιν τοῦ κειμένου ἐν τῇ φφ. Τὸ πρατήριον τοῦτο γράμμα ἐκδίδεται ἐνταῦθα κατ' ἀντίγραφον τοῦ νῦν καθηγητοῦ τοῦ Καποδιστριακοῦ Πανεπιστημίου κ. Ἀδ. Ἀδαμαντίου, γενόμενον τῷ 1895, ὅτε με συνώδευσεν εἰς τὸ Ἅγιον ὄρος ὡς φοιτητὴς τῆς φιλολογίας. Ἀντεβλήθη δ' ὑπ' ἐμοῦ αὐτοῦ. Μέρος δὲ τούτου εὕρηται ἐκδεδομένον παρὰ τῷ *Σμυρνάκη* (Τὸ Ἅγιον ὄρος. Ἐν Ἀθήναις 1893 σ. 36).

(α) Ἡγούμενος τῶν... δηλοῖ, γέροντας τοῦ Ἀθανασίου καὶ Κυρίλλου, καὶ ἡγούμενος τοῦ μονυδρίου τῶν Ἁγίων Ἀποστόλων.

(α) Ὁ Θωμᾶς οὗτος εὑρίσκεται ὑποσημειουμενος ἐν τῷ πρώτῳ Τυπικῷ τοῦ ὄρους Τράγου οὕτω (Θωμᾶς μοναχὸς πρεσβύτερος καὶ ἡγούμενος). Ἴσως ἔγινεν ὕστερον πρεσβύτερος.

(β) Μακαριώτατον Ἀντώνιον καλεῖ τὸν προκοιμηθέντα γειτνιάζοντα τῷ ἀγρῷ αὐτοῦ, ἵνα μήπως οἱ μαθηταί του κληρονόμοι του ὡς γείτονες ἤθελον ποτὲ διεγείρειν ταραχὰς ἢ ἀγωγὰς περὶ τῶν ὁσίων τοῦ ἀγροῦ αὐτοῦ.

(γ) Ἀδελφοὺς αὐτοῦ λέγει τοὺς μαθητὰς τοῦ Ὀνησιφόρου.

2. Μετὰ τὴν λέξιν *τῶν* κενὸν μιᾶς λέξεως 3. ὑμᾶς ἐκ τοῦ *ἡμᾶς* 18. Μετὰ τὴν λέξιν *τῶν* κενὸν μιᾶς λέξεως 19. *μονηδρίου* 23. *καλεῖ τὸ* Ἐν τῇ φφ τῆς σημειώσεως (β) τάδε· *μαθητῇ* αὐτοῦ ὄντι *πρότερον καὶ τελευτήσαντι*



λους εἰς ὑπέρπηρα ξδ'. (δ) Μετὰ τῆς ἀποσκευῆς αὐτοῦ καὶ βιβλίων ἕξ. Μηναῖα δ'., Γενεσοπαροιμίαι, καὶ ὁ Κλῖμαξ καὶ Ἱερὰ τῆς ἐξοπλήσεως αὐτῶν, ἀπῆρα δὲ ἐγὼ τὸν βορδόνην (ε). Ταῦτα πάντα παραλαβόντες ἀσφαλιζόμεθα πρὸς ὑμᾶς τοὺς εἰρημένους πνευματικοὺς ἀδελφοὺς ἡμῶν, τὸν κύριον Ὀνησιφόρον ‖ καὶ τοὺς μαθητάς σου τοῦ σ. 231
μὴ ἔχειν ἐξουσίαν ποτε καιρῷ ἢ χρόνῳ τοὺς μοναχοὺς τῶν κελλίων τοῦ Κυροῦ Ἀντωνίου κίνησιν τὴν οἱανοῦν ἢ ἀγωγὰς καὶ ταραχὰς διεγείρειν πρὸς σὲ τὸν πνευματικὸν ἡμῶν ἀδελφὸν κύριον Ὀνησιφόρον, καὶ τοὺς ἐκ μέρους σου· ἐὰν δὲ δοκιμάσῃ τίς ἐξ ἡμῶν πρὸς ἀνατροπὴν τῆς τοιαύτης πράσεως καὶ ἀσφαλείας χωρῆσαι, ἐμπρώτοις μὴ εἰςακουέτω παρὰ παντὸς κριτηρίου πολιτικοῦ καὶ ἐκκλησιαστικοῦ ἀλλὰ καὶ νὰ ἐκδιώκεται παρὰ τῶν ἁγίων γερόντων τοῦ καθ' ἡμᾶς Ἁγίου ὄρους· εἶθ' οὕτως ὅςτις ἂν εἴη ἔχειν καὶ τὴν ἀρὰν τῶν ἁγίων τιη'. πατέρων, προςεπιζημιούμενος καὶ λόγῳ πρόςτιμον λίτρας γ'...... ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἀσφάλεια ἐγράφη, ἐπὶ παρουσίᾳ τῶν εὑρεθέντων ἀδελφῶν.

Ἔστι δὲ ὁ περιορισμὸς τοῦ μοναστηρίου (α) καὶ ἡ διατήρησις οὕτως· ἀπὸ τὸν βαθὺν βυρὸν τοῦ Ξηροκάστρου καὶ ἀνατρέχει τὸν ποταμὸν, καὶ ἀκουμβίζει τοῦ Ζωγράφου ἄνωθεν καὶ κρατεῖ τὸν ραχῶνα μέχρι τοῦ δρόμου τοῦ βασιλικοῦ, καὶ ἀποδίδει εἰς τὴν ἄρκον, εἰς τὸ ἔξω βουνὸν (β) ἐν ᾧ καὶ εἰσὶ ‖ σταυροὶ εἰς τοὺς δρῦς δύο καὶ κατέρχεται τὸ σ. 235
ραχώνην, ραχώνην καὶ ἀντικρύζει τὸ λαγκάδι τοῦ ῥάχωνος καὶ ἀντιπερνᾷ τὸ λαγκάδιον τὸ ἔναντι αὐτοῦ καὶ ἀκουμβίζει εἰς τὸν ῥάχωνα, ἔνθα στέκουν καὶ ἄσπρες πέτρες, καὶ κατέρχεται εἰς τὸν ῥάχωνα καὶ ἀκουμβίζει εἰς τὸν βαθὺν βηρὸν τοῦ Ξηροκάστρου (α) καὶ ἐδόθη τοῦτο ἵνα ὅςτις ἀναβάλλη περὶ τῆς τοιαύτης μονῆς, ἵνα

(δ) Ὑπέρπυρα ἐκαλοῦντο τὰ φλωρία τοῦ τοτε χρόνου.

(ε) βορδόνην καλεῖ τὸ μουλάριον.

(α) Τὸν ἀγρὸν ὁποῦ πρῶτον ἐκάλεσεν, ὧδε Μοναστήριον καλεῖ· ὅτι τὰ κελλία τότε ἦσαν αὐτοδέσποτα· διὸ καὶ οἱ πρῶτοι αὐτῶν γέροντες ἡγούμενοι ἐκαλοῦντο ὡς εἰς τὸ α'. Τυπικὸν φαίνεται.

(β) ἄρκον· Μέρος τῆς ἄρκτου δηλοῖ ἀρκτῷον μέρος ἔνθα τὸ Ὀξὺ βουνόν· ἦτον δὲ μονύδριον οὗ ὁ ἡγούμενος Κοσμᾶς ὡς φαίνεται ὑπογραφόμενος.

(α) βηρός· καὶ βησὸς ἡ ἔμβασις τῆς ἰδοῦ εἰς τὴν μονήν· ἡ ὁποία ἦτον εἰς βαθὺν τόπον· ἤτοι ἡ ἔμβασις.

1. *ὑπέρπηρα* 14. Ἀπέναντι τοῦ ἐν τῷ ἀντιγράφῳ κενοῦ ἐν τῇ φφ· *λείπει κηρίον*. 29. *ὧδε* 33. *Μονήδριον*

ἔχῃ τὸ ἀνάθεμα· ἐπὶ παρρησίᾳ τῶν ἀποσταλέντων παρὰ τῶν πατέρων καὶ τοῦ κοινοῦ, οἳ καὶ δηλωθήσονται ἐν τῷ ἰδίῳ τόπῳ.

Γραφὲν διὰ χειρὸς Συμεὼν Μοναχοῦ καὶ Ὑποκτήτου φιλοσόφου. Μηνὶ αὐγούστῳ ιη΄. Ἰνδικτῶνος η΄. ἔτει ͵ϛυπη΄.

† Χειρὶ Θωμᾶ Μοναχοῦ καὶ Πρώτου.

† Ἠλίας μοναχὸς καὶ ἡγούμενος.

† Παῦλος μοναχὸς καὶ ἡγούμενος τοῦ Ξηροποτάμου.

† Θεοδόσιος μοναχὸς καὶ ἡγούμενος τοῦ Ξηροκάστρου.

† Νικόλαος Μοναχὸς καὶ ἡγούμενος τῆς Χουρμίτζης.

† Κοσμᾶς Μοναχὸς καὶ ἡγούμενος τῆς Ἄρκου· τὸν μὲν σταυρὸν ἰδιοχείρως του, τὸ δὲ ὕφος διὰ τοῦ γραφέως.

† Εὐθύμιος μοναχὸς, οἰκονόμος τῆς λαύρας τῶν Καρυῶν τὸν μὲν σταυρὸν ἰδιοχείρως του, τὸ δὲ ὕφος διὰ γραφέως (α).

Μετ' ὀλίγον καιρὸν ἐγράφη καὶ ἕτερον παρόμοιον τοῦ ἄνωθεν πρατηρίου καὶ ἔχει τὰς παρούσας ὑπογραφὰς προςθήκην τῶν ἄνωθεν εἰς βεβαίωσιν.

Κατὰ δὲ κγ΄. Ἰουνίου μηνὸς, παρατυχόντες οἱ ἡγούμενοι τοῦ καθ' ἡμᾶς Ἁγίου ὄρους, ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ Ἁγίου Γεωργίου τοῦ Ζωγράφου ὅ,τε τιμιώτατος κύριος Δοσίθεος καὶ μέγας οἰκονόμος τοῦ Ἁγίου ὄρους, καὶ ὁ ὁσιώτατος καθηγούμενος τοῦ Κουτλουμουσίου Κύριος Γαβριὴλ καὶ ὁ ὁσιώτατος ἡγούμενος τοῦ Μακρῆ Κύριος Ἰωαννίκιος. Καὶ ὁ ὁσιώτατος καθηγούμενος τῆς Μονῆς Νεακίτου Κύριος Γερμανός. Καὶ ὁ ὁσιώτατος ἡγούμενος τοῦ Κασταμονίτου Κύριος Ματθαῖος καὶ ὁ ὁσιώτατος Κύριος Παχώμιος καὶ κληρικὸς τῶν Καρυῶν. Καὶ ὁ ὁσιώτατος Ἐλευθέριος Μοναχὸς καθηγούμενος τοῦ Τροχαλᾶ καὶ Κοσμᾶς ὁ ἡγούμενος τοῦ Σκοποῦ Καὶ ἑτέρων οὐκ ὀλίγων ὑπεσημήναντο· ὑπέγραψε δὲ βουλγαριστὶ καὶ Μακάριος Ἱερομόναχος ἡγούμενος τοῦ Ζωγράφου.

Ἐκ τῆς χρονολογίας τοῦ παρόντος πρατηρίου γράμματος δηλοῦται,

(α) λαύρα ὧδε οὐχὶ τὴν λαύραν τοῦ Ἁγίου Ἀθανασίου· ἀλλὰ τὴν τῶν Καρυῶν· καθὼς εἰς τὸ η΄ κεφάλαιον τοῦ Τυπικοῦ τοῦ Τράγου φαίνεται, ὅτι ὁ οἰκονόμος νὰ διορίζεται κατὰ τὴν ἑορτὴν τῆς κοιμήσεως τῆς Θεοτόκου.

7. Μετὰ τὴν λέξιν *ξηροποτάμου* ἐν τῇ φφ΄ *τῆς ἐλεούσης* 8. Μετὰ τὴν λέξιν *ξηροκάστρου* ἐν τῇ φφ΄ *ἐλεούσης* 30. *ὧδε*



ὅτι ἐπὶ τῆς βασιλείας Ἰωάννου τοῦ Τζιμισκῆ ἔγινε καὶ ἐγράφη, διότι ὁ βασιλεὺς οὗτος 984 ἕως 988 ἤκμασεν· τὸ δὲ 988 ἐγράφη.

Ὁ δὲ Θωμᾶς οὗτος εὑρίσκεται ὑπογεγραμμένος εἰς τὸ πρῶτον Τυπικὸν τοῦ ὄρους οὕτως· Θωμᾶς Μοναχὸς καὶ ἡγούμενος· ὡςαύτως καὶ ὁ Ἠλίας Μοναχὸς καὶ ἡγούμενος ἐπὶ τοῦ αὐτοῦ βασιλέως Ἰωάννου Τσιμισχῆ· ὁ δὲ Παῦλος ὁ ἡγούμενος Ξηροποτάμου ὁ προφητεύσας περὶ τοῦ ὁσίου Ἀθανασίου ἐκεῖνος ἦν ὡς εἰς τὸν ἑλληνικὸν βίον του φαίνεται· τοῦ ὁποίου γράμμα ἐγκλητικὸν σώζεται εἰς τὴν μονὴν τοῦ ἁγίου Παύλου. ἐν ἔτει 1016

ὥςτε ἀρχαιότερον πρὸ χρόνων 28 ἔγινε 988

τὸ παρὸν πρὸ τοῦ ἐγκλητικοῦ τοῦ ὁσίου 0028 Παύλου.

Παῦλος δὲ ὁ πρῶτος ἦν υἱὸς Μιχαὴλ Ῥαγκαβέ· οὗτος δὲ δεύτερος χρηματίσας ἡγούμενος ὡς εἴρηται.

## 2.

## *Ἀνάμνησις μερικὴ περὶ τοῦ Ἄθω ὄρους.*

## *Τὰ λεγόμενα Πάτρια* *.

Μετὰ τὴν φρικτὴν ἀνάστασιν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἦσαν ἅπαντες οἱ Ἀπόστολοι ὁμοθυμαδὸν ἐν τῷ ὑπερῴῳ τῆς ἁγίας Σιὼν σὺν Μαριὰμ τῇ μητρὶ τοῦ Ἰησοῦ. Ἔβαλον

* Ἐξεδόθη ὑπὸ τοῦ κ. ***Μανουὴλ Γεδεὼν*** (Ὁ Ἄθως. Ἐν Κωνσταντινουπόλει, ͵αωπε΄ σ. 297 κ. ἑ.) κατὰ κώδικα τοῦ ιϛ΄ αἰῶνος ἀνήκοντα εἰς τὴν ἐν Ἁγίῳ ὄρει μονὴν Παντοκράτορος (Αὐτόθι σ. 74 σημ. 25). Εἶνε δὲ οὗτος ὁ Ἄθως ὑπ' ἀρ. 1169 ***Σπυρ. Π. Λάμπρου*** Κατάλογος Τόμ. Α΄ σ. 106. Σώζεται δὲ καὶ ἐν πλείστοις ἄλλοις κώδιξι τῶν βιβλιοθηκῶν τοῦ Ἁγίου ὄρους (Αὐτόθι Τόμ. Β΄ σ. 482). Ὁμοίως δ' εὑρίσκεται καὶ ἔν τινι κώδικι τῆς Ζακύνθου (***Νικολάου Κατραμῆ*** Φιλολογικὰ ἀνάλεκτα Ζακύνθου. σ. 186) καὶ ἀλλαχοῦ. Ἐνταῦθα δ' ἐκδίδεται ἐκ τοῦ ὑπ' ἀρ. 132 κώδικος τῆς ἐν Ἁγίῳ ὄρει μονῆς Διονυσίου φ. 380α - 388α, αἰῶνος ιϛ΄ ἕνεκεν ἱκανῶν διαφορῶν ἀπὸ τῆς παρὰ τοῦ κ. Γεδεὼν ἐκδόσεως, πρὸς ἣν παρακαλεῖται ὁ ἀναγνώστης νἀντιβάλῃ τὸ κείμενον τοῦτο, καὶ τῆς ἐν τέλει προςθήκης *Περὶ τῆς μονῆς τοῦ Ξηροποτάμου*, ἥτις ὅλως λείπει ἐν τῷ Παντοκρατορινῷ κώδικι. Ἐξεγράφη δὲ τῷ 1895 ὑπὸ τοῦ συνοδεύοντός με εἰς τὸ Ἅγιον ὄρος κ. Σωκράτους Κουγέα πλὴν τῆς ἀρχῆς, ἀντιγραφείσης ὑπὸ τοῦ κ. Βασιλείου Καραγκαδούρη. Ἀντεβλήθη δὲ τὸ ὅλον ὑπ' ἐμοῦ. Ἄξιαι παρατηρήσεως εἶνε ἐν τῇ διατυπώσει ταύτῃ αἱ ἀντὶ ῥημάτων ἀναντapόδοτοι μετοχαί, οἷον κατωτέρω σ. 124,

οὖν κλήρους πρὸς ἑαυτοὺς εἰς ἑκάστου τόπου ὄνομα ὁποῖος ποῦ ἀπελθεῖν κηρῦξαι τῶν Ἀποστόλων, αἰτήσασα καὶ ἡ μήτηρ τοῦ Ἰησοῦ κλῆρον, ὅπως μηδ' αὐτὴ εἴη ἄμοιρος. Λέγεται δέ, ὅτι ὑπὲρ αὐτῆς διεδόθησαν οἱ κλῆροι, ὁ δὲ κλῆρος ἐπ' αὐτὴν ἔπεσεν εἰς Ἰβηρίαν ἀπελθεῖν· ἡ δ' αὐτὴ ἀσμένως διεδέξατο, ὅθεν καὶ ἀπελθεῖν ἤθελεν. Ἐπέστη δὲ ὁ ἀρχάγγελος Γαβριήλ, καὶ λέγει αὐτῇ· Μὴ χωρίζου, Παρθένε, ἐκ τῆς Ἰουδαίας γῆς· ταὐτά σοι κελεύει ὁ ὑπὸ σοῦ γεννηθείς· ἡ γῆ ἥ σοι κεκλήρωται ἐν ὑστέροις καιροῖς ὑπὸ τοῦ σοῦ προσώπου φωτισθήσεται, καὶ οὐδὲ αὐτὴ ἀκόπως διαμείνῃς.

Ὁ δὲ Λάζαρος ὁ τετραήμερος ἦν ἐν τῇ νήσῳ τῇ Κύπρῳ διὰ τὸν φόβον τῶν Ἰουδαίων· ἐκεῖ καὶ ποιμὴν ἐχειροτονήθη ὑπὸ Βαρνάβα τοῦ ἀποστόλου. Ἤθελεν οὖν πολλάκις ἀπελθεῖν καὶ ἰδεῖν τὴν μητέρα τοῦ Ἰησοῦ, καὶ οὐκ ἐτόλμα ἐκ τῶν Ἰουδαίων τῶν ἐν Ἱερουσαλήμ, καὶ φ. 380β ἦν ἐν ἀδημονίᾳ πολλῇ ἐπὶ τούτῳ. Γνοῦσα δὲ ἡ ἁγία Θεοτόκος τὴν αὐτοῦ ἀπαραμύθητον ἀθυμίαν, ἔγραψε πρὸς αὐτὸν τοῦ ἀποστεῖλαι αὐτῇ πλοιάριον, ἵν' ἀπέλθῃ πρὸς αὐτὸν καὶ ἰδεῖν ἀλλήλους. Ὁ δὲ μετὰ πολλῆς περιχαρείας ἀπέστειλεν εὐτρεπίσαι αὐτό. Ἡ δὲ λαβοῦσα τὸν ἅγιον Ἰωάννην τὸν παρθένον καὶ εὐαγγελιστὴν καὶ δῶρα ἃ ἐποίησε διὰ τὸν Λάζαρον καὶ ἐπιμάνικα· ἐμβάντες οὖν εἰς τὸ πλοῖον καὶ πλεύσαντες τὴν πρὸς Κύπρον. Ἀνέμου δὲ πνεύσαντος μεγάλου ἀπήγαγε τὸ πλοῖον εἰς τὸ τοῦ Ἄθωνος ὄρος, εἰς τὸν ἀσκάλωνα τοῦ Κλήμεντος λεγόμενον· τοῦτο δὲ ἦν οἰκονομία θεϊκή, ἵνα μὴ μείνῃ μηδ' αὐτὴ χωρὶς κόπου κατὰ τὴν τοῦ Εὐαγγελίου πρόρρησιν.

Τὸ δὲ Ὄρος ἦν κατείδωλον· καὶ γὰρ ἐκεῖ ἦν τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, πάντες δὲ οἱ Ἕλληνες τῆς οἰκουμένης τὸ ὄρος τοῦ Ἄθω εἶχον ὡς μέγα τι καὶ σεβάσμιον, κἀκεῖ καὶ προσήρχοντο ἐκ πανταχόθεν, οἱ μὲν εἰς προσκύνησιν τοῦ Ἀπόλλωνος, οἱ δὲ διὰ χρησμά-

17-18, 19, 20 καὶ σ. 125, 3 *λαβοῦσα, ἐμβάντες, πλεύσαντες, γενομένης* αἱ ἀναίκειοι γενικαὶ ἀπόλυτοι, οἷον σ. 124, 20 *ἀνέμου πνεύσαντος*, σ. 125, 5 *τούτων θαυμαζόντων, πάντες συνέδραμον* καὶ αἱ μεταβολαὶ συντάξεως, οἷον ἐν σ. 124, 16 *ἵν' ἀπέλθῃ καὶ ἰδεῖν*. Σημειωτέα δὲ καὶ ἡ χρῆσις τῆς ἀρσενικῆς μετοχῆς ἀντὶ τῆς θηλυκῆς (σ. 125, 16 : *κατηχήσας*), καθ' ἃ καὶ ἀλλαχοῦ ἐν κειμένοις νεοελληνικοῖς. Τὰ τοιαῦτα, ὡς εἰκός, ἐθεώρησα πρέπον νὰ τηρήσω.

1. *τόπον* 2. *κηρύξαι* 3. *αὐτῆ* *ἄμειρος* 4. *διεδώθησαν* 5. *ἤθελε* 7. *ταῦτα* 9. *αὐτῆ* 14. *τοῦτο* 16. *ἀλλήλοις* 17. *περιχαρίας* *εὐτρεπήσας* 23. *πρόρρησιν* 26. *μέγά* *σεβάσμιον* ἔγραφα, καθ' ἃ ἐν τῷ Παντοκρατορινῷ : *ἀβάσιμον*



των. Τοίνυν καὶ ἕκαστος ἀπελάμβανε κατὰ τὴν αὐτοῦ δέησιν. Καὶ ἦν ἐκεῖσε πᾶσα μέθοδος καὶ ἐπιστήμη τοῦ διαβόλου. || Τότε τοιγαροῦν ἐκ φ. 381α πάντων τῶν εἰδωλίων κραυγὴ σὺν βοῇ μεγάλῃ γενομένη τοιάδε· «Ἄνδρες οἱ τοῦ Ἀπόλλωνος ἅπαντες, πορευθέντες εἰς τὸν τοῦ Κλήμεντος λιμένα, <καὶ> προσυπαντήσατε Μαρίαν τὴν μητέρα τοῦ μεγάλου θεοῦ Ἰησοῦ». Τούτων δὲ θαυμαζόντων, πάντες συνέδραμον εἰς τὸν ῥηθέντα λιμένα, καί, εὑρόντες τὸ πλοῖον, ἠρώτησαν περὶ τῆς μητρὸς τοῦ μεγάλου θεοῦ. Ἡ δὲ μήτηρ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐφανέρωσεν ἑαυτὴν ἀφόβως, εἰποῦσα· Ἐγώ εἰμι. Οἱ δὲ λαβόντες αὐτὴν μετὰ πάντων τῶν ἐν τῷ πλοίῳ ἐπήγαγον ἐν τῷ συναγωγίῳ τῷ ἑαυτῶν μετὰ δέους πολλοῦ <ὅτι> καὶ σεβάσματος, ἐπηρωτησάν τε αὐτὴν πῶς ἐκύησε τὸν μέγαν θεόν, εἰπόντες· Φράσον ἡμῖν περὶ τούτου. Ἡ δὲ ἀνοίξασα τὸ μακάριον στόμα αὐτῆς ἅπαντα διεξήει τὰ γενόμενα ἐπ' αὐτῇ, καὶ σημεῖα οὐκ ὀλίγα ἐνώπιον αὐτῶν ἐποίησεν. Εὐηγγελίσατο ἅπαντας, καὶ πάντες πεσόντες προσεκύνησαν τῷ θεῷ τῷ γεννηθέντι ἐξ αὐτῆς. Κατηχήσας αὐτοὺς καὶ κελεύσασα τοὺς σὺν αὐτῇ, ἐβάπτισεν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Τούτων καὶ ποιμένα ἐχειροτόνησεν Κλή- φ. 381β μεντά τινα τὸ ὄνομα. Ἐχάρη δὲ ἡ ἁγία Θεοτόκος χαρὰν μεγάλην καὶ ἠγαλλιάσατο τῷ πνεύματι ἐπὶ πάντων τῶν γενομένων καὶ εἶπε· Τοῦτο τὸ Ὄρος ἐδόθη μοι παρὰ τοῦ υἱοῦ καὶ θεοῦ μου εἰς κλῆρον ἐμόν, καὶ εὐχαριστῶ αὐτόν, ὅτι οὐκ εἴασέ με ἄμοιρον. Προσηύξατο τοίνυν ἐπὶ τοῦ τόπου καὶ κλήρου αὐτῆς, εἰποῦσα· Υἱέ μου καὶ θεέ, εὐλόγησον τὸν τόπον τοῦτον καὶ ἔκχεον τὸ ἔλεός σου ἐπ' αὐτὸν ἕως τῆς συντελείας τοῦ αἰῶνος καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐν αὐτῷ διὰ τὸ ὄνομά σου καὶ διὰ τὸ ὄνομα τὸ ἐμόν, διὰ μικροῦ κόπου καὶ ἀγῶνος ἄφες αὐτοῖς τὰ πλημμελήματα αὐτῶν καὶ ἀπάλλαξον αὐτοὺς τῆς αἰωνίου κολάσεως· ἔμπλησον αὐτοὺς παντὸς ἀγαθοῦ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον· καὶ δόξασον τὸν τόπον τοῦτον ὑπὲρ παντὸς τόπου, καὶ πλάτυνον τὰ σκηνώματα αὐτῶν ἐν αὐτῷ ἀπ' ἄκρου ἕως ἄκρου αὐτοῦ καὶ ἀπὸ βορρᾶ καὶ νότου, καὶ σῶσον αὐτὸν ἀπὸ παντὸς πειρατηρίου ἐκ τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Φωνὴ δὲ

1. *δέησιν* ἔγραφα : *δόνησιν* 2. *ἐκεῖσαι* *διαβόλου* καθ' ἃ ἐν τῷ Παντοκρατορινῷ : *διακόνου* 3. *εἰδωλείων κραυγῆ* *γενομένη* ἀντὶ ῥήματος : *γενομένη τοιάδε ἠκούετο* ἐν τῷ Παντοκρατορινῷ 7. *λημένα* 9. *εἰμί* 11. *τῶν* 11-12. *ἐπερρώτησάν* 14. *σημεία* 18. *ἐχειροτόνησαν* 21. *ἐδώθη* *κλήρον* 31. *βορρᾶν*

οὐρανόθεν ἀπεκρίθη αὐτῇ· Ἔστω οὕτως ὡς προσηύξω, ἐάν περ καὶ φ. 382α |αὐτοὶ τὸν σωτήριον νόμον φυλάξωσιν.

Εὐχαριστήσασα οὖν τῷ θεῷ ἐπὶ πάντων καὶ εὐλόγησε τὸν τόπον καὶ τὸν λαὸν, εἰσελθοῦσα εἰς τὸ πλοῖον. Καὶ πρὸς τὴν Κύπρον παραπλεῦσαι ὥρμησαν. Ὁ δὲ Λάζαρος ἐν ἀγωνίᾳ ἦν καὶ ἀδημονίᾳ πολλῇ περί τε τῆς ἁγίας Μαρίας καὶ περὶ τοῦ πλοίου καὶ τῶν ἐν αὐτῷ ἀνθρώπων, νομίζοντος αὐτοῦ, ὅτι ἐναυάγησαν, καὶ ἀπαρακλήτως ἐθρήνει τὴν συμφοράν. Καὶ τὸ μὲν πλοῖον προσήγγισε τῇ Κύπρῳ καὶ τῇ χέρσῳ. Ἀνέβησαν εὐθὺς καὶ ἀπῆλθον πρὸς τὸν Λάζαρον. Ὁ δὲ Λάζαρος ἀθρόως ἰδὼν αὐτοὺς ἐξέστη. Ἡ δὲ μήτηρ τοῦ Κυρίου τὴν λύπην αὐτοῦ εἰς χαρὰν μετέβαλε, δοῦσα <δὲ> αὐτῷ δῶρα ὠμοφόριον καὶ ἐπιμάνικα, ἃ ἐκ τῆς Ἱερουσαλὴμ ἐκόμισε, καθώς περ ἀπ' ἀρχῆς προέφημεν, καὶ πάντα ἐδηλοποίησεν αὐτῷ τὰ ἐν τῷ Ἄθῳ γενόμενα. Ἐχάρησάν τε ὡς θέμις ἀλλήλοις, καὶ τὸν θεὸν δοξάσαντες ἀνεχώρησαν. Ἀπέστειλεν αὐτὴν πάλιν μετὰ τοῦ πλοίου εἰς τὸ πέραν, καθὼς ἡ τοῦ δικαίου Λαζάρου ἱστορία δηλοῖ.

Περὶ τοῦ Ἄθω ὄρους γράφει καὶ ὁ ἅγιος Ἰωάννης ὁ εὐαγγελιστὴς εἰς τὴν Ἀποκάλυψιν αὐτοῦ οὕτως· Καὶ ἐδόθησαν τῇ γυναικὶ δύο πτέφ. 382β ρυγες τοῦ ἀετοῦ || [τοῦ] μεγάλου, ἵνα πέτηται εἰς τὴν ἔρημον εἰς τὸν τόπον αὐτῆς, ὅπως τρέφηται ἐκεῖ καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ ἀπὸ προσώπου τοῦ ὄφεως. ***Ἑρμηνεία.*** Ἐδόθησαν τῇ ἐκκλησίᾳ δύο γραφαὶ θεοῦ τοῦ τρισυποστάτου, ἵνα ὑμνῆται ὀρθῶς εἰς ἐκείνην τὴν ἔρημον, ὅπου καὶ εὑροῦσα ἄνεσιν ἀπὸ τῶν αἱρετικῶν, καὶ κρατήσει ἐκεῖσε καλῶς, ἤγουν τὰ ἀρχαῖα καὶ τὰ μέσα καὶ τὰ ἐς ὕστερον ἀπὸ τῶν ζιζανίων τῶν ἐχθρῶν· πολλοί τινες τῶν ἁγίων εἰρήκασιν, ὅτι ταῦτα ἐν τῇ ἐρήμῳ τοῦ Ἄθω φυλαχθήσονται τὰ παρὰ τοῦ Ἰωάννου λεχθέντα, καὶ οὕτως ἔχει τὸ ἀληθές. Καὶ ταῦτα μὲν περὶ τούτων.

## *Περὶ τοῦ ἔθνους τῶν Ἰβήρων πῶς ἐπίστευσαν.*

Ἐν δὲ ταῖς ἡμέραις τοῦ μεγάλου Κωνσταντίνου γυνή τις εὐλαβὴς καὶ ἄκρως ἐν ἀσκήσει καὶ ἐν ὀρθοδόξῳ πίστει διαλάμψασα ἀπηνέχθη αἰχμάλωτος εἰς Ἰβηρίαν, καὶ ὑπ' αὐτῆς ἦλθον εἰς θεογνωσίαν οἱ Ἴβη-

11. *μετέβαλλε* 13. *ἐδηλωποίησεν* 16. *δηλῇ* 18. *ἐδώθησαν* 19. τοῦ προσέθηκα, καθ' ἃ ἐν τῷ Παντοκρατορινῷ 20. *τρέφεται* 21. Ἑρμηγ. ἐν τῇ ῷα *ἐδώθησαν* 22. *ὑμνεῖται* 24. *ἐσύστερον*



ρες κατὰ τὴν τοῦ θεοῦ οἰκονομίαν καὶ κατὰ τὴν τοῦ ἀρχαγγέλου πρὸς τὴν Παρθένον πρόρρησιν, ὅτι τὴν γῆν, ἣν ἂν σοι ὁ κλῆρος κεκλήρωται, ὕστερον ὑπὸ τοῦ σοῦ προσώπου φωτισθήσεται, ὃ καὶ γέγονεν ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου.

## *Περὶ τῆς μονῆς τῶν Ἰβήρων καὶ τοῦ Πρωτάτου καὶ τοῦ Βατοπεδίου.*

Ὁ δὲ μέγας Κωνσταντῖνος ἐν τῷ τοῦ Ἄθω ὄρους ἀνήγειρε || τρεῖς φ. 383α ναοὺς μεγίστους ἐπ' ὀνόματι τῆς Κοιμήσεως τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, ἕνα μὲν ἐν τῷ τοῦ Κλήμεντος λιμένι, δεύτερον δὲ ἐν τῷ Συνακτικῷ, τρίτον ὅπου καὶ εἰσῆλθεν ἡ ἁγία Θεοτόκος ἐν τῷ πλοίῳ, καὶ μοναχοὺς ἐγκατοικίσας ἐν αὐταῖς Περιβόλιον τῆς Θεοτόκου ἐπωνόμασε καὶ τὸ Ὄρος προστάξας πανταχόθεν λέγεσθαι ἅγιον καὶ τὴν πόλιν τοῦ Ἀπόλλωνος μετωνόμασεν Ἱερισσὸν καὶ πάντα θεαρέστως ἐν βίῳ καὶ λόγῳ ἐποίησε. Μετὰ δὲ τὴν ἀποβίωσιν αὐτοῦ παρέλαβε τὴν βασιλείαν αὐτοῦ Ἰουλιανὸς ὁ παραβάτης, καὶ οὐ πολὺ τὸ ἐν μέσῳ ἀνέστη μετὰ μεγάλου θυμοῦ κατὰ τῶν Χριστιανῶν, καὶ [τὰ] παρὰ τοῦ μεγάλου ἐν βασιλεῦσι καὶ ἰσαποστόλου ἁγίου Κωνσταντίνου δομηθέντα εὐκτήρια ἐν τῷ Ἄθῳ ὄρει ἐκ βάθρων ἐξαφίασεν ὁ ἀλιτήριος θήρ.

## *Περὶ τοῦ Βατοπεδίου.*

Μετὰ δὲ παραδρομὴν χρόνων τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου ἀπέστειλε Βάτος ὁ ἀδελφὸς αὐτοῦ ἐκ Ῥώμης τὸν υἱὸν αὐτοῦ μετὰ μεγάλου πλοίου καὶ δορυφορίας ὅ τι πολλῆς εἰς τὴν βασιλεύουσαν τῶν πόλεων θεάσασθαι τὸν θεῖον αὐτοῦ καὶ βασιλέα || καὶ φ. 383β γενέσθαι γνώριμος αὐτῷ. Γενομένου δὲ τοῦ πλοίου ἐν τῷ Αἰγαίῳ πελάγει καὶ ἀνέμου βιαίου ἐκπνεύσαντος συνεπόδισε τὸν αἰθέρα καὶ τὸν παῖδα ἐρρίπισεν ἐν τῷ πελάγει. Τὸ δὲ παιδίον ἐβόησε μόνον τὸ Παν-

6 (καὶ κατωτέρω). *βατοπαιδίου* 10. *Συνακτικῷ* : *Συντακτικῷ* ἐν τῷ Παντοκρατορινῷ 11. *ἐγκατοικήσας* 12. *ἐπονόμασε* *προστάξαι*. 13. *μετονόμασεν ερρησόν* 14. *ἐποίησεν* 16. τὰ προσέθηκα ὡς ἐν τῷ Παντοκρατορινῷ 18-19. *ἀμιτήριος* 25. *αἰγέω* 27. *ἐρρίπησεν*

αγία Θεοτόκε, βοήθει. Εὐθὺς εὑρέθη ἐν τῇ χέρσῳ ἐν τῷ Ἄθῳ ὄρει, καὶ φωνὴν ἀκούει τοιάδε ἄνωθεν λέγουσαν· Ἀνακαίνισον τὸν ναὸν ὅς ἐστι τῆς ἐκλυτρωσάσης σε ἐκ τοῦ πικροῦ θανάτου. Λέγεται, ὅτι αὐτὸς ἦν ὁ τρίτος ναὸς ὃν ὁ μέγας Κωνσταντῖνος ἀνήγειρε καὶ ὁ παραβάτης Ἰουλιανὸς ἐδαφίασε. Τὸ δὲ πλοῖον διεσώθη μετὰ πάντων εἰς τὸ Βυζάντιον, καὶ τῷ βασιλεῖ ἐνεφάνησαν τοίνυν καὶ τὰς γραφὰς τοῦ ἀδελφοῦ αὐτοῦ δέδωκαν, ἀναγγείλαντες καὶ τὰ τοῦ παιδίου συμβάντα. Ὁ δὲ βασιλεύς, ὡς τὰ τοῦ παιδὸς ἤκουσε, περίλυπος γενόμενος, ὁμοίως καὶ πᾶσα ἡ σύγκλητος, εὐθὺς κελεύσας ὁ βασιλεὺς περιορίσας τούτους ὡς αἰτίους τῆς τοῦ παιδὸς ἀπωλείας καὶ τῇ φρουρᾷ παραδοῦναι. Ὁ δὲ παῖς, ὁδηγηθεὶς παρά τινος τῶν ἐν τῷ τόπῳ μοναχῶν ἕως εἰς Κωνσταντίνου ἀπήγαγε, καὶ ὤφθη τῷ βασιλεῖ καὶ τὰ
φ. 384α περὶ ἑαυτοῦ ‖ πάντα διεσάφησε καὶ τοὺς ἀθώους ἠλευθέρωσε. Γράψας τοίνυν ὁ βασιλεὺς τῷ ἀδελφῷ αὐτοῦ εἰς τὴν Ῥώμην πάντα τὰ συμβεβηκότα τῷ υἱῷ αὐτοῦ καὶ τὰ περὶ τὴν δόμησιν τοῦ ναοῦ. Ὁ δὲ ἀδελφὸς αὐτοῦ ἦν κομίσας λίθους καὶ κίονας καὶ μουσεῖον πολυποικίλων χρωμάτων οἰκοδομῆσαι ναὸν τοῦ Ἁγίου ἀποστόλου τοῦ Ἰακώβου τοῦ ἀδελφοθέου εἰς τιμὴν τοῦ ἁγίου καὶ εἰς μνημόσυνον ἑαυτοῦ. Καὶ ὡς ἀνέγνω τὴν γραφὴν τοῦ ἀδελφοῦ καὶ βασιλέως, εὐθὺς βαλὼν αὐτὰ εἰς πλοῖον καὶ τέσσαρας κίονας γερανίους, οὓς ἐκ τοῦ κοιτῶνος αὐτοῦ ἐξέβαλε, κἀκεῖσε ταχὺ ἀπέστειλεν οἰκοδομῆσαι ναὸν τῇ Θεομήτορι. Ἄρξαντες δὲ ἀνακαθαίρειν τὸν τόπον, εὐθέως εὑρίσκουσι φρέαρ βαθύ. Ἐξαντλήσαντες δὲ αὐτὸ καὶ εὑρόντες ἐν τῷ πυθμένι πίνακα φερομένην μόρφωσιν τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, φέρουσαν ἐν ἀγκάλαις τὸ προαιώνιον βρέφος, ὡς ἐν ὀλίγῳ ἀνιστορισμένην [καὶ] διαλάμπουσαν καὶ παντὶ ἄθραυστον διαμένουσαν,
φ. 384β καὶ κηρὸς μέγιστος ἀποκαφάδιος. Ἐπὶ τούτου ‖ τοῦ θαύματος χαρὰ μεγάλη γέγονεν, ὥστε τοὺς πάντας τῇ θέᾳ ἐκπλαγῆναι. Ἐπὶ τοῦ φρέατος οὖν ἄνωθεν ἀνεστήλωσαν τὴν ἁγίαν τράπεζαν καὶ τὸ θυσιαστήριον. Δομήσαντες δὲ τὸν ναὸν ἐπὶ τοὺς τέσσαρας κίονας, οὓς προέφημεν, καὶ μουσεῖον ἀνιστόρησαν πανευπρεπὲς τῷ τοίχῳ σὺν τῷ ἐδάφει, καὶ τὴν ὀροφὴν χαλκῆν κεχρυσωμένην κατεστέγασαν, τὴν δὲ μάνδραν τείχεσιν ὑψηλοῖς ἐδυνάμωσαν, καὶ ἐντὸς κελλίων ὅλην ἀνεπλήρωσαν, ἃ ὡς θέμις ηὐτρέπισαν καὶ Βατοπαίδιον ἐπωνόμασαν, τουτέστι τοῦ Βάτου παιδὶ <ἐδομήσατο>, ἥ ἐστι κτιτορικῶς ἡ ἐπωνυμία μέχρι τὴν σήμερον.

2. *λέγουσα* 5. *ἐδαφίασεν* 6. *ἀνεφάνησαν* 7. *ἀνηγγείλαντες* 10. *ἀπολείας* 16. *μουσίον πολυποικύλων* 21. *ἀπέστειλε* 23. *αὐτῷ πυθμένει φερομένη* 25. *φέρουσα* 26. *ἀνιστοριομένη καὶ προςέθηκα ὡς ἐν τῷ Παντοκρατορινῷ διαμένουσα* 31. *μουσῖον ἀνιστόρισαν πανευπρεπεῖ*



## *Περὶ τῆς μονῆς τῶν Ἰβήρων.*

Περὶ δὲ τῆς ἁγίας εἰκόνος τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς οὔσης ἐν τῇ μονῇ τοῦ Κλήμεντος ἐκπλήττεται πᾶσα ἀκοὴ καὶ ἔννοια τῆς ἑαυτῆς παρουσίας τὸ μέγεθος. Πλησίον γὰρ ὤφθη πρὸς τὸ τοῦ Ἄθωνος ὄρος ἐν τῷ Αἰγαίῳ πελάγει καὶ ἀκτῖνας ἡλίου ἐκπέμπουσα, ὥστε τοὺς πάντας ἐκπλήττεσθαι τῇ θέᾳ. Ἐμβάντες δὲ ἐν ‖ πλοίοις πάντες οἱ ἐνασκούμενοι ἐν τῷ φ. 385
Ἄθῳ ὄρει ὀνομαστοὶ καὶ πρὸς τὴν ἁγίαν εἰκόνα ᾤχοντο. Ἡ δὲ εἰκὼν τούτους ἔφευγεν ἔνθεν κἀκεῖθεν ὥστε ἐκ τῆς εἰκόνος πρὸς τοὺς μοναχοὺς φωνῆς τοιάδε εἰπούσης, ὅτι, Εἰ μὴ Γαβριὴλ ὁ Ἴβηρ ἔλθοι ὁ ἐκ τοῦ Μικροῦ Ἄθωνος, οὐκ ἐξέρχομαι τῆς χέρσου. Πάντες δὲ οἱ μοναχοὶ τοῦ Ὄρους ἀπῆλθον πρὸς τὸν Γαβριὴλ τὸν Ἴβηρα ἐν τῷ Μικρῷ Ἄθωνι, [καὶ] ἠντιβόλουν αὐτὸν ἀπελθεῖν. Ὁ δ᾽ αὐτὸς ἀνάξιον ἑαυτὸν ἔλεγεν τοιούτου τολμήματος, καὶ διὰ τὴν πολλὴν ἀντιβολὴν τῶν πατέρων ἐπορεύθη εἰς τὸν αἰγιαλὸν καὶ προςηύξατο πατήσας ἐπὶ τὰ ὕδατα. Ἡ δὲ θεία εἰκὼν τῆς παναχράντου Θεοτόκου ἤλασεν ἐπὶ ταῖς ἀγκάλαις τοῦ γέροντος· καὶ ἐξελθὼν μετ᾽ αὐτοῦ ἐν τῇ χέρσῳ <καὶ> πάντες προςεκύνησαν τῇ εἰκόνι, ἀπήνεγκαν ἐν τῇ μονῇ τοῦ Κλήμεντος, καὶ ἐν τῷ ναῷ ἀπέθεντο, εὐχαριστήσαντες τῷ θεῷ ἐπὶ τοῦ τοιούτου παραδόξου θαύματος. Τὸ πρωῒ δὲ εὑρέθη ἔξω τῆς μονῆς. Αὖθις ἐν τῷ ναῷ εἰςίασαν, καὶ πάλιν ἐφυγάδευσεν, ἕως οὗ ἀπεκαλύφθη ‖ τῷ μοναχῷ Γαβριηλίῳ τῷ Ἴβηρι, ὅτι, εἰ μὴ ἕτερον ναὸν ἐν τῇ φ. 385
πόρτῃ δομήσωσιν, οὐ προςμένω ἐντός. Καὶ ταχὺ ἀνήγειραν ἐν τῇ πόρτῃ ναὸν περικαλλῆ, καὶ ἐν αὐτῷ τὴν ἁγίαν εἰκόνα κατέθεντο, ὡς αὐτὴ

1. *ὀροφὴν χαλκὴν* 4. *κτητορικῶς* 7. *τῆς οὔσης* ἔγραψα ὡς ἐν τῷ Παντοκρατορινῷ: *τὴν οὖσαν* 9. *αἰγέῳ* 10. *ἀκτίνας* 14. *τοιᾶδε* 15. *χέρσῳ* 17. *καὶ* προςέθηκα ὡς ἐν τῷ Παντοκρατορινῷ 19. *προςηῦξαι* 24. *τῷ* 25. *ἐφυγάδευσε* 27. *δομήσωσι* 28. *περικαλῆ*

προσέταξε, καὶ Πορτιάτισσαν ἐπονομάσαντες, ἐπεὶ καθ' ἑκάστην ὁσημέραι σημεῖα καὶ τέρατα ποιεῖ πολλά, ὡς ἡ κατ' αὐτὴν ἱστορία δηλοῖ.

## *Περὶ τοῦ Ζωγράφου.*

Ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ σοφοῦ τρεῖς ἀδελφοὶ γνήσιοι, οὓς ἤνεγκε μὲν ἡ μεγαλόπολις Λυχνιδῶν, ἐπὶ ἑνὸς σκοποῦ καὶ ὁμογνωμονήσαντες γεγόνασι μοναχοί. Ἀφήκασι τοίνυν πλοῦτον καὶ τὴν ἄλλην φαντασίαν τοῦ κόσμου, μετανάσται γενόμενοι ἐν τῷ Ἄθῳ ὄρει εὐαγγελικῶς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Καὶ ποιήσαντες ἑαυτοῖς τρεῖς σκηνὰς κατῴκησαν, ὑπὸ μικροῦ διαστήματος ἀλλήλοις διαχωριζόμενοι. Μόνον ἡ Κυριακὴ προσεκάλει κατὰ τὸ εἰωθὸς αὐτῶν, ὥστε καὶ πανταχοῦ τῆς ἀρετῆς ἡ φήμη αὐτῶν ἐξῆλθε, καὶ πολλοὶ προσεκολλήθησαν αὐτοῖς, οἳ καὶ νεύσει θεϊκῇ δομῆσαι μοναστήριον προὐξένησαν.
φ. 386α Εὑρόντες τοιγαροῦν τόπον δι' ἀποκαλύψεως || θεοῦ ᾠκοδόμησαν. Ἠθέλησαν τοίνυν καὶ τὸν ναὸν ἐπονομάσαι, τῶν μὲν λεγόντων τοῦ Ἁγίου Νικολάου, τῶν δὲ τοῦ Ἁγίου Κλήμεντος τοῦ ἐν τῇ Ἀχρίδι· διὰ δὲ τὸ ἀσύμφωνον ἔκειτο ἡ εἰκὼν ἐν τῷ τόπῳ ἀνιστόριστος. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν πρωῒ ὤφθη ἱστορισμένη, φέρουσα τὸν μεγαλομάρτυρα Γεώργιον. Καὶ ἐξεθαμβήθησαν ἐπὶ τοῦ τοιούτου παραδόξου θαύματος, καὶ ἐδόξασαν τὸν θεόν. Ἐπωνόμασαν δὲ τὸν ναὸν ἐπὶ τῷ τοῦ ἁγίου ὀνόματι, τοῦ μεγαλομάρτυρος Γεωργίου.

Περὶ δὲ τῆς εἰκόνος τοῦ ἁγίου οὕτως εἶχε.

Κώμη τις πλησίον πόλεως Λύδδης, Φανουὴλ καλουμένη, ναὸν εἶχε τοῦ μεγαλομάρτυρος Γεωργίου σὺν οὐκ ὀλίγοις μοναχοῖς, καὶ ἦν ἐκεῖσε θαυματουργῶν ὁ ἅγιος Γεώργιος ἐξαίσια· ὅσοι δὲ ἐν ποικίλαις νόσοις καὶ ἀνιάτοις πάθεσι κατασχεμένοι προσέτρεχον ἐν τῷ ναῷ καὶ πάντες τὴν ἴασιν ἀντλούμενοι εἰς τὰ ἴδια χαίροντες ἀπήρχοντο, εὐχαριστοῦντες τῷ θεῷ καὶ τῷ μεγαλομάρτυρι Γεωργίῳ.

φ. 386β Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἄφαντος || ἡ ἱστορία ἐκ τῆς εἰκόνος γενο-

1. *πορτιάτησαν* 1-2. *ὡσημέραι* 2. *κατ' αὐτὴν* ὡς ἐν τῷ Παντοκρατορινῷ : *καὐτῆς* 7. *ἑαυτοῖς* ὡς ἐν τῷ Παντοκρατορινῷ : *ἑαυτοὺς* 9. *εἰωθὼς* 10. *ἐξῆλθεν* *προσεκωλλήθησαν* 11. *θεϊκὴ* *δωμῆσαι* *προυξένισαν* 13. *ἐπωνομάσαι* 15. *ἀσύμφωνον* *ἀνιστόρητος* 18. *ἐπονόμασαν* 21. *λύδῆς* 23-24. *ποικίλοις*



μένη, μόνον δὲ ἡ εἰκὼν γυμνὴ καὶ κενὴ ἐν τῷ τόπῳ ἵστατο. Τοῦτο μὲν πάντας ἐξέπληξε καὶ εἰς λύπην ἐνέβαλε τὸ τοιοῦτον θέαμα, ὁ δὲ ἅγιος ἐφάνη τῇ νυκτὶ κατ' ὄναρ τῷ ποιμένι, καὶ φησί· «Τί περίλυπος εἶ περὶ ἐμοῦ, ὦ ποιμήν; Κἀγὼ μονὴν εὗρον ἐν τῷ Ἄθῳ ὄρει, ὅ ἐστιν εἰς κλῆρον τῆς ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Εἰ γὰρ καὶ θέλεις ῥυσθῆναι ἐκ τῆς ἐπερχομένης ἀνάγκης, δεῦρο καὶ αὐτὸς ἐκεῖ μετὰ τῶν σὺν σοὶ ἀδελφῶν, κἀκεῖ με εὕρητε. Παρέδωκε γὰρ ὁ θεὸς τὴν Παλαιστίνην πᾶσαν καὶ τὴν οἰκουμένην τοῖς Σαρακηνοῖς διὰ τὸ πλῆθος τῶν ἀνομιῶν τοῦ λαοῦ». Ἔξυπνος δὲ γενόμενος ὁ ποιμήν, καὶ πιστεύσας τὸ ὁραθέν, συναθροίσας τοὺς μοναχούς, ἀπήγγειλε τὰ παρὰ τοῦ ἁγίου φθεγγόμενα· εἶτα, προσκαλεσάμενος τοὺς ἐγκρίτους τῆς κώμης καὶ τῆς πόλεως, εἶπε πρὸς αὐτούς· «Παρακατέχετε τὴν μονὴν καὶ φυλάξατε, ἡμεῖς δὲ παρερχόμεθα εἰς || τόπους Ἁγί- φ. 387α
ους προσκυνῆσαι, καὶ τὸ τοῦ θεοῦ θέλημα γενέσθω ἐφ' ἡμᾶς καὶ εἰς ὑμᾶς». Καὶ τὸ μυστήριον καὶ τὸ ὅραμα ἀπέκρυψεν ἐξ αὐτῶν. Εὐθὺς δὲ πρὸς δυσμὰς ἡλίου ἕως πρωῒ ποιήσαντες μετὰ δακρύων καὶ ὀδυρμῶν, κατέβρεχον τὰς παρειὰς διά τε τὸν χωρισμὸν τῆς μονῆς καὶ τῶν οἰκείων. Ἱκανῶν οὖν ἡμερῶν ὁδεύσαντες, ἕως οὗ καὶ φθάσαντες ἐν τῷ Ἁγίῳ ὄρει τοῦ Ἄθωνος καὶ τὴν μονὴν εὑρόντες, εἰσῆλθον ἐν τῷ ναῷ, εὐθὺς ἰδόντες τὴν εἰκόνα, καὶ ἐπέγνωσαν τὸν ἅγιον ἄτρεπτον καὶ ἀναλλοίωτον, καθὼς ἦν ἐν τῇ κώμῃ Φανουὴλ τὸ πρότερον. Καὶ πεσόντες ἔμπροσθεν τῆς ἁγίας εἰκόνος καὶ τῷ ἐδάφει, τοῖς δάκρυσι κατέβρεχον λέγοντες «Τί τοσαύτην λύπην περιέβαλες ἡμᾶς μεταναστεύσας σὺν ἡμῖν ἐνθάδε, ὦ μεγαλομάρτυς Γεώργιε;» Οἱ δὲ μοναχοὶ τῆς μονῆς μόλις κατέπαυσαν αὐτῶν τὰ δάκρυα, ἐπηρώτων τε αὐτοὺς «Τί ἐστιν ὁ τοσοῦτος κοπετός, ἀδελφοί, παρ' ὑμῶν; Φράσατε ἡμῖν». Οἱ δὲ διεξήεσάν τε τὰ περὶ ἑαυτῶν καὶ τὰ || τοῦ ἁγίου, καὶ οὗτοι κἀκείνοις τὰ ὅμοια λέξαντες τὰ φ. 387β
ἐν ὧδε γινόμενα. Ἀμφότεροι δὲ δοξάσαντες τὰ μεγαλεῖα τοῦ θεοῦ καὶ τὸν ἅγιον μεγαλομάρτυρα Γεώργιον. Τὸν δὲ ποιμένα τὸν ἐν Φανουὴλ καὶ ὧδε ποιήσαντες ποιμένα ἐν τῇ μονῇ· καὶ ἦν ὁ Εὐστράτιος· οὕτω γὰρ ἐκαλεῖτο, ποιμαίνων ἐν Χριστῷ τὸ ἑαυτοῦ ποίμνιον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ.

3. *εἶ* ὡς ἐν τῷ Παντοκρατορινῷ : *εἴης* 4. *κἠγὼ* *εὕρων* *ὦ* 6. *θέλης* 8. *παλαιστίνην* 8-9. *σαρακινοῖς* 11-12. *τῶν ἐγκρίτων* 12. *εἰπόντες* 15. *ἀπέκρυψαν* 16. *δάκρυον* 23. *μεταναστεῦσαι* 26. *φράσετε* 31. *ποιμένων*

## Περὶ τῆς μονῆς τοῦ Ξηροποτάμου.

Ἐπὶ τῆς βασιλείας Ῥωμανοῦ ἐκτίσθη καὶ ἡ τοῦ Ξηροποτάμου μονὴ μετὰ βασιλικῶν ἀναλωμάτων. Μετὰ γὰρ τὴν συμπλήρωσιν τοῦ ἔργου προσκαλεσάμενοι τὸν ἱερέα τοῦ ἱερῶσαι τὸν ναόν· ὃς καὶ προσελθὼν κατὰ τὴν τάξιν ἤρξατο καθιερῶσαι. Μετὰ δὲ τὴν ἐπίκλησιν τοῦ ναοῦ ἐπὶ τῷ ὀνόματι τῶν ἁγίων Τεσσαράκοντα μεγάλων μαρτύρων τῶν ἐν Σεβαστείᾳ, [ἣ] παρὰ τοῦ ἀρχιερέως ἐξεφωνήθη, ὢ τοῦ θαύματος, ἔφυ ὑπὸ χαμαὶ τῷ ἐδάφει τῆς ἁγίας τραπέζης μανιτάριον, καὶ ὑψωθὲν ἐφ' ὕψη κατεσκίασεν ὅλον τὸ θυσιαστήριον, περιέχον τεσσαράκοντα μῆλα ἐπὶ τοῖς ὄρπηξιν αὐτοῦ εἰς εἶδος μανιταρίων. Τοῦτο δὲ ἦν εἰς δόξαν
σ. 38α καὶ τιμὴν τῶν ἁγίων Τεσσαράκοντα μαρτύρων, ὥστε τοὺς πάντας ἐκπλαγῆναι τῇ θέᾳ καὶ δοξάσαι τὰ μεγαλεῖα τοῦ θεοῦ ἐπὶ τοῦ τοιούτου γενομένου παραδόξου θαύματος.

Πολλὰ καὶ ἄλλα σημεῖα καὶ τέρατα ἔδειξεν ὁ θεὸς ἐφ' ὅλῳ τῷ Ἁγίῳ ὄρει καὶ πρῶτον καὶ ἐν ὑστέροις εἰς δόξαν τῶν ἁγίων αὐτοῦ καὶ εἰς τιμὴν τοῦ ἁγίου τόπου καὶ τῶν κατοικούντων ἐν αὐτῷ ἐν ἁγιωσύνῃ, ὅτι αὐτῷ πρέπει δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## 3.

## Περὶ τοῦ ὄρους Ἄθω

εἰς ποίαν διαγωγὴν καὶ κατάστασιν κατὰ τὸ 5538 ἔτος ἤτοι κατὰ τὸν πρῶτον αἰῶνα, μετὰ τὰ λγ'. 33 τῆς ἐνσάρκου οἰκονομίας τοῦ σωτῆρος Χριστοῦ ἄχρι τοῦ τιϛ'. 316'—313 *.

«Ἀφ' ἡμερῶν πλειόνων ἐτῶν ἑτοίμασά σε, καὶ ἐπ' ἐσχάτων ἐτῶν δοξάσω σε».

* Ἐκδίδεται ἐκ τῶν σελ. 72-73 τοῦ ὑπ' ἀρ. 282 κώδικος τῆς ἐν Ἁγίῳ ὄρει μονῆς Ἁγίου Παντελεήμονος, ἐξ οὗ ἐξεγράφη τῷ 1895 ὑπὸ τοῦ συνοδεύοντός με εἰς τὸ Ἅγιον ὄρος κ. Ἀδαμ. Ἀδαμαντίου, ἀντεβλήθη δὲ ὑπ' ἐμοῦ.

6. ἣ προσέθηκα   8. ὕψει   περιέχων   9. ὄρπιξιν



Γνωστὰ ἀπ' αἰῶνός ἐστι πάντα τὰ ἔργα αὐτοῦ.

† Νέστορος Πράξεις Ἀποστόλων κεφ. ιε'—18.

Εὑρίσκεται γεγραμμένον παρά τινος ἁγίου Ῥώσσου ἀσκήσαντος ἐν Κιέβῳ, ἀρχαίᾳ καθέδρᾳ τῶν Κνέζων ἐν τῇ ἱερᾷ μονῇ τῆς Κοιμήσεως τῆς Θεοτόκου Περτζέσκβοϊ : ἤτοι τοῦ Σπηλαίου (ἣν ὁ ὅσιος Ἀντώνιος ὁ ἐκ τοῦ ὄρους Ἄθω ὡς ἐκ βαλβῖδος ἐξελθὼν ἀπαρχὴν πρώτην εὐλογίας τοῦ Ἄθω μοναδικῆς πολιτείας ἐκόμισε), (καὶ σὺν τῷ μαθητῇ αὐτοῦ Θεοδοσίῳ προστασίᾳ τῆς Θεοτόκου ἐκ βάθρων παραδόξως ἀνήγειραν, εἰς ἣν καὶ ἑκατὸν δέκα λείψανα ἁγίων σώζονται ἀσινῆ καὶ ἀλώβητα ἀδιάφθορα) ταῦτα τὰ ῥήματα.

«Ἔλαμψαν εἰς τὴν Ῥωσσίαν αἱ ἀκτῖνες τοῦ θείου φωτὸς ἀπὸ τῶν »τειχῶν Βυζαντίου, ἔνθα ὁ ἀπόστολος Ἀνδρέας ἐγκαθίδρυσε τὸν πρῶ»τον ἐπίσκοπον Στάχυν (ἐκ τῶν Ο') καὶ οὕτως ὡσανεὶ ἐνεπίστευεν εἰς »τοὺς διαδόχους αὐτοῦ ἐν πνεύματι προγνώσεως τὴν ἐκτεταμένην »χώραν, εἰς ἣν αὐτὸς ὁ Ἀνδρέας ἐκήρυξε τὸν Χριστὸν (εἰς Σινώπην »καὶ Κριμαίαν) καὶ ἐντεῦθεν ἐπήγασεν ὁ ἀδιάσπαστος δεσμὸς τῆς ῥωσ»σικῆς ἐκκλησίας μετὰ τῆς ἐν Βυζαντίῳ ἑλληνικῆς, ὡς ἐπίσης ἐξ »αἰῶνας (ἐπὶ τῆς βασιλείας Μιχαὴλ καὶ Θεοδώρας) καὶ ἡ ἐξάρτη»σις ‖ τῶν Ῥώσσων μητροπολιτῶν ἐκ τοῦ πατριαρχικοῦ θρόνου τῆς σ. 73
»Κωνσταντινουπόλεως, ἄχρις οὗ ἔλαβεν ἡ ῥωσσικὴ ἐκκλησία τὸ »αὐθύπαρκτον εἰς τὸ πρόσωπον τῶν ἰδίων αὐτῆς ἀρχιεπισκόπων· ὅτε »καὶ οἱ παρὰ τὸν Δούναβιν οἰκοῦντες Βούλγαροι, Μοραβοὶ (Σέρβοι καὶ »Βλάχοι) καὶ Σλαῦοι τῆς Ἰλλυρίας ἦσαν ἤδη πεφωτισμένοι διὰ τοῦ »ἁγίου βαπτίσματος περὶ τὰ μέσα τοῦ Θ' αἰῶνος ἐπὶ Μιχαὴλ αὐτο»κράτορος καὶ τοῦ διασήμου πατριάρχου Φωτίου· δύο δὲ ἀδελφοί, οἱ »ἅγιοι Κύριλλος καὶ Μεθόδιος, ἄνδρες πεπαιδευμένοι, μετεγλώττισαν »τὴν θείαν Γραφὴν Π. καὶ Νέαν καὶ τὰς ἱερὰς βίβλους καὶ πᾶσαν τὴν »θείαν Γραφήν».

Ὅρα εἰς τὴν ἱστορίαν τῆς ἐκκλησίας ῥωσσικῆς ἐν Πετρουπόλει ἐκδοθεῖσαν τῷ 1840.

Ὁ λόγος δηλοῖ, ὅτι ἀπὸ τοῦ ἀποστολικοῦ κηρύγματος τοῦ πρωτοκλήτου Ἀνδρέου ἀναστηλωθέντες ἐπὶ τῶν ὀρέων τῆς Ῥωσσίας μητροπόλεως Κιέβου καὶ εἰς τὰς τῆς μεγάλης νέας Πόλεων Πεδιάδας ἔγιναν σταυροί, ἐφάνησαν ὕστερον δένδρα ζωῆς περὶ τὸν Θ' αἰῶνα, καὶ παν-

1. αἰῶνος   6. βαλβίδος   19. ῥώσσω   20. οὐ   25. δύω

ταχόσε ἥπλωσαν ῥίζας τῆς ὀρθοδόξου πίστεως βαθείας, ἃ ἔφερον πολυειδεῖς καρποὺς εὐσεβείας ὕστερον.

Τοῦτό μοι νόησον καὶ ἐπὶ τοῦ ὄρους Ἄθω. Γέγραπται γὰρ ἐν παλαιῷ χειρογράφῳ ταῦτα οὕτως· «Περὶ τοῦ ὄρους Ἄθω γράφει ὁ »Θεολόγος Ἰωάννης ἐν τῇ Ἀποκαλύψει· «Ἐδόθησαν τῇ γυναικὶ δύο »πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται ἐν τῇ ἐρήμῳ εἰς τὸν τό»πον αὐτῆς καὶ ἵνα τρέφηται ἐκεῖ χρόνους ᾳξ´ ἀπὸ προσώπου τοῦ »ὄφεως». Ἔρημον καλεῖ μεταφορικῶς τὴν Ἰβηρίαν καὶ τὸ ὄρος Ἄθω, »ὅτι ὁ κλῆρος τῆς Θεοτόκου ἡ Ἰβηρία ἦν καὶ τὸ τοῦ Ἄθωνος ὄρος, »δι' ὃ καὶ ἡ εἰκὼν τῆς Θεοτόκου Πορταϊτίσσης ἐκ τῆς Ἰβηρίας ἤχθη »εἰς τὸ Ὄρος. Ἐν γὰρ ταῖς ἡμέραις τοῦ Μεγάλου Κωνσταντίνου »γυνή τις εὐλαβεστάτη καὶ ἐν ἀσκήσει ἄκρως καὶ ὀρθοδόξῳ τῇ πί»στει διαλάμπουσα ἀπήχθη αἰχμάλωτος εἰς Ἰβηρίαν, καὶ ὑπ' αὐτῆς
σ. 74 » ἦλθον οἱ Ἴβηρες εἰς θεογνωσίαν κατὰ τὴν πρόρρησιν τοῦ ἀρχαγγέ»λου Γαβριήλ, ὅτε οἱ θεῖοι Ἀπόστολοι [ἔλαβον] κλήρους τοῦ ἐξελ»θεῖν εἰς τὸ κήρυγμα τῶν ἐθνῶν, ᾐτήσατο δὲ καὶ ἡ Θεοτόκος, καὶ »ἔλαχεν αὐτῇ ἡ Ἰβηρία καὶ τὸ ὄρος Ἄθω. Βουλομένης δὲ τῆς Θεο»τόκου ἀπελθεῖν, εἶπεν αὐτῇ ὁ ἄγγελος· Μὴ χωρίζου, Παρθένε, ἐκ τῆς »Ἰουδαίας γῆς· ταῦτά σοι κελεύει ὁ ὑπὸ σοῦ γεννηθείς· ἡ γῆ, ἥ σοι »κεκλήρωται ἐν ὑστέροις ἔτεσιν ὑπὸ τοῦ σοῦ προσώπου φωτισθήσε»ται, καὶ οὐδ' αὐτὴ σὺ ἀκόπως διαμενεῖς. Εἰς αὐτὴν τὴν ἔρημον »Ἰβηρίας καὶ μᾶλλον τοῦ ὄρους Ἄθω εὗρεν ἀνάπαυσιν ἡ ἐκκλησία »ἀπὸ τὰς στάσεις τῶν αἱρετικῶν, κρατοῦσα ἐκεῖσε τὰ ὀρθὰ δόγματα, »ἤτοι τὰ ἀρχαῖα καὶ μέσα καὶ τὰ ἐξύστερον ἀπὸ τὰ ζιζάνια τοῦ »ἐχθροῦ· ὅτι ἡ Ἰβηρία οὐδέποτε ἀπέστη τοῦ ὀρθοῦ δόγματος. Συγχρό»νως οὖν ἡ Ἰβηρία καὶ τὸ ὄρος Ἄθω ἐπὶ τοῦ μεγάλου Κωνσταντί»νου ἐφωτίσθησαν ὁμοῦ ὡς κλῆρος τῆς Θεοτόκου· ὅτε ὁ μέγας Κων»σταντῖνος ἐν τῷ ὄρει Ἄθω ἀνήγειρε τρεῖς ναοὺς μεγίστους ἐπ' ὀνό»ματι τῆς Θεοτόκου, ἕνα μὲν ἐν τῷ Βατοπεδίῳ, δεύτερον ἐν τῷ Κλή»μεντος λιμένι (τῶν Ἰβήρων) καὶ τρίτον τὸν ἐν τῷ Συνακτικῷ ναῷ τοῦ »Πρωτάτου, καὶ μοναχοὺς ἐν αὐτοῖς ἐγκατῴκισε, τὴν δὲ καλουμένην »τὸ πάλαι Πάνορμον, πολίχνιον, ἀντὶ τοῦ ναοῦ τοῦ Ἀπόλλωνος ναὸν »ἱερὸν τῷ τοῦ Πρωτάτου ὅμοιον ἀνεγείρας, Παρθένους ἱερὰς ἐν αὐτῷ »ἐγκατῴκισεν, ὅθεν καὶ Ἱερισσὸν αὐτὴν ἐκάλεσεν, εὑρὼν τὸν ἁγιώτα»τον ἐπίσκοπον Μακάριον ἐν αὐτῇ.

3. *τοῦτο* 6. *πέτεται* 7. *τρέφεται* 19. *ταῦτα* 23. *αἱρετικῶν* 25. *οὐδὲ ποτὲ* 31. *ἐγκατῴκησε* 34. *ἐγκατῴκησεν*



»Ὅτι καὶ ἐν Βυζαντίῳ τρεῖς ναοὺς κατὰ πρῶτον ᾠκοδόμησεν οὐκ »εἰς ἁγίων ὀνόματα, ἀλλὰ Σοφίας λόγου θεοῦ τὸν ἕνα· πρῶτος γὰρ αὐ»τὸς τὸν ναὸν τῆς ἁγίας Σοφίας δρομικὸν ξυλόστεγον ἔκτισεν· εἶτα τὸν »τῆς ἁγίας Δυνάμεως, ἤτοι τῆς πανσθενοῦς τοῦ ὑψίστου δυνάμεως, καὶ
»τρίτον τὸν ‖ τῆς Ἁγίας Εἰρήνης, οὐχὶ τῆς μάρτυρος ἀλλὰ τῆς τοῦ σ. 75
»θεοῦ εἰρήνης τῆς πάντα νοῦν ὑπερεχούσης, καὶ πάντα θεαρέστως καὶ »πρεπόντως ἐποίησεν.»

Ὁ δὲ ὅσιος Νεῖλος ὁ Μυροβλύτης περὶ τοῦ ὄρους Ἄθω εἶπεν, ὅτι ἐν τοῖς χρόνοις τῶν εἰδωλολατρῶν οἱ οἰκήτορες τοῦ ὄρους Ἄθω εἰς βασιλικὴν ὀργὴν θεοῦ παραχωρήσει ὑπέπεσον, καὶ οἱ μὲν ἐφονεύθησαν, οἱ δὲ διεσκορπίσθησαν, ἡ δὲ Θεοτόκος ᾐτήσατο αὐτὸ παρὰ τοῦ υἱοῦ αὐτῆς ὡς κλῆρον αὐτῆς δεδομένον, καὶ ἐκριζώσασα τὰς ἀκάνθας καὶ τριβόλους τῆς γῆς, ἤτοι τοὺς ἀσεβεῖς οἰκήτορας πρώην, ᾠκοδόμησε πύργους, καὶ ἐκέλευσε κῆπον καὶ πρασίδια φυτεῦσαι μέσον τῶν πύργων, ἵνα βλαστάνωσι τοὺς καρποὺς τῆς σωτηρίας· καὶ ὥρισεν ἵνα συναχθῶσιν ἄνθρωποι ἐργάζεσθαι τοὺς κήπους αὐτῆς, οὐχὶ ἄνδρες ἰσχυροὶ καὶ πλούσιοι ῥωμαλέοι, ἀλλὰ ἀσθενεῖς, χωλοί, κολλοί, τυφλοί, παραλυτικοί, λελωβημένοι, γυμνοί, δυστυχεῖς, ἄποροι, ἤτοι οἱ παντοίαις ἁμαρτίαις ἐν τῷ κόσμῳ περιπεσόντες, καὶ λαμβάνειν τὴν ἴασιν αὐτῶν ψυχῆς καὶ σώματος καὶ δουλεύειν τῷ θεῷ ὁλοψύχως ἐν καρδίᾳ καθαρᾷ καὶ πνεύματι ταπεινώσεως, ἐν τῇ προσκαίρῳ ζωῇ ταύτῃ καὶ μετὰ τὴν ἀνάλυσιν κληρονομήσωσι ζωὴν τὴν αἰώνιον.

## 4.

## *Περὶ τοῦ κλήρου τῆς Θεοτόκου Ἄθω**.

Ἐν τῷ Βίῳ τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου τοῦ Ἀθωνίτου ταῦτα φαίνονται γεγραμμένα ὅτι εἶπεν ἡ κυρία Θεοτόκος τῷ Πέτρῳ περὶ τοῦ ὄρους Ἄθω·

«Ὁ ὅσιος Πέτρος πλέων ἐν τῷ πλοίῳ τοῦ ἐλθεῖν ἐν τῷ Ὄρει, »ἐν ἡσύχῳ τινὶ τόπῳ προσορμισθέντος τοῦ πλοίου, καὶ μικροῦ μετα-

* Περιλαμβάνεται ἐν σελ. 75-77 τοῦ ὑπ' ἀρ. 282 κώδικος τῆς ἐν Ἁγίῳ ὄρει μονῆς τοῦ Ἁγίου Παντελεήμονος, ἐξ οὗ ἐξεγράφη τῷ 1895 ὑπὸ τοῦ συνοδεύοντός με εἰς τὸ Ἅγιον ὄρος κ. Ἀδαμ. Ἀδαμαντίου, ἀντιβληθὲν ὑπ' ἐμοῦ.

10. *παραχωρίσει* 17. *ῥωμαλαῖοι*

»σχὼν ὕπνου, ὁρᾷ τὴν πανάχραντον Θεοτόκον μετά τινος ὑπερβαλλού»σης αἴγλης φανεῖσαν καὶ τὸν μέγαν Νικόλαον αἰδοῖ καὶ φόβῳ καὶ
σ. 76 »συστολῇ || πλησιάζοντα καὶ ἱκετικῶς λέγοντα αὐτῇ· Δέσποινα τοῦ »παντὸς καὶ κυρία, ἐπείπερ τὸν δοῦλόν σου τοῦτον τῆς χαλεπῆς ἐκεί»νης αἰχμαλωσίας ἐλευθερῶσαι ἠθέλησας, δυσωπήθητι ὑποδεῖξαι τούτῳ »καὶ τόπον, ἐν ᾧ τὸν ὑπόλοιπον τῆς ζωῆς αὐτοῦ διατελέσει χρόνον, τὰ »φίλα τῷ θεῷ διαπράττων. Στραφεῖσα δὲ πρὸς αὐτὸν ἡ Θεοτόκος »φησί·

## *Λόγοι τῆς Θεοτόκου πρὸς τὸν Πέτρον.*

«Ἐν τῷ ὄρει τοῦ Ἄθω ἔσται ἡ ἀνάπαυσις αὐτοῦ, ὅπερ εἴληφα εἰς »κλῆρον ἐμόν, αἰτησαμένη παρὰ τοῦ υἱοῦ μου καὶ θεοῦ μου, ὅπως οἱ »τῶν κοσμικῶν ἀναχωροῦντες συγχύσεων καὶ τῶν πνευματικῶν ὅσῃ δυ»νάμει ἀντεχόμενοι καὶ τὸ ἐμὸν ἐν ἀληθείᾳ καὶ πίστει διαθέσει ψυχῆς »ἐπικαλούμενοι ὄνομα τήν τε παροῦσαν ζωὴν ἀμέριμνοι διανύωσι καὶ »τὴν μέλλουσαν δι᾽ ἔργων θεαρέστων κληρονομῶσι. Πάνυ γὰρ ἐπιτερ»πῶς ἔχω τούτου, καὶ λίαν μου τὸ πνεῦμα ἐπ᾽ αὐτῷ ἐπευφραίνεται· »καὶ γὰρ σαφῶς οἶδα, ὅτι ἔσται ποτὲ ὅτε πληθυνθήσεται τοῦ τάγματος »τῶν μοναχῶν ἀπ᾽ ἄκρων ἕως ἄκρων αὐτοῦ καὶ τὸ ἔλεος τοῦ ἐμοῦ υἱοῦ »καὶ θεοῦ (εἴ γε καὶ αὐτοὶ τῶν σωτηρίων ἐντολῶν ἀντέχονται) εἰς τὸν »σύμπαντα αἰῶνα ἀπ᾽ αὐτῶν οὐ διασκεδασθήσηται καὶ πλατυνῶ αὐτοὺς »ἐπὶ νότου καὶ βορρᾶ τοῦ εἰρημένου Ὄρους, καὶ κατακυριεύσωσιν αὐτοῦ »ἀπὸ θαλάσσης ἕως θαλάσσης· καὶ τὸ ὄνομα αὐτῶν ἐν πάσῃ τῇ ὑφη»λίῳ περιβόητον θήσω, καὶ τῶν διακαρτερούντων ἐν αὐτῷ ὑπερασπιῶ».

Ἀρκούντως ἀποδείξαντες περὶ τοῦ ὄρους Ἄθω ὅτι κλῆρος τῆς Θεοτόκου ἐδόθη αὐτῇ ἀπ᾽ ἀρχῆς τοῦ εὐαγγελικοῦ κηρύγματος, ἕπεται νὰ ἀποδειχθῇ καὶ πῶς καὶ πότε ἀπεκληρώθη αὐτῇ, ὡς εἰς πολλὰ σωζόμενα
σ. 77 χειρόγραφα βιβλία εὑρίσκεται γεγραμμένον ἔν τε τῇ Ἱερᾷ μονῇ Βατοπεδίου, ἐν τῇ βιβλιοθήκῃ τῆς Σκήτεως τῆς Ἁγίας Ἄννης, ἐν τῇ Φιλοθέου, Κωνσταμονίτου, Σταυρονικήτα, ἐν διαφόροις ἄλλαις μοναῖς, σκήταις καὶ κελλία. Ἐν δὲ τῇ τοῦ Ζωγράφου εὑρίσκεται ἐν τύποις εἰς βιβλίον τετυπωμένον σθλαβιστί· ὡσαύτως καὶ εἰς Δακικὴν, Οὐγγροβλαχικὴν διάλεκτον εἴδομεν ἐν τύποις βιβλίον ἐμπεριέχον αὐτὸ ἀπαραλλάκτως. Δῆλον δέ, ὅτι τὰ παλαιὰ χειρόγραφα πρεσβύτερα τῶν τετυπωμένων διὰ πιεστηρίων εἰσίν· ὁ γὰρ τύπος ὕστερον ἐφευρέθη.

4. *δοῦλον* 13. *παρούσαν* 17. *ἕως* 21. *ἕως* 24. *ἕπεται*
27. *Βατοπαιδίου*



Οἶδα ὅμως ὅτι εἰς αὐτὸ οἱ πολλοὶ ἀπιστοῦσι, καὶ μάλιστα οἱ ἐλλόγιμοι· ἀλλ᾽ ἡμεῖς, φησὶν ὁ Ἀπόστολος, διὰ πίστεως περιπατοῦμεν, οὐ διὰ εἴδους· ποῖος γὰρ τολμίας ἤθελε συρράψει ψευδῶς μίαν τοιαύτην ῥαψῳδίαν; Ἀμὴ ἐὰν εἰς αὐτὰ ἀπιστῶμεν, θέλει ἀπιστῶμεν καὶ εἰς τὰς θείας Γραφάς. Καὶ ἰδοὺ βλέπομεν, ὅτι ἐξεδόθη βίβλος ἀνατρέπουσα τὴν εἰς τὸν ναὸν τῆς Θεοτόκου εἴσοδον, καὶ δώδεκα ἔτη ἐν αὐτῇ μείνασαν τρεφομένην διὰ χειρὸς ἀγγέλου, ὡσαύτως καὶ εἰς τὴν ἁγίαν αὐτῆς μετάστασιν, ἁρπαγὴν διὰ νεφελῶν τῶν ἱερῶν Ἀποστόλων, εἰς τὴν κηδείαν αὐτῆς καὶ τὴν εἰς τὸν Θωμᾶν δόσιν τῆς ἀκηράτου αὐτῆς ζώνης· εὑρίσκοντες ἀφορμὴν οἱ θέλοντες ἀφορμὴν προξενεῖν ἀπιστίας οὐ μόνον τῶν θαυμάτων ἀλλὰ καὶ αὐτῶν τῶν θείων Γραφῶν καὶ συγγραφῶν τῶν θεσπεσίων, ὡς μὴ γινωσκόντων ἀντίποδας, καὶ κίνησιν γῆς, μεγέθη ἀστέρων, σελήνης δορυφορίαν, νέου κόσμου εὕρεσιν καὶ οὐρανίων σωμάτων κατοίκησιν, καὶ τὸ αὐτόματον δοξαζόντων· εἰς τὸ «Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός»· ἀθλίως ἐπ᾽ ἀπωλείᾳ ψυχῶν καὶ σωμάτων καταντησάντων· καὶ εἰς τὸ «Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν» ἀποσκοποῦντας.

## 5.

## *Περὶ β΄. καὶ γ΄. αἰῶνος**.

Τὰ ἐν τῷ β΄. καὶ γ΄. αἰῶνι συμβάντα εἰς τὸ ὄρος Ἄθω οὐδεμίαν ἔγγραφον ἀκριβῆ ἀπόδειξιν ἔχομεν σημειῶσαι, καθότι Μαξιμιανὸς καὶ Διοκλητιανός, οἱ τύραννοι τῶν Χριστιανῶν, καὶ ἄλλοι διῶκται ἔκαιον τὰς χριστιανικὰς βίβλους καὶ ὑπομνήματα, οἱ δὲ πιστοὶ πανταχόθεν ἐδιώ-

* Περιλαμβάνεται ἐν σ. 83-85 τοῦ ὑπ᾽ ἀρ. 282 κώδικος τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς Ἁγίου Παντελεήμονος, ἐξ οὗ ἐξεγράφη τῷ 1895 ὑπὸ τοῦ συνοδεύοντός με εἰς τὸ Ἅγιον Ὄρος τότε μὲν φοιτητοῦ τῆς φιλολογίας, νῦν δὲ σχολάρχου ἐν Ἀθήναις κ. Βασιλείου Καραχαδούρη, ἀντιβληθὲν ὑπ᾽ ἐμοῦ.

12-13. *εὑρίσκοντες* 18. *ἀπωλείᾳ*

χοντο· ὅθεν τὰ τοιαῦτα ὑπομνήματα ἐξέλιπον. Οἱ τοῦ Καρακάλλου μονῆς ἀναποδείκτως ἐκ παραδόσεως ἔχουσιν, ὅτι ἡ ἁγία ὁσιομάρτυς Παρασκευὴ διὰ θαύματος ἔπεισε τὸν βασιλέα Ῥώμης Ἀντώνιον τὸν Καράκαλλον πιστεῦσαι τῷ θεῷ καὶ ὅτι νὰ ἔκτισε τὴν μονὴν ταύτην, ἀλλ' ἀνύπαρκτα φαίνονται, καθ' ὅτι Νικόλαος Καρακαλᾶς εὑρίσκεται ὁ ταύτης κτίτωρ * κατὰ τὸν Θεοδώρητον καὶ μάλιστα ἐν ταῖς ἱστορίαις οὐ φαίνεται πρὸ τοῦ Κωνσταντίνου ἕτερος βασιλεὺς κτίσαι μονὰς οὔτε ἐν τῷ Ὄρει οὔτε ἀλλαχοῦ· ἀλλὰ καὶ ὁ Ἰουλιανὸς τὰς παρὰ τοῦ Κωνσταντίνου δημευθείσας κατέστρεψεν.

## *Τὰ ὅσα περὶ τὸν δ'. αἰῶνα.*

Φαίνεται εἰς τὸ ς' κεφάλαιον τῆς Ἀποκαλύψεως Ἰωάννου τοῦ Θεολόγου, ὅτι ὅτε τὸ ἀρνίον (Ἰησοῦς Χριστὸς) «ἤνοιξε τὴν α'. σφρα»γίδα, ἐξῆλθεν ἵππος λευκὸς καὶ ὁ καθήμενος ἐπ' αὐτὸν ἔχων τόξον »λευκόν, καὶ ἐδόθη αὐτῷ στέφανος καὶ ἐξῆλθε νικῶν», ὅπερ δηλοῖ κατὰ ἱεροὺς θεολόγους ἑρμηνευτὰς τὸ ἀποστολικὸν κήρυγμα τὸ διὰ θαυμάτων ἐξαισίων ἐν πάσῃ τῇ οἰκουμένῃ διαδοθὲν ἐν τῷ α'. αἰῶνι· »εἶτα ἐξῆλθεν ἵππος πυρρός, καὶ τῷ καθημένῳ ἐπ' αὐτῷ ἐδόθη αὐτῷ »λαβεῖν τὴν εἰρήνην ἀπὸ τῆς γῆς, καὶ ἵνα ἀλλήλους σφάξωσι, καὶ »ἐδόθη αὐτῷ μάχαιρα μεγάλη»· τοῦτο δηλοῖ τὰ ἆθλα τῶν ἁγίων
σ. 84 μαρτύρων τὰ κατὰ τὸν β'. καὶ γ'. αἰῶνα, || καθὼς ὁ Κύριος εἶπεν· «οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τῆς γῆς, ἀλλὰ μάχαιραν· ἦλθον γὰρ «διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ καὶ θυγατέρα κατὰ τῆς «μητρὸς αὐτῆς καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· καὶ ἐχθροὶ τοῦ «ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ Ματθ. ι', 36 καὶ παραδώσει ἀδελφὸς «ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον κτλ.» καὶ αὐτὰ ἐπράχθησαν ἄχρι τοῦ Κωνσταντίνου, ὅτε ἡ εὐσέβεια πανταχοῦ ἔλαμψε. Τότε ὁ μέγας Κωνσταντῖνος ἔπεμψε τὸν αὐγουστάλιον Ἀρτέμιον τὸν ἐπὶ Ἰουλιανοῦ ἀθλήσαντα, καὶ ἐκόμισε τὰ λείψανα τῶν ἁγίων ἀποστόλων Λουκᾶ καὶ Τιμοθέου εἰς τὴν Κωνσταντινούπολιν.

Τότε εὑρίσκεται ἐν παλαιοῖς ὑπομνήμασιν ὅτι ἐρχόμενος ἐπέρασεν ἀπὸ τὸ ὄρος τοῦ Ἄθω.

* Πρβλ. Νέου Ἑλληνομνήμονος Τόμ. ΙΓ' σ. 236 κ. ἑ.

11. *τοιαύτα* 11-12. *σφραγίδα* 18. *ἄθλα* 27. *ἐκόμησε*



«Εἶτα ἤνοιξε τὴν σφραγίδα τὴν γ'. καὶ ἰδοὺ ἵππος μέλας καὶ ὁ «καθήμενος ἐπ' αὐτῷ ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ· καὶ ἤκουσα φω«νὴν λέγουσαν· χοῖνιξ σίτου δηναρίου· καὶ τρεῖς χοίνικες κριθῆς δηνα«ρίου, καὶ τὸ ἔλαιον καὶ οἶνον μὴ ἀδικήσης». Ὁ μέλας ἵππος κατὰ τοὺς ἱεροὺς ἑρμηνευτὰς παρεικάζει τὸ μοναδικὸν ἐπάγγελμα, τὸ ὁποῖον μετὰ παῦσιν τοῦ διωγμοῦ ἐπλατύνθη πανταχοῦ, καὶ ἱδρύθησαν μοναστήρια καὶ ἱερὰ καταγώγια· καὶ τὸ μοναχικὸν τάγμα ἐπληθύνθη, καὶ ἔπλησε τὰ ἀνατολικὰ μᾶλλον μέρη Παλαιστίνης, Αἰγύπτου Σινᾶ, Λιβύης, Θηβαΐδος, καὶ τὰ ἑσπέρια Ἑλλησπόντου, Ὀλύμπου, Θρᾴκης, Προποντίδος καὶ ἄχρι Ῥώμης πάντα τὰ εὐρωπαϊκὰ μέρη. Διῃρεῖτο δὲ εἰς τρία μέρη, εἰς χοίνικα (μέτρον σίτου) ἑνὸς δηναρίου (ἀργυρίου) τιμήν, ὅπερ δηλοῖ τὸ πρῶτον τάγμα τῶν ἐρημιτῶν μεγάλων ὁσίων πατέρων, Παύλου τοῦ Θηβαίου, Ἀντωνίου τοῦ μεγάλου, Εὐθυμίου, Ὀνουφρίου, Παχωμίου || καὶ λοιπῶν ἐρημιτῶν ὁσίων τὰ πλήθη· ὅτε γὰρ σ. 85
ὁ ὅσιος Δανιὴλ ὁ τῆς Σκήτεως ἀνέβη εἰς τὴν Σκῆτιν Θηβαΐδος εἰς τὴν μνήμην τοῦ ὁσίου Ἀπολλώ, ἐξήλθοσαν οἱ πατέρες εἰς προϋπάντησιν αὐτοῦ ἀπὸ ἑπτὰ σημεῖα τὸν ἀριθμὸν χιλιάδες πέντε, καὶ ἑωρῶντο ἡπλωμένοι ἱστάμενοι ἐν τῇ ἄμμῳ ὡς ἄγγελοι θεοῦ μὲ τάξιν, περιμένοντες μὲ φόβον τὸν ὅσιον Δανιήλ, οἱ μὲν ὑποστρώνοντες τὰ ῥάσα αὐτῶν ἔμπροσθέν του ὡς οἱ Ἀπόστολοι τῷ Χριστῷ, οἱ δὲ τὰ κουκούλια αὐτῶν κλαδηφοροῦντες καὶ ἔρρεον τὰ δάκρυα αὐτῶν ὡς βρύσις. Ὁ δὲ πρῶτος αὐτῶν ἐρχόμενος ἐπροσκύνησεν ἑπτάκις ἕως τοῦ ἐλθεῖν πρὸς τὸν γέροντα, καὶ ἀσπασάμενοι, οὐκ εἰσῆλθεν ὁ Δανιὴλ μεῖναι εἰς τὴν ἑορτήν, οὔτε φαγεῖν, ἀλλὰ προτραπεὶς ἐλάλησε πρὸς ὠφέλειαν τῶν ἀδελφῶν ἐν τῇ ἄμμῳ, εἰπὼν ταῦτα· «Ἀδελφοί, ἐὰν ποθῆτε τὴν σωτηρίαν σας, καταπιασθῆτε τὴν ἀκτημοσύνην καὶ σιωπήν, ὅτι εἰς αὐτὰς τὰς δύο ἀρετὰς κρέμαται ὅλη ἡ πολιτεία τῶν μοναχῶν· καὶ πάντες ἀκούσαντες ἔκλαυσαν.

Τοιαύτη ἦτον ἡ ὑψηλὴ πολιτεία τῶν θεσπεσίων ἐκείνων πατέρων.

1. *σφραγίδα* 5. *χοίνιξ* 6. *παύσιν* 17. *ἑωρόντο* 22. *ἕως*
25. *ποθεῖτε* 27. *δύω*

## 6.

## *Τὰ ὅσα ἀπὸ τοῦ γ'. καὶ δ'. αἰῶνος ἄχρι τοῦ ὀγδόου καὶ ἥμισυ συμβάντα ἐν τῷ ὄρει τοῦ Ἄθω *.*

Τὰ ὅσα μετὰ τὴν οἰκοδομὴν τῆς μονῆς Βατοπεδίου ἄχρι τοῦ 850 ἔτους ἐσυνέβησαν εἰς τὸ Ὄρος μένουσιν ἀμνημόνευτα. Ὅτι δὲ καὶ ἐπὶ τῆς βασιλείας Κωνσταντίνου, Ἡρακλείου, Λέοντος Κόνωνος, Θεοφίλου καὶ Μιχαὴλ οἱ βάρβαροι, καταδραμόντες τὴν Ἀνατολὴν καὶ νήσους Λιβύην, Ἱσπανίαν καὶ ἕως εἰς αὐτὴν τὴν Κωνσταντινούπολιν ἐλθόντες ἐπολιόρκουν αὐτήν, ἤρχοντο καὶ εἰς τὸ Ὄρος καὶ ἐφόνευον τοὺς ἀσκητάς, ὡς φαίνεται εἰς τὰ ὑπομνήματα. Δῆλον ὅθεν καὶ τὰ μοναστήρια ἐρημωθέντα ὡς καὶ ἡ τοῦ Βατοπεδίου παρὰ τοῦ Νισσύρεως, τυράννου Κρήτης. Καὶ οἱ μοναχοὶ ἐκρύπτοντο φοβούμενοι, ὡς εἰς τὸν Βίον τοῦ ὁσίου Εὐθυμίου τοῦ νέου καὶ Ἀθανασίου φαίνεται ἄχρις οὗ Νικηφόρος ὁ ἀείμνηστος Φωκᾶς ἐλευθερώσας τὴν Κρήτην ἀπὸ τοὺς βαρβάρους, οἱ μοναχοὶ τοῦ Ὄρους ἤρχισαν νὰ ἡσυχάζωσι, καὶ ἤρξαντο αἱ μοναὶ ἀνεγείρεσθαι, καὶ συνήχθησαν μοναχοὶ εἰς τὸ Ὄρος οἰκοῦντες.

### *Τὰ κατὰ τὸν ὄγδοον καὶ ἥμισυ αἰῶνα.*

Κατὰ τὸ ὀκτακοσιοστὸν πεντηκοστὸν ἔτος συγχρόνως ὅτε ἡ Ῥωσσία ἐδέχθη τὸν χριστιανισμὸν ἄρχισε καὶ τὸ ὄρος Ἄθω αὐξάνεσθαι καὶ πληθύνεσθαι ἀπὸ μοναχοὺς διὰ τὴν εἰς τὰ ἀνατολικὰ μέρη καταδρομὴν τῶν βαρβάρων, ὡς προεγράψαμεν, ὅτε καὶ ὁ ὅσιος Εὐθύμιος ἐλθὼν ἡσύχασεν ἐν τῷ Ὄρει. Εἶτα ἀπελθόντες μετὰ τοῦ Ἰωσὴφ καὶ

* Περιλαμβάνεται ἐν σ. 96-97 τοῦ ὑπ' ἀρ. 282 κώδικος τῆς ἐν Ἁγίῳ ὄρει μονῆς Ἁγίου Παντελεήμονος, ἐξ οὗ ἐξεγράφη τῷ 1895 ὑπὸ τοῦ συνοδεύοντός με εἰς τὸ Ἅγιον ὄρος κ. Ἀδαμ. Ἀδαμαντίου, ἀντιβληθὲν ὑπ' ἐμοῦ.

1 (καὶ 8). *Βατοπαιδίου* 5. *Ἱσπανίαν ἕως* 6. *ἐπολιώρκουν* 12. *ἤρχησαν* 16. *ἄρχησε*



Ἰωάννου τοῦ Κολοβοῦ εἰς τὴν νῆσον τῶν Νέων ἁγίου Εὐστρατίου καὶ ὑποστρέψαντες, ὁ Κολοβὸς Ἰωάννης ἔκτισε μονήν, εἰς τὰ Σιδηροκαύσια. Καὶ ἐπειδὴ τότε διὰ τὰς καταδρομὰς τῶν Ἀγαρηνῶν τὰ παραθαλάσσια μέρη ἐκουρσεύοντο, καὶ τὸ || μέρος τοῦ Ὄρους τὸ πέραν τῆς σ. 97
μονῆς τοῦ Ζυγοῦ εὑρίσκετο ἀκατοίκητον, ὁ Κολοβὸς Ἰωάννης διὰ νὰ πλατύνῃ τὰ ὅρια τῆς μονῆς του, ἐλθὼν πρὸς τὸν αὐτοκράτορα Βασίλειον, ἐζήτησε τὰ πεδινὰ μέρη τοῦ Ἄθω εἰς νομὴν τῶν ζῴων, οὐχὶ δὲ καὶ ὅλον τὸ Ὄρος, ὡς οὐκ ὀρθῶς καὶ Θεοδώρητος ὑπενόησε, καὶ τοῦ ἐδόθη σιγιλλιῶδες χρυσόβουλλον, οὗ ἡ ἀρχή...

## 7.

## *[Αἱ πρῶται μοναὶ τοῦ Ἁγίου ὄρους]*.*

Ὅτε λοιπὸν ἐψυχράνθη ἡ ἀγάπη τῶν πολλῶν, καὶ ἡ ἁμαρτία τῆς ἀκαθαρσίας ἔλαβε χώραν εἰς τοὺς Χριστιανούς, καὶ ὁ παράκλητος ὁ κατέχων (ἐμποδίζων) τὴν δύναμιν τοῦ ἐχθροῦ διὰ τῶν θαυμασίων ὁποῦ οἱ ἀληθεῖς Χριστιανοὶ ἐτέλουν, ἤρθη ἐκ μέσου κατὰ τὸν θεῖον Ἀπόστολον, ὅτι τὸ φῶς δὲν συγκοινωνεῖ μὲ τὸ σκότος τῆς ἁμαρτίας, τότε παραχωροῦντος τοῦ θεοῦ (τῆς θείας χάριτος) ἐπροχώρησεν ὁ Σατανᾶς, καὶ ἥπλωσε τὴν πλάνην τῆς ἀσεβείας διὰ τοῦ ἀνθρώπου τῆς ἁμαρτίας Μωάμεθ, ὃς ὅλος ἁμαρτίᾳ καὶ ἀκαθαρσίᾳ σαρκικῇ ἐγέγετο, ὡς πασίδηλον, καὶ διὰ τῶν ὀπαδῶν καὶ διαδόχων αὐτοῦ ἐδιώκετο ἡ εὐσέβεια πανταχόθεν. Ὅθεν τὰ ἀσκητήρια καὶ ἱερὰ καταγώγια τῶν μοναστῶν τῶν ἐν Παλαιστίνῃ, Αἰγύπτῳ, Λιβύῃ καὶ ἀνατολικῇ χώρᾳ κατηδαφίζοντο καὶ ἐρημοῦντο καὶ οἱ μοναχοὶ διωκόμενοι κατέφευγον εἰς διάφορα μέρη τῆς χριστιανικῆς ἐπικρατείας. Ἀλλὰ καὶ ἐκεῖσε τὸν αὐτὸν διωγμὸν ἐκίνησαν οἱ εἰκονοκλάσται κατὰ τῶν μοναχῶν. Τότε ἤρξατο καὶ τὸ ὄρος Ἄθω πληροῦσθαι μοναχῶν, τὸ ὁποῖον καὶ παρὰ τοῦ μεγάλου Κωνσταντίνου πρῶτον κατῳκίσθη ἀπὸ μοναχούς, ὡς τὰ ἱστορικὰ

* Περιλαμβάνεται ἐν σ. 46-48 τοῦ ὑπ' 282 κώδικος τῆς ἐν Ἁγίῳ ὄρει μονῆς Ἁγίου Παντελεήμονος, ἐξ οὗ ἐξεγράφη τῷ 1895 ὑπὸ τοῦ συνοδεύοντός με εἰς τὸ Ἅγιον ὄρος κ. Ἀδαμ. Ἀδαμαντίου, ἀντιβληθὲν ὑπ' ἐμοῦ.

8. *Θεοδώριτος* 9. *Σιγγιλιῶδες* 16. *τοῦ τοῦ* 17. *ἁμαρτία καὶ ἀκαθαρσία σαρκική* 21. *διωκώμενοι*

δηλοῦσιν, ὅτι αὐτὸς πρῶτος τρεῖς ναοὺς μεγίστους ἐν τῷ Ὄρει ἀνήγειρεν σ. 47 ‖ καὶ ἐν τῇ πάλαι Πάνορμον καλουμένῃ τὸ πολίχνιον, τὸν ναὸν καὶ βωμὸν τοῦ Ἀπόλλωνος κρημνίσας, ναὸν ἱερὸν ἤγειρε, καὶ παρθένους ἱερὰς ἐν αὐτῷ νεωκόρους κατέστησεν καὶ κατῴκισεν, ἐξ ὧν καὶ Ἱερισσὸς ἐκλήθη ἀντὶ Ἀπολλωνιάδος διὰ τὸν ἐν αὐτῇ βωμὸν τοῦ Ἀπόλλωνος, ἐκ τῶν ἱερίδων παρθένων τὴν κλῆσιν λαβόντος· ὅθεν καὶ ὁ ταύτης ἐπίσκοπος Ἱερισσοῦ ὑπογράφεται. Τότε καὶ ὁ ἀνδριὰς τοῦ Ἀθῴου Διὸς ὁ ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους κατεστράφη. Ἀλλ᾿ ὕστερον μετὰ ἔτη πεντήκοντα καὶ πρὸς, μετὰ 31 ἔτη τοῦ Κωνσταντίνου βασιλείας καὶ Κωνσταντίνου υἱοῦ αὐτοῦ ἔτη 24, ἤτοι μετὰ 56 χρόνους, βασιλεύσας Ἰουλιανὸς ὁ παραβάτης, ζῆλον ἀσεβῆ λαβὼν διὰ τὴν καθαίρεσιν τῶν εἰδωλικῶν βωμῶν καὶ τοῦ Ἀθῴου Διός, διερχόμενος Μακεδονίαν, ἀποστείλας εἰς τὸ Ὄρος, τοὺς μὲν ἱεροὺς ναοὺς κατηδάφισε, τοὺς δὲ βωμοὺς ἀνήγειρε βουλόμενος στῆσαι τὰ μαντεῖα καὶ χρησμολόγια τῶν δαιμόνων ὡς πρότερον. Τότε καὶ τὸν ἐπίσκοπον Ἀρεθουσῶν, πόλεως τῆς μεταξὺ Στρυμόνος ποταμοῦ (Μαρμάρι) καὶ Στρυμονιακοῦ κόλπου καὶ Ῥενδίνης κειμένης (Οἰσύμης τὸ πάλης) τὸν ἅγιον ἱερομάρτυρα Μάρκον ὡς καθαιρέτην τῶν εἰδωλικῶν ναῶν καὶ Κύριλλον τὸν διάκονον ὡς συντρίψαντα τὰ ξόανα μαρτυρικῷ πολυωδύνῳ θανάτῳ ἀπέκτεινεν. Ἔμειναν δὲ οἱ ἱεροὶ ναοὶ ἐρείπια ἄχρι τοῦ Μεγάλου Θεοδοσίου, ὅστις διὰ τὴν παραδόξως γινομένην θαυματουργίαν τῆς Θεοτόκου εἰς τὸν υἱόν του Ἀρκάδιον, ἀποστείλας ἀνήγειρεν ἐκ βάθρων τὴν μονὴν τοῦ Βατοπεδίου. Ἐν τούτοις τοῖς χρόνοις καὶ δύο ὅσιοι, Βαρνάβας καὶ Συμεὼν οἱ ἐξ Ἀθηνῶν, οἱ κτίτορες τῆς ἐν Τραπεζοῦντι μονῆς τῆς Θεοτόκου Μελᾶ, κατὰ Μακεδονίαν ὁδεύοντες, ἔφθασαν εἰς σ. 48 Θεσσαλονίκην, ‖ ὑπήντησαν μοναχόν τινα Βατοπεδινόν, ὀνόματι Λάζαρον, καὶ παρὰ τοῦ ὁποίου ὁδηγηθέντες ἦλθοσαν εἰς τὸ Ὄρος, καὶ περιῆλθον τὰ μοναστήρια, ὡς φαίνεται εἰς τὸν σωζόμενον αὐτῶν Βίον ἑλληνιστὶ καὶ ἁπλοϊστί· ἐκ τοῦ ὁποίου Βίου ἀποδεικνύεται σαφέστατα ἡ ἀρχαιότης τῆς οἰκήσεως τοῦ Ὄρους. Τότε καὶ ἡ εὐσεβεστάτη βασιλὶς Πουλχερία ἔκτισε τὰς δύο μονὰς ἐν τῷ Ὄρει, τὴν τοῦ ὁσίου Ἐσφιγμένου καὶ τὴν Ξηροποτάμου, ἣν ὁ μοναχὸς Στέφανος τὸ πρῶτον ἐν τῷ ιγ᾿ τῆς βασιλείας τοῦ Μεγάλου Κωνσταντίνου ἀνήγειρεν εἰς τιμὴν τῆς

2. *καλουμένην* 4. *κατῴκησεν* 5. *ἐκκλήθη* *αὐτῷ*
13-14. *κατηδάφησε* 14. *βουλόμενος* *μαντεῖα* 16-17. *Στρύμονος*
19. *πολυοδύνῳ* 24. *Συμεὼν* 28. *εἰς τὰ* 29. *Ἑλληνιστὶ*



Εἰσόδου τῆς Θεοτόκου ἐν ᾧ χώρῳ ὁ τοῦ Ἀπόλλωνος βωμὸς ὑψοῦτο, ὡς φαίνεται ἐν παλαιῷ ὑπομνήματι μεμβράνης.

Πρὸς τούτοις εὑρίσκεται εἰς παλαιὸν ὑπόμνημα, ὅτι καὶ ἐν ἔτει 868 ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ Μακεδόνος ὁ μαθητὴς τοῦ ὁσίου Λουκᾶ τοῦ ἐν τῇ νήσῳ Θάσῳ ἀσκήσαντος, Ξενοφῶν καλούμενος, μετὰ τὴν κοίμησιν τοῦ γέροντός του ἦλθεν εἰς τὸ Ὄρος καὶ ἡσύχασεν εἰς τὰ ὅρια τῆς μονῆς Φιλοθέου. Καὶ ἡ μονὴ δὲ τοῦ Κουτλουμουσίου, εὑρίσκεται ὁ ταύτης ἡγούμενος Γαβριὴλ ὑποσημειούμενος εἰς παλαιὸν μεμβράινον ὑπόμνημα κατὰ τὸ ἔτος 988, σωζόμενον ἐν τῇ μονῇ τοῦ Ζωγράφου, εἰς τὸ ὁποῖον ὑπόμνημα φέρεται καὶ ἡ μονὴ τοῦ Ζωγράφου συνορεύουσα τοῦ μονυδρίου Ξηροκάστρου, καὶ ὁ ταύτης ἡγούμενος Μακάριος ὑποσημειούμενος καὶ ὁ τῆς Κασταμονίτου Ματθαῖος (οὐχὶ Κωνσταμονίτου).

## 8.

## *Ὅσας καταδρομὰς ὑπέστη τὸ Ἅγιον Ὄρος*.*

Μετὰ τὴν τοῦ παραβάτου Ἰουλιανοῦ καταδρομὴν καὶ ἐν τοῖς χρόνοις Ἡρακλείου βασιλέως, ὅτε ὁ ἀρχηγὸς τῶν Ἀράβων Χαγάνος σ. 50 κατέδραμε τὴν Θρᾴκην καὶ ἐρήμωσε τὰς πόλεις Ἡράκλειαν καὶ Ἀδριανούπολιν καὶ Μακεδονίαν ὅλην, ἑνωθεὶς μετὰ τοῦ Σαρβάρου, ὅτε καὶ ἡ Κωνσταντινούπολις ἐπολιορκεῖτο κινδυνεύουσα, τότε καὶ αἱ μοναὶ τοῦ Ἑλλησπόντου, Μονδανῶν καὶ Ἄθωνος κατερημώθησαν. Μετὰ ταῦτα δὲ καὶ οἱ τοῦ Μωάμεθ διάδοχοι Σουλεϊμὰν καὶ Ὅμαρ καὶ Ἰζὴθ Ἄραψ κατέδραμον τὰς νήσους καὶ Ἑλλήσποντον, καὶ τὴν Κωνσταντινούπολιν ἐπολέμουν, καὶ ὅλην τὴν Λιβύην καὶ Σικελίαν καὶ Ἱσπανίαν ἐδούλωσαν. Τότε καὶ τὸ Ὄρος ὑπ᾿ αὐτῶν κατερημώθη. Ὅθεν εἰς τοὺς χρόνους τῶν εἰκονομάχων ἡσυχασταὶ εὑρίσκοντο κατὰ μέρη. Ὅτε καὶ ὁ ὅσιος Πέτρος ἐλθὼν ἡσύχασεν ἐν τοῖς χρόνοις τῶν εἰκονομάχων βασιλέων· τοῦ ὁποίου κανόνα ἐσύνθεσεν. Ἰωσὴφ ὁ ὑμνο-

* Περιλαμβάνεται ἐν σελ. 49-51 τοῦ ὑπ᾿ ἀρ. 282 κώδικος τῆς ἐν Ἁγίῳ ὄρει μονῆς Ἁγίου Παντελεήμονος, ἐξ οὗ ἐξεγράφη τῷ 1895 ὑπὸ τοῦ συνοδεύοντός με εἰς τὸ Ἅγιον ὄρος κ. Σωκράτους Κουγέα, ἀντιβληθὲν ὑπ᾿ ἐμοῦ.

5. *ξενοφῶν* 11. *Μονηδρίου* 13. *Κωνσταμονήτου* 20. *Σουλεϊμᾶν*
22. *Λυβίην* 23. *Ἰσπανίαν*

γράφος ὡς εἰς τὴν ἐνάτην ᾠδὴν ἔχει ἀκροστιχίδα (Ἰωσήφ). Οὗτος γὰρ ὁ Ἰωσήφ, φεύγων τὴν αἰχμαλωσίαν Σικελίας, ἐκρατήθη ἀπὸ τοὺς κρατοῦντας τότε τὴν Κρήτην Ἀγαρηνοὺς ἐπὶ Μιχαὴλ καὶ Θεοδώρας τῶν βασιλέων, καὶ ἐλυτρώθη παρὰ τοῦ ἁγίου Νικολάου. Γράφει δὲ εἰς τὸ τροπάριον τῆς ε'. ᾠδῆς οὕτως· «Ἔτεσι πλείοσι κατακρατούμενον τὸ σὸν λείψανον εἰς φωτισμὸν ἡμῶν φανεροῦται, ἐκβλύζον ποταμοὺς ἰαμάτων καὶ μύρα τῆς χάριτος». Ὡσαύτως καὶ εἰς τὴν ἑβδόμην ᾠδὴν τὸ τροπάριον ψάλλει «σὲ χρόνοις πολλοῖς κεκρυμμένον φανεροῖ ὡς θησαυρὸν μυστικόν, ὁ θεὸς λόγος, Πέτρε ὅσιε, εἰς φανερὰν περιποίησιν πάντων τῶν κρυφῇ κεκτημένων ἁμαρτιῶν σπίλους, ὅσιε· μετὰ σαρκὸς ἀγγέλου γὰρ τὸν βίον ἔζησας». Ἐκ τούτων δῆλον, ὅτι εἰς τοὺς χρόνους τῶν εἰκονομάχων τὸ ὄρος Ἄθω κατεπατεῖτο ἀπὸ τοὺς θαλασσο-
σ. 50 λῃστὰς βαρβάρους, ὅτε ἐκράτουν τὴν Κρήτην καὶ ἐρημώσαντες τὰς Κυκλάδας νήσους ἐπέρασαν καὶ εἰς τὴν Ἑλλάδα, καθὼς εἰς τὸν Βίον τοῦ ὁσίου Λουκᾶ Στειριώτου φαίνεται καὶ τῆς ὁσίας Ἀθανασίας Αἰγίνης, ἐβλέποντες βιαστικῶς βαρβάρους ἄνδρας εἰς τὰς γυναῖκας τῶν Χριστιανῶν. Ὅτε καὶ ὁ ἀρχηγὸς αὐτῶν Νίσσουρις Κρὴς ᾐχμαλώτισε τὴν ὁσίαν Θεοκτίστην Λεσβίαν. Διὰ τὸ ὁποῖον καὶ ἐν τοῖς χρόνοις Μιχαὴλ καὶ Βασιλείου κρυπτόμενοι μοναχοὶ κατῴκουν εἰς τὸ Ὄρος. Ὁ ὁποῖος Νίσσουρις ἐρήμωσε καὶ τὴν μονὴν τοῦ Βατοπεδίου, καὶ ἔμεινεν ἐρημωμένη ἄχρι τῆς οἰκοδομῆς τῆς Λαύρας, ὅτε οἱ τρεῖς ἐκεῖνοι ἄρχοντες, ἐλθόντες ἀπὸ Ἀδριανούπολιν, διὰ συμβουλῆς τοῦ ὁσίου Ἀθανασίου ἀνήγειραν τὸ Βατοπέδιον. Ὅτε καὶ ὁ Νικηφόρος Φωκᾶς ἐλύτρωσε τὴν Κρήτην ἀπὸ τοὺς Ἀγαρηνούς, καὶ λυτρωθεὶς ὁ διάκονος βηματάρης ὁ κρύψας τὴν εἰκόνα τῆς Θεοτόκου μὲ τὸν τίμιον Σταυρόν, ἐλθὼν εἰς τὸ Βατοπέδιον, ἀνοίξας τὸ στόμα τοῦ φρέατος, εὑρέθη ἡ εἰκὼν ἐπάνω τοῦ ὕδατος καὶ ἡ λαμπὰς ἁπτομένη ἔτι θαυμασίως. Ὅθεν καὶ οἱ μοναχοὶ ἐσυνάζοντο εἰς τὸ Ὄρος καὶ κατῴκιζοντο τὰ μονύδρια ἀφόβως. Μετὰ δὲ τὸν ὅσιον Πέτρον ὁ ὅσιος Εὐθύμιος ἐλθὼν κατῴκησεν εἰς τὸ Ὄρος, εὑρὼν τὸν Ἰωσὴφ οὐχὶ μόνον, ὥς τινες ἀπερισκέπτως ἐνόμισαν· διότι λέγει ὁ Βίος του, ὅτε ὁ Ἰωσὴφ μὴ ὑπομείνας τὴν τριετείαν μονὴν εἰς τὸ σπήλαιον, ἀπῆλθε πρὸς τοὺς ἄλλους μοναχοὺς καὶ ἀνήγγειλεν αὐτοῖς τὰ περὶ τοῦ Εὐθυμίου, καὶ περιέμενον αὐτὸν εἶτα, μετὰ τὴν τριετίαν, καὶ αὐτὸς ὁ Εὐθύμιος

1. *ἐννάτην* 8. *φανεροὶ* 15. *Στυριώτου* 17. *ἠχμαλώτησε* 23. *Φωκὰς* 29. *μονήδρια* 30. *κατώκησε* 34. *τριετίαν*



ἀπῆλθε πρὸς τοὺς πατέρας, οἵτινες περιχαρῶς αὐτὸν ὑπεδέχθησαν· εἶτα ἐλθὼν καὶ ὁ Θεοστήρικτος ἀπὸ τὸν ἀνατολικὸν Ὄλυμπον, ἀπῆλθον μὲ τὸν Εὐθύμιον καὶ ἔφερε τὸν Θεόδωρον γέροντά του, καὶ ἀποκατέστησεν αὐτὸν εἰς Μακρόσυνα. Ἀλλὰ καὶ οἱ μοναχοὶ τοῦ Ὄρους ἤρχοντο πρὸς τὸν Εὐθύμιον, συμβουλευόμενοι ὑπ' αὐτοῦ. ‖ Φαίνεται σ. 51
δὲ εἰς τὸ πρῶτον Τυπικόν, ὅτι καὶ πρῶτος τοῦ Ὄρους ἦτον ὁ ὅσιος Ἀνδρέας. Ἀγροὺς δὲ τὰ μονύδρια ἐκάλουν. Οἱ δὲ μονοχοὶ τῆς μονῆς Κολοβοῦ ἐτόλμων νέμειν τὰ κτήνη των εἰς ἀοίκητα μέρη τοῦ Ὄρους. Καὶ δῆλον ἐκ τοῦ κβ' κεφ. τοῦ α' Τυπικοῦ λέγοντος οὕτως· «ἐπεὶ οὖν πρὸ χρόνων τινῶν διὰ τὴν τῶν ἐθνῶν ἐπιδρομὴν εὑρέθη τὰ κτήνη τῆς μονῆς Κολοβοῦ εἰς τὸ Ὄρος εἰσελθόντα, εἰδήσει τοῦ ά τοῦ ἐν τῇ μεγάλῃ Λαύρᾳ (Λαύραν ἐκάλουν τὸ Πρωτάτον τῶν Καρυῶν), προτρεπόμεθα μηκέτι τοῦτο γίνεσθαι». Ἐκ τούτου ἐνόμισάν τινες ἔρημον τὸ Ὄρος. Ἀλλ' ἡ καταδρομὴ τῶν βαρβάρων προεξένησε τὴν κατὰ καιρὸν ἐρημίαν τοῦ Ὄρους, καί, εἰρήνης γενομένης, συνήχθησαν πάλιν, ὡς καὶ τὸ χρυσόβουλον Βασιλείου Μακεδόνος περιώνυμον τὸν Ἄθω καλεῖ· καὶ ὅτι ὡς ἐκ προσώπου πάντων τῶν ἐν τῷ Ὄρει ἀσκούντων ἀπεστάλη ὁ Πρῶτος αὐτῶν Ἀνδρέας. Ὅθεν σαφέστατα δείκνυται, ὅτι οἰκούμενον ἦτον τὸ Ὄρος ἐπὶ Βασιλείου βασιλέως ἀπὸ μοναχούς, καὶ Πρῶτον εἶχασι, καὶ Μεγάλη Λαύρα ἡ τῶν Καρυῶν ἐκαλεῖτο πρὸ τῆς Λαύρας τοῦ Ὁσίου Ἀθανασίου, ὡς καὶ ὁ Ἀθανάσιος ὅτε τὸ πρῶτον ἦλθεν, ἔξωθεν τῆς Μονῆς τοῦ Ζυγοῦ ἔμεινε μὲ τὸν ἁπλοῦν ἐκεῖνον γέροντα· καὶ εἰς τὸν ναὸν τοῦ Πρωτάτου ἤρχοντο ὁμοῦ τὰς γ' Μ[εγάλας] ἑορτάς. Εἰρήνης οὖν γενομένης ἄχρι Μιχαὴλ τοῦ α' τῶν Παλαιολόγων, ἐλθὼν εἰς τὸ Ὄρος, τοὺς μὴ εἴξαντας εἰς τὸν λατινισμὸν τοὺς μοναχοὺς ἐφόνευον, τὰς δὲ μονὰς κατηδάφιζον.

7. *μονήδρια* 8. *ἐτόλμουν* 11. *ά = Πρώτου* 13. *ἐνόμισαν τινὲς* 14. *καταδρομὴ* 26. *κατηδάφηζον*

## Θ.

## Ὁ φωτισμὸς τῶν χαρίτων τῆς Παντανάσσης καὶ ἀειπαρθένου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας *.

Εἰς τὴν συγγραφὴν τούτου τοῦ ταπεινοῦ μου πονήματος δι' αἰτήσεώς τινων ἀδελφῶν ἐναρέτων φιλομαθῶν, τὸ ὁποῖον ἔναγχος προσηλώθη εἰς τὴν βασιλίδα τῶν οὐρανίων καὶ ἐπιγείων, θέλει αὐγάσει τὰς διανοίας τῶν φιλοχρίστων ἀναγνωστῶν εἰς τὸ μαθεῖν καὶ κατανοῆσαι εἰ οὐκ ἀκριβῶς, ἀλλὰ φιλαλήθως καὶ ἀπαθῶς, τὴν ἀρχαιότητα τοῦ κλήρου τῆς Θεοτόκου Ἄθω καὶ τὴν ἐς ὕστερον ἄχρι τοῦ νῦν ἀποκατάστασιν ὅσον ἐνόν, καθ' ὅτι ἐν τῷ μακρῷ διαστήματι τῶν 18 αἰώνων τὸ Ὄρος ὑπέστη πολλὰς διαφόρους μεταβολάς, καταδρομάς, περιστάσεις καὶ ἐρημώσεις, δι' ἃς εἰς μάτην ἤθελέ τις ἐλπίσῃ μαθεῖν βεβαίαν συγγραφήν, καὶ μᾶλλον ὅπου ὁ πανδαμάτωρ χρόνος ῥέει ὡς ὕδωρ, ἴχνη ὄπισθεν μηδ' ὅλως ἐῶν. Διόπερ μεμένηκεν οὐδὲν σῶον σχεδόν, οὐδὲ δύναταί τις εὑρεῖν τι ἀθῶον παντάπασιν ἐπηρείας, τῶν μὲν αὐτομάτως ὑπὸ χρόνου κατερρυκότων, τῶν δὲ χερσί τινων βεβιασμένων εἰς τὸ μακρὸν τῶν τοσούτων αἰώνων διάστημα, τῶν παλαιῶν ὁσίων οἰκητόρων μηδὲν περὶ τοῦ αἰῶνος τούτου μεριμνώντων, πτηνῶν βίον δι' ἄκρας ἀκτημοσύνης διαγόντων, οὐδὲν ὑπόμνημα σώζεται, πιεστηρίων τύπου ἀμοιρούντων καὶ συγγραφῆς ἀδιαφορούντων, ὡς μόνον πρὸς τὴν ἀΐδιον ἀποκατάστασιν ἀποσκοπούντων. Μετὰ δὲ [τὴν] τῆς Μεγίστης Λαύρας ἀνέγερσιν καὶ τῆς Βατοπεδίου ὡς ἀπὸ νεκρῶν ἐγέρσεως, εἶτα καὶ τῶν λοιπῶν διαγνώσεως, τινὲς συγγραφεῖς ἰσχνῶς καὶ ἀδήλως συνέγραψαν, παρατρέψαντες τὸν κάλαμον εἰς ἀντιφάσεις ἀναποδείκτους καὶ ἀνεξηγήτους. Διὸ καὶ διαφωνίαι πολλαὶ διὰ τὰς τοσαύτας τῶν αἰώνων μεταβολὰς ἐσχεδιάσθησαν ἀσαφῶς.

* Περιλαμβάνεται ἐν σελ. 62-65 τοῦ ὑπ' ἀρ. 282 κώδικος τῆς ἐν τῷ Ἁγίῳ Ὄρει μονῆς Ἁγίου Παντελεήμονος, ἐξ οὗ ἐξεγράφη τῷ 1895 ὑπὸ τοῦ συνοδεύοντός με εἰς τὸ Ἅγιον Ὄρος κ. Ἀδαμ. Ἀδαμαντίου, ἀντιβληθὲν ὑπ' ἐμοῦ.

τα
Ἐν τῇ ἐπιγραφῇ δὶς *ἀειπαρθένου* 1. *τοῦ πανήμου* 1-2. *αἰτίασεως τινῶν* 2. *ἔναγχον* 5. *φιλαλήθῶς* 6. *ἐσύστερον* 15. *μεριμνόντων* 16. *βίον* 18. *τὴν προςέθηκα*



Ἰδόντες γὰρ τὸ τοῦ Ἀθηνῶν Μελετίου γραφὲν ἐν τῇ Ἐκκλησιαστικῇ αὐτοῦ ἱστορίᾳ, ὅτι «ἀπὸ τοῦ Ἀθανασίου κτίτορος τῆς Μ. Λαύρας ἤρξατο τὸ ὄρος Ἄθω κατοικεῖσθαι ὑπὸ μοναχῶν, ὑπετόπασαν, ὅτι ἡ ἀρίζηλος Μονὴ Βατοπεδίου ἐκ γῆς πυθμένων ἀνέβη αὐτομάτως, περὶ ἀρχαίων αὐτῆς δομητόρων οὐδόλως ἐρευνήσαντες· ἧς τὰ ὑπομνήματα στῆλαι, διὰ μουσίων ψηφίδων ἱστορίαι, πηγὴ ἡ ὑποκάτωθεν τοῦ θυσιαστηρίου, εἰκὼν Βηματαρίσσης καὶ λοιπὰ σωζόμενα παρὰ πᾶσαν ἄλλην μονὴν βοῶσι καὶ μαρτυροῦσι τὴν αὐτῆς ἀρχαιότητα· ὡσαύτως καὶ τὰ παρὰ τῆς παρθένου Πουλχερίας δομηθέντα ὡς λῆρος παρ' αὐτοῖς φαίνονται. Τί δὲ ἡ μονὴ τοῦ Ζυγοῦ, ἣ καὶ προτοῦ ἐλθεῖν τὸν ὅσιον Ἀθανάσιον ἐν τῷ Ὄρει εὑρίσκετο, ἧς ἔξωθεν παρὰ τῷ ἁπλῷ ἐκείνῳ γέροντι ἔμεινε; Πόθεν δὲ καὶ ὁ ὅσιος Εὐθύμιος ὁ Νέος, ἐπὶ τῆς βασιλείας Μιχαὴλ καὶ Θεοδώρας διὰ πλοίου ἐλθὼν ἐξ Ὀλύμπου, εὗρε τὸν Ἰωσὴφ οὐ μόνον, ἀλλ' ὡς ἐς ὕστερον δείκνυται, ὅτι μὴ ὑπομείνας τὴν τριετείαν ἐπιμονὴν ἐν τῷ σπηλαίῳ ταλαιπωρίαν, ἐξῆλθε λέγει, πρὸς τοὺς ἄλλους πατέρας, οἳ καὶ περιέμενον αὐτόν, τοῦ Ἰωσὴφ περὶ αὐτοῦ εἰπόντος· λέγει γάρ· «Ὥςπερ ἐξ ἀδύτων ἱερῶν ἢ οὐρανίων ἀψίδων τοῖς ἀσκηταῖς προσδοκώμενος, καὶ διὰ φήμης ἔχουσι τὰ περὶ αὐτοῦ, τὸν Ἰωσὴφ τοῦτον αὐτοῖς ἀνακηρύττοντος καὶ μὴ βλεπόμενον». Εἶτα λέγει «ἐκεῖθεν πρὸς τὰς τοῦ Ὀλύμπου κορυφὰς διαβιβάζεται, ἐντολῆς αὐτῷ ἀποκομισθείσης διὰ Θεοστηρίκτου τοῦ Μοναχοῦ (ἀσκητοῦ) παρὰ Θεοδώρου τοῦ σεβασμίου, ὅςτις καὶ τὸ ἅγιον σχῆμα αὐτῷ ἐδωρήσατο, ὥςτε αὐτὸν ἀνελθόντα ἀναλαβέσθαι τοῦτον, καὶ μετ' αὐτοῦ ἄγειν τῷ Ἄθῳ· «Ἐλθὼν δὲ μετὰ τοῦ Θεοστηρίκτου καὶ προθύμως τὸν γέροντα ἀναλαβών, τῷ Ἄθῳ μετ' αὐτοῦ ἐπανέρχεται καὶ κελλίον πρὸς κατοικίαν πηξάμενος ἐν τόπῳ Μακρόσυνα καλούμενον ὑπηρέτει ἐπιμελούμενος». Ὅρα, ὅτι ἐὰν τελείως ἔρημον τότε ἦτον τὸ Ὄρος, πόθεν ἤθελεν εὑρεῖν πλοῖον ‖ τοῦ ἀπελθεῖν εἰς Ὄλυμπον Βιθυνίας καὶ σ. 64
ἐπαναχάμψαι καὶ ἀναπαῦσαι τὸν γέροντα; Εἶτα φαίνεται, ὅτι, ὁσάκις ἀπὸ Θεσσαλονίκης καὶ Βραστάμου ἤρχετο ἐν τῷ Ἄθῳ, εὕρισκε μοναχούς, καὶ διὰ τὴν παρενόχλησιν αὐτῶν τὴν ὡς ἐν ἄστεσι σὺν ἀλλή-

1. *διαφονίαι* 5. *βατοπαιδίου* 7. *ἐρευνήσαντες* 8. *στύλαι* *μωσαίω* *ὑπὸ κάτωθεν* 9. *πάσαν* 12. *ἡ καὶ* 16. *ἐσύστερον* 19. *ἀψίδων* 29. *ὄροι* 30. *Βυθυνίας*

λοις διατριβὴν καὶ παρενόχλησιν, Ἰωάννην τὸν Κολοβὸν καὶ Συμεώνην συμβούλους χρησάμενος, εἰς τὴν τῶν Νέων νῆσον ἀνεχώρησεν, ἡσυχίας ἕνεκα.

Εἶτα λέγει ὁ Βίος αὐτοῦ, ὅτι εὑρισκομένου τοῦ ὁσίου ἐν τῷ Ἄθῳ μετὰ τῶν μαθητῶν αὐτοῦ, ἠθέλησαν οἱ μαθηταί του ἀνελθεῖν εἰς τὴν κορυφὴν τοῦ Ἄθω, ὁ δὲ ὅσιος ἐκώλυεν αὐτοὺς ὡς μὴ συμφέρον πρὸς ψυχικὴν ὠφέλειαν· οἱ δὲ παρακούσαντες ἀνέβησαν, καὶ διὰ τὴν παρακοήν τους ἔπεσε χιὼν καὶ ἐκινδύνευον. Ὁ δὲ ὡς προορατικὸς γνωρίσας, ὅτι ἐκινδύνευον ὡς μὴ ἔχοντες μεθ' ἑαυτῶν πυρέμβολον, ὁ φιλόστοργος πατὴρ ἀναβάς, οὐχὶ πυροβολικὰ φέρων (ὡς ψευδῶς γράφεται »παρά τινων) «ἀλλὰ πυρσὸς τοῦ πνεύματος χρηματίζων ὁ ὅσιος, φρυ»γάνων σωρείαν συστρέψας, καὶ τούτοις ἐπιφυσᾶν σχηματισάμενος· »ὢ τοῦ θαύματος! πυρὰν ἧψε παράδοξον» (ὁρᾶς διαστροφήν;). Εἶτα καὶ ἕτερον λᾶθος προσήψασι· τὸ λέμβῳ (ἀκατίῳ πλοίῳ,) ἀντὶ Λέσβῳ· νήσῳ ἐξηλείψασι καὶ ἀντὶ Ἱερὰν νῆσον, ἥτις ἦν ἡ ἱερὰ Ἡφαίστου, Λῆμνον, Μυτιλήνην εἶναι ἐνόμισαν. Λέγει γὰρ ὁ Βίος τοῦ ὁσίου οὕτως· «τοὺς μαθητὰς αὐτοῦ ἐν τῷ Ὄρει λεληθότως συνταξάμενος, τῇ ἐπαύριον πάντας διαλαθών, λέμβῳ ἐπιβάς, τῇ Ἱερᾷ λεγομένῃ νήσῳ διαπορθμεύεται· ἔνθα καὶ κοιμηθεὶς ὁ ὅσιος, ὁ μαθητὴς αὐτοῦ Γεώργιος, τὸ λείψανον τοῦ ἁγίου εἰς τὸ σπήλαιον ἀφείς, πλεύσας ἦλθεν εἰς Θεσ-
f. 65 σαλονίκην, καὶ δηλώσας τοῖς ἐν Περιστερᾷ μονῆς ἀδελφοῖς τὰ ‖ τῆς κοιμήσεως τοῦ ἁγίου, ἀπέστειλαν Βλάσιον ἱερομόναχον καὶ Παῦλον μοναχὸν μὲ ξυλίνην λάρνακα διὰ πλοίου, καὶ ἀπὸ τοῦ σπηλαίου σῶον καὶ ἄρτιον τὸ ἅγιον λείψανον εὑρόντες ὡς αὐθημερὸν τελευτήσαντα, ἐν τῇ μαρτυροπλουτίστῳ Θεσσαλονικέων πόλει τοῖς μαθηταῖς ἐπιφοιτήσαντες ἐκόμισαν». Ἐκ τούτων οὖν δῆλον, ὅτι λανθάνονται οἱ ἀκατοίκητον εἶναι τότε τὸ Ὄρος νομίσαντες.

Πασίδηλον δὲ εἶναι, ὅτι ἐν Παλαιστίνῃ, Σινᾷ καὶ Ῥαϊθῷ, Λιβύῃ καὶ Θηβαΐδι καὶ ὄρει Λάτρῳ, Ὀλύμπου (Μοντανῶν), Αὐξεντίου, Βοσπόρῳ καὶ ἐν αὐτῇ τῇ βασιλίδι τῶν πόλεων, Θεσσαλονίκῃ καὶ πάσῃ σχεδὸν Χριστιανῶν ἐπικρατείᾳ βριθομένων μονῶν καὶ μοναχῶν πανταχόθεν, ἀσήμαντον ὑπῆρχε τότε τὸ Ὄρος. Ὅτε δὲ ἡ καταδρομὴ τῶν

6. *ἑαυτόν* 14. *λάθος* Πρὸ τοῦ *λέσβῳ* εὕρηται *λεβ* διαγεγραμμένον
(α)
15. *ἡφαίστου* ἐν δὲ ὑποσημειώσει· (α) *ἡφαίστιος ἱερὸν* *Μυτηλίνην* πρὸ αὐτοῦ δὲ *Μιτυλ* διαγεγραμμένον 16. *ἐνόμησαν* 25. *θεσσαλονικαίων*
26. *ἐκόμησαν* 27. *νομήσαντες* 28. *πασήδηλον* 31. *βριθουμένων*



βαρβάρων κατερήμωσε τὰ τῆς Ἀνατολῆς μοναχῶν καταγώγια καὶ τοὺς μοναχοὺς κατεδίωξε, τότε ἄρχισε τὸ ὄρος Ἄθω κατοικεῖσθαι μᾶλλον καὶ ἐγείρειν μονὰς διαφόρους, ὡς ἀπὸ γραμμὰς εἰς κέντρον τοὺς μοναχοὺς ἐν αὐτῷ συνάγεσθαι. Ὅτι δὲ προϋπῆρχον μοναχοὶ ἐν τῷ Ὄρει καὶ μοναί, μαρτυρεῖ διαρρήδην τὸ τῶν ὁσίων Βαρνάβα καὶ Συμεὼν ὑπόμνημα, ἑλληνιστὶ σωζόμενον, ὅτι κατὰ τὸ 412 ἐπὶ τῆς βασιλείας Θεοδοσίου ἐλθόντες εἰς τὸ ὄρος Ἄθω, ἐν Βατοπεδίῳ καὶ ἄλλαις μοναῖς ἐπροσκύνησαν. . . . .

## *10.*

## *[Βασιλικὰ χρυσόβουλλα]*.*

Μετὰ τὴν καταγραφὴν τῶν βίων τῶν ὁσίων καὶ θεοφόρων πατέρων τῶν πρώτως ἀσκησάντων ἐν τῷ ἁγιωνύμῳ ὄρει τούτου τοῦ Ἄθω ἀρχόμεθα τῆς καταγραφῆς τῶν δύο τυπικῶν ἐκ τοῦ Τράγου ἀντιγραφέντων, ἤτοι ἐκ μεμβράνης ἀπὸ δέρματος τράγου σωζομένης ἔτι ἐν τῷ Κοινῷ τοῦ Ὄρους. εἶτα καὶ τῶν χρυσοβούλλων τῶν εὐσεβῶν βασιλέων κατὰ καιροὺς διαφόρους ἐκδοθέντων, καὶ πρῶτον τοῦ ἀοιδίμου Βασιλείου Μακεδόνος ὡς ἀρχαιοτέρου, εἶτα τοῦ υἱοῦ αὐτοῦ Λέοντος τοῦ Σοφοῦ, ἔπειτα τῶν μετ' αὐτὸν Ῥωμανοῦ, Στεφάνου καὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, εἶτα τὸ τοῦ Κωνσταντίνου Μονομάχου εἰς εὔληπτον διάληψιν τῶν ἀναγινωσκόντων.

*) Περιλαμβάνονται ἐν σελ. 202-20 τοῦ δευτέρου μέρους τοῦ ὑπ' ἀρ. 281 κώδικος τῆς ἐν Ἁγίῳ ὄρει μονῆς Ἁγίου Παντελεήμονος, ἐξ οὗ ἐξεγράφησαν τῷ 1895 ὑπὸ τοῦ συνοδεύοντός με εἰς τὸ Ἅγιον ὄρος, κ. Ἀδαμ. Ἀδαμαντίου, ἀντιβληθέντα ὑπ' ἐμοῦ. Ἐπανεκδίδονται δ' ἐνταῦθα, καίπερ ἤδη ἐκδεδομένα, ἕνεκα διαφορῶν πρὸς τὰς προτέρας ἐκδόσεις, αἵτινες ὁμοίως δὲν ἔγειναν ἐκ τῶν πρωτοτύπων, ἀλλ' ἐξ ἀντιγράφων ἀτελεστέρων ἔν τισι. Καὶ δὴ τὸ μὲν χρυσόβουλλον Βασιλείου τοῦ Μακεδόνος εὕρηται ἀλλαχοῦ τε καὶ παρὰ τῷ κ. *Μανουὴλ Γεδεών* (Ὁ Ἄθως. Ἐν Κωνσταντινουπόλει. ͵αωπε´ σ. 79 κ. ἑ´.) τὸ δὲ Λέοντος τοῦ Σοφοῦ αὐτόθι σ. 81 κ. ἑ., δὲ τοῦ Ῥωμανοῦ αὐτόθι σ. 84 κ. ἑ.

2. *ἄρχησε* 5. *διαρρήδην διαρρήδην* 7. *βατοπαιδίῳ*
11. *τυπικῶν* 12. *σωζώμεν* 13. *χρυσοβούλων* 15. *ἀρχαιώτερον*

## σ. 203 Χρυσόβουλλον τοῦ Βασιλείου βασιλέως Μακεδόνος.

Ἀρχόμεθα ἐκ τοῦ παλαιοτέρου σιγιλλίου χρυσοβούλλου Βασιλείου τοῦ Μακεδόνος, ὅστις ἐβασίλευσε κατὰ τὸ ἔτος ἀπὸ Χριστοῦ 867, βασιλεύσας ἔτη 21, ἐτελεύτησε δὲ κατὰ τὸ ἔτος 889. Τὸ δὲ χρυσόβουλλον τοῦτο ἐγένετο κατὰ τὸ ἔτος 875.

### Ὁ τίτλος.

***Βασίλειος ἐλέῳ θεοῦ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων.***

«Τοὺς τὸν ἐρημικὸν βίον ἑλομένους καὶ τὰς κατὰ μόνας διατριβὰς ἐν τῷ τοῦ Ἄθω λεγομένῳ ὄρει ποιησαμένους καὶ τὰς εὐτελεῖς σκηνὰς ἐκεῖ πηξαμένους παρὰ τῶν ἐπιχωριαζόντων καὶ τῷ Ὄρει τούτῳ προσομορούντων ἐπηρεαζομένων καὶ μὴ συγχωρουμένων καθαρῶς κάὶ ἀταράχως τὰ τοῦ οἰκείου λογισμοῦ διεπιτελεῖν ἡ θεοσυνέργητος ἡμῶν βασιλεία δίκαιον ἡγήσατο διὰ τοῦδε ἡμῶν σιγιλλίου τοῦ λοιποῦ ἀθορύβους καὶ ἀταράχους διάγειν, εὔχεσθαι δὲ ὑπὲρ τῆς ἡμῶν γαληνότητος καὶ ὑπὲρ παντὸς τοῦ τῶν Χριστιανῶν συστήματος. [Ὅθεν] καὶ ἐξασφαλιζόμεθα πάντας ἀπό τε στρατηγῶν, βασιλικῶν ἀνθρώπων καὶ ἕως ἐσχάτου ἀνθρώπου τοῦ δουλείαν καταπιστευομένου, ἔτι δὲ καὶ ἰδιώτας καὶ χωριάτας καὶ ἕως τοῦ ἐν τῷ μύλωνι ἀλήθοντος, ἵνα μὴ ἐπηρεάσῃ τις τοῦ αὐτοῦ (Ἄθω) μοναχούς· ἀλλὰ μηδὲ καθὼς [ἐστι] τοῦ Ἱερισσοῦ ἡ ἐνορία καὶ τὴν ἔσω πρὸς τὸ τοῦ Ἄθωνος ὄρος εἰςέρχεσθαί τινας, μήτε ποιμένας μετὰ τῶν ποιμνίων αὐτῶν, μήτε βουκόλους μετὰ βουκολίων αὐτῶν νέμεσθαι ἐντὸς τοῦ ὄρους Ἄθω, ἀλλὰ μένειν ἀνενοχλήτους καὶ ἀταράχους τοὺς ἐν αὐτῷ μοναχοὺς ἐνασκοῦντας. σ. 204 Οὕτως ἐντελλόμεθα.......(λείπει).......καὶ ἐπιβεβαιοῦμεν διὰ τοῦ παρόντος εὐσεβοῦς χρυσοβούλλου, ἵνα μένωσιν οἱ ἐν τῷ Ἄθῳ οἰκοῦντες μοναχοὶ ἀνενόχλητοι πάντες, γεγενημένου κατὰ τὸ ἔτος 875 ἐπινεμήσεως ϐ', ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς κράτος ὑπεσημήνατο».

Τὸ σιγίλλιον αὐτὸ ἦτον ἀξιόλογον, ἐν μεμβράνῃ γεγραμμένον, πλὴν

1. *Σιγγιλλίου* 3. *χρυσόββουλον* 5. *ἐλαίῳ* 6. *ἐρημικον ἐλομένους* 9. *ἐπηρεαζομένων* 12. *ἀταράχιος* 15. (καὶ 16) *ἕως* 18-19. *εἰςέρχεσθαι* 19. *μήτε τῶν* 22. *οὕτως* 24. *γεγενημένον*



βάρβαρός τις κοιλιόδουλος δι' ἄγραν ἰχθύων μελανούρων ἀπέκοψε τὰ ἐν ἀρχῇ καὶ τέλει αὐτοῦ τὰς ἄκρας, καὶ διὰ τοῦτο δὲν ἀναγινώσκονται.

Δῆλον δὲ ὅτι πρὸς ἀσφάλειαν τῶν ἐν τῷ ὄρει Ἄθω ἀσκούντων μοναχῶν ἐγένετο, ἵνα μένωσιν ἀνενόχλητοι ἀπὸ τοὺς ἐγχωρίους Ἱερισσοῦ καὶ κύκλῳ χωρίων, νὰ μὴ εἰςάγωσι ζῷα καὶ βόας νέμωνται ἐν τῷ Ὄρει. Ἀλλ' ἐπειδὴ δι' ὑπομνήσεως τοῦ ὁσίου Ἰωάννου Κολοβοῦ (ὃς εὑρίσκεται συνασκητεύων μετὰ τοῦ ὁσίου Βασιλείου καθὼς εἰς τὸν Βίον του φαίνεται) εὑρίσκετο εἰς φύλαξιν ἐν τῇ αὐτοῦ μονῇ, μετὰ δὲ τὴν τούτου ἀποβίωσιν καὶ τοῦ βασιλέως Βασιλείου οἱ διάδοχοι τοῦ Κολοβοῦ ἔφερον αὐτὸ πρὸς ἐπικύρωσιν εἰς τὸν βασιλέα Λέοντα τὸν Σοφόν, υἱὸν τοῦ Βασιλείου, τὸ ὁποῖον ἐδέχθη εὐμενῶς καὶ ἔδωκεν αὐτοῖς ἄδειαν ἵνα συντεθῇ καὶ ἐκ μέρους αὐτοῦ ἴδιον σιγίλλιον. Οἱ δὲ μοναχοὶ τοῦ Κολοβοῦ ἀντὶ τοῦ ἐπικυρωτικοῦ ἐποίησαν χαριστικὸν σιγίλλιον καὶ ἔγραψαν πολλὰ χωρία καὶ μοναστήρια νὰ ὑπόκεινται εἰς τὰ Σιδηροκαύσια, ἕως εἰς τὸ βουνὸν Χωλομῶντος. Ἔγραψαν δὲ καὶ πεδινὰ μέρη τοῦ Ἄθω (οὐχ ὥς τινες ὑπέλαβον ὅλον τὸν Ἄθωνα) νὰ νέμωνται τὰ κτήνη αὐτῶν. Ὁ δὲ βασιλεὺς ἀπεριέργως ἐπεκύρωσε τὸ νέον ἐκεῖνο σιγίλλιον. Οἱ δὲ μοναχοί, λαβόντες τὸ ἐξ ἀπάτης ἕτερον σιγίλλιον, ἔθλιβον τοὺς μοναχοὺς τοὺς ἡσυχάζοντας εἰς χαμηλὰ ζεστὰ μέρη, Καθέδρας τῶν γερόντων, φέροντες τὰ κτήνη τῶν πλησιοχώρων ἐπὶ συμφωνίᾳ πληρωμῆς, στενοχωροῦντες καὶ τοὺς ἐγχωρίους. Συνέβη δὲ ἐλθεῖν εἰς Θεσσαλονίκην ἄρχων τις βασιλικός, πρὸς τὸν ὁποῖον ἐλθόντες οἱ τοῦ Ὄρους μοναχοὶ καὶ οἱ χωρικοὶ λαϊκοὶ ἐσυμβουλεύθησαν περὶ τῆς ‖ τοιαύτης εἰς αὐτὸν γενομένης καταδυναστείας. σ. 205 Ὁ δὲ ἄρχων ἐσυμβούλευσεν αὐτοὺς νὰ ἀναφέρωσι τὴν ὑπόθεσιν πρὸς τὸν βασιλέα. Ὅθεν ἀναφερθέντες, καὶ μαθὼν ὁ βασιλεὺς τὴν ἀπάτην, ἐπρόσταξε νὰ ἔλθωσιν οἱ μοναχοὶ τοῦ Κολοβοῦ, φέροντες καὶ τὰ ἔγγραφα, καὶ νὰ ἐξετασθῶσιν. Ἀνακριθείσης οὖν τῆς ὑποθέσεως, ἐσχίσθη τὸ ἐξ ἀπάτης γενόμενον ἐκεῖνο σιγίλλιον καὶ ἐδόθη τὸ κάτωθεν ἐπικυρωτικὸν τῶν ἰδίων προνομίων τοῦ πατρὸς αὐτοῦ Βασιλείου τῶν δοθέντων τοῖς μοναχοῖς Ἀθωνίταις, καὶ συνέστειλε τὰ ὅρια τῆς μονῆς Κολοβοῦ, φερωνύμως κολοβώσας διὰ τὴν γενομένην ἀπάτην, ἀποκαταστήσας καὶ τὰ χωρία καὶ τὰ ἐν τοῖς χωρίοις μονύδρια εἰς τὴν προτέραν αὐτῶν κατάστασιν.

1. *τέλη* 4-5. *ἐρισσοῦ* 5. *εἰςάγουσι* *νέμονται* 12. *ἄδεια Σιγγίλλειον* 13-14. *Σιγγείλλιον* 15. *ἕως* 17. *νέμονται* 18. *Σιγγίλλιον* 19. *Σιγγίλλιον* 27. *κολοβὸς* 29. *συγγίλλιον* 33. *Μονήδρια*

## «"Ἕτερον»

**«Χρυσόβουλλον Λέοντος τοῦ Σοφοῦ βασιλέως ἐν ἔτει 900».**

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος [Λ]έων πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων......(λείπει)..... *ἵνα μένωσιν ἀμέτοχοι πάσης παρενοχλήσεως οἱ τοῦ Ἄθω μοναχοί,* ἐλευθεριάζοντες......... καὶ ὑπὲρ τῆς βασιλείας ὑπερηύχοντο· τοίνυν καὶ τοῖς ἀσκηταῖς πᾶσιν ἄνεσιν.......... Πάλαι μὲν ὁ τῇ θείᾳ λήξει βασιλεὺς καὶ πατὴρ ἡμῶν σιγίλλιον ἐξ αἰτήσεως Ἰωάννου τοῦ ἐπιλεγομένου Κολοβοῦ λαβεῖν ἐδικαίωσε τοῦ παραφυλάττεσθαι πάντας τοὺς ἐν τῷ αὐτῷ ὄρει Ἄθῳ σχολάζοντας θείους ἄνδρας ἐν διαφόροις κατασκηνώσεσι· καὶ πρὸς τούτοις καὶ τὴν παρ' αὐτοῦ τοῦ ἡγουμένου Ἰωάννου νεουργηθεῖσαν μονὴν τῆς τοιαύτης καταπολαύσεως καὶ προνοίας *ἀπολαμβάνειν καὶ κατέχειν τὴν ἐνορίαν τοῦ Ἱερισσοῦ καὶ μόνην·* καὶ τῆς τοιαύτης θείας κελεύσεως τοῦ ἐν μακαρίᾳ τῇ λήξει πατρὸς ἡμῶν καὶ βασιλέως ἐπὶ χρόνους τινὰς κρατησάσης, ὕστερον δὲ προσελθόντες καὶ οἱ τῆς μονῆς Κολοβοῦ, ἐν ἀρχῇ τῆς ἡμετέρας αὐτοκρατορίας, καὶ πλαγίως διδάξαντες, ὡς ἐν τάξει ἐπικυρωτικοῦ τοῦ ἐν τῇ θείᾳ λήξει πατρὸς ἡμῶν || σ. 206 καὶ βασιλέως σιγίλλιον ἐπεζήτησαν, ἐν ᾧ παραλόγως τῆς τοῦ σιγιλλίου μετενεχθέντες τάξεως χαριστικῆς τύπον, ὡς οὐκ ὤφειλε, διεγράψαντο, καὶ περιορισμὸν ἐκθέμενοι σχεδὸν τὸν ὅλον εἰς δεσποτείαν καὶ κυριότητα κατακρατήσαντες Ἄθωνα καὶ πρὸς τούτοις καὶ χωρία ἀπό τε τῶν λεγομένων Σιδηροκαυσίων καὶ τῶν Χωλομουτλῶν καὶ ἄλλων τινῶν, καὶ πρὸς τούτοις καὶ μοναστήρια ἀπό τε τοῦ Μυστάκωνος, τοῦ Καρδιογνώστου καὶ Ἀθανασίου καὶ Λουκᾶ, καὶ τὴν λεγομένην Γερόντων ἀρχαίαν καθέδραν. Ἐπειδὴ δὲ ἐκ τοῦ αὐτοῦ περιωνύμου ὄρους Ἄθωνος Ἀνδρέας ὁ εὐλαβέστατος μοναχὸς καὶ πρῶτος ἡσυχαστὴς τοῦ αὐτοῦ Ὄρους, ἐκ προσώπου πάντων τῶν ἐκεῖσε σχολαζόντων θείων ἀνδρῶν (9) τὴν βασιλεύουσαν καταλαβών,

9 Ὅρα ὅτι περιώνυμον καλεῖ τὸ ὄρος Ἄθω· τὸν δὲ Ἀνδρέαν πρῶτον τοῦ ὄρους λέγει εἶναι· καὶ πατέρες μοναχοὶ ἰδίως ἐν κελλίοις ἡσύχαζον, οὐχὶ δὲ ὅτι καὶ ἔρημον μοναχῶν εἶναι ὡς τινες ὑπενόησαν, ἀλλ' ἀπερίσπαστον βίον διήνυον· προϊόντος (κῶδ. *προϊόντως*) δὲ τοῦ χρόνου ηὔξησαν τὰ μονύδρια (κῶδ. *Μονήδρια*), εἶτα καὶ εἰς μεγάλας μονὰς ἐγένοντο· τὸ δὲ Βατοπέδιον ἦτον τότε κατεδαφισμένον ὑπὸ τῶν βαρβάρων. καὶ διὰ τὴν ἔφοδον συχνάκις οἱ μοναχοὶ ἔφευγον.

6. *Σιγγίλιον* 11. *ἐρισσοῦ* 12. *τινας* 16. *σιγγίλιον* 17. *σιγγιλίου* 18. *ὄφειλε* 21. *καὶ ἄλλων καὶ ἄλλων*



ἐδεήθη τῆς ἡμετέρας βασιλείας ἀναδιδάξαι ὡς οἱ τῆς μονῆς Κολοβοῦ τῆς τοιαύτης ἐπειλημμένοι προφάσεως καὶ εἰς δικαίωμα τῆς τοιαύτης τηνικαῦτα γενομένης κατὰ πανουργίαν περιγραφῆς, τὸν αὐτὸν χάρτην προσκομίζοντες, κατεκράτησαν τὸ ὅλον ὄρος τοῦ Ἄθωνος καὶ τοὺς ἐν αὐτῷ σχολάζοντας θείους πατέρας ὑπὸ ἰδίαν παροικίαν, πολλάκις διαπληκτιζόμενοι, ἀποφαίνονται, καὶ ἀποδιώκειν ὡς ἀπὸ οἰκείων κτημάτων ἰσχυρῶς διατείνοντες, καὶ πρὸς τούτοις νομαδικὸν προάστειον τὸν ὅλον διακρατοῦντες Ἄθωνα, καὶ τῶν πλησίον τούτων χωρίων εἰσάγοντες τὰ βοσκήματα καὶ τὰ ὑπὲρ τῆς τούτων μονῆς κομιζόμενοι, μικροῦ δεῖν ἀπελαύνειν αὐτοὺς ἐκεῖθεν παντελῶς ἐκβιάζοντες· πρὸς τούτοις δὲ καὶ ἐκ τοῦ μέρους τῶν εἰρημένων χωρίων συνελθόντες τῷ αὐτῷ εὐλαβεστάτῳ ἀνδρὶ περὶ τῆς τοιαύτης πλεονεξίας καὶ παραλόγου κατασχέσεως τῶν τῆς μονῆς τοῦ Κολοβοῦ κατεβόησαν· περὶ ὧν δεξάμενος ὁ πρωτοσπαθάριος Νικηφόρος, καὶ ἐπώνυμον τοῦ Εὐπράξῃ, ἀκριβῶς διερευνήσασθαι τὴν ἀλήθειαν, εἰ οὕτως ἔχει, τῇ βασιλείᾳ ἀνηνέγκατο. Καὶ δεξάμενος παρὰ τῆς βασιλείας ἡμῶν ἀμφότερα αὐτῶν τὰ μέρη τὴν βασιλεύουσαν καταλαβεῖν || σ. 207 προσέταξε, καὶ δὴ ἐπὶ τῇ παρουσίᾳ τοῦ πρωτοσπαθαρίου Νικηφόρου δοθέντος παρὰ τοῦ ἡγουμένου Κολοβοῦ μονῆς, εἰς πρόσωπον τῆς οἰκείας μονῆς Παχωμίου καὶ Ἀθανασίου μοναχῶν, καὶ ἀμφοτέρων τῶν μερῶν παραγενομένων καὶ ἐξετασθέντων, κελεύσει τῆς βασιλείας ἡμῶν ἐπὶ Στεφάνου μαγίστρου καὶ Κωνσταντίνου καὶ Βασιλείου πρωτοσπαθαρίου καὶ τοῦ ἐπὶ δεήσεων ἐπὶ τοῦ περιωνύμου ὑπηρέτου τῶν ἀσηκρίτων, εὑρέθησαν ταῖς ἀληθείαις παραλόγως προγραφέντα τὰ τοιαῦτα τόπια ἐν τῷ παραλόγῳ γενομένῳ χάρτῃ τῆς βασιλείας ἡμῶν. Ὅπερ δὴ καὶ αὐτοὶ οἱ μοναχοὶ οἱ προειρημένοι τοῦ μέρους τοῦ Κολοβοῦ ἐπὶ τῇ παρουσίᾳ πάντων συνομολογήσαντες κατέθεντο.

Ταῦτα οὖν ἡ θεοπρόβλητος ἡμῶν βασιλεία παρ' αὐτῶν ἀναμαθοῦσα καὶ τὰς τῆς δικαιοσύνης ἀκοὰς εὐμενῶς ἐπικλίνασα, ἐπέταξε τὸν τοιοῦτον τηνικαῦτα παραλόγως γενόμενον χάρτην διαρρηχθῆναι, διαφυλάττεσθαι δὲ κατὰ τὴν γνώμην τοῦ ἐν θείᾳ τῇ λήξει πατρὸς ἡμῶν καὶ βασιλέως πάντας τοὺς ἐν τῷ Ἄθωνι σχολάζοντας μοναχοὺς

2. *ἐπιλημμένοι* 7. *προάστυον* 14. *εὐ πράξῃ* 15. *ἔχειν* 16. *ἀνενέγκατο* 23. *υπηρέτου*

ἀπαρενοχλήτως ἀπὸ παντοίας ἐπηρείας καὶ τῆς ὡς εἰκὸς ἐγγινομένης ἐνοχλήσεως· ὡσαύτως καὶ τὰ χωρία κατέχειν ἀκαινοτόμητα τὰ ἴδια δίκαια· τοὺς δὲ τῆς μονῆς τοῦ Κολοβοῦ ἀρκεῖσθαι κατὰ τὸν χάρτην τοῦ ἐν τῇ θείᾳ τῇ λήξει πατρὸς ἡμῶν καὶ βασιλέως εἰς τὴν τῆς ἐνορίας τοῦ Ἱερισσοῦ διακράτησιν καὶ τὴν κατανομὴν μόνην τῶν Καμένων σὺν τοῖς τόποις τῶν ἀμπελίων καὶ κηπαρίων αὐτῶν καὶ μόνων· τὰ δὲ λοιπὰ πάντα κλάσματα τῶν τε Καμένων καὶ τῶν λοιπῶν κατὰ τὸν τύπον τῶν κλασματικῶν ἐλευθεριάζειν καὶ νέμεσθαι αὐτὰ πάντας τοὺς παρακειμένους. Διὸ καὶ πρὸς περισσοτέραν ἀσφάλειαν καὶ διηνεκῆ δικαίωσιν τοῦ τε μέρους τῶν ἐν τῷ Ὄρει ἀσκητῶν καὶ τῶν χωρίων ἀπόλαυσιν καὶ καταδίκην τοῦ μέρους τοῦ Κολοβοῦ τὸ παρὸν ἡμῶν εὐσεβὲς σιγιλλιῶδες ἐν μεμβράναις γράμμα ἐπικυρωτικὸν τοῦ ἐν τῇ θείᾳ λήξει πατρὸς ἡμῶν καὶ βασιλέως ἐπιδοθῆναι τῷ μέρει τῶν ἐν
σ. 208 τῷ Ἄθω ἀσκητῶν ἐκελεύσαμεν, γεγενημένον ‖ κατὰ τὸ 900 ῳ ἔτος· ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος».

Τὰ ἄνωθεν δύο χρυσόβουλλα εἶναι τὰ παλαιότερα πρὸ τοῦ κτισθῆναι τὴν Λαύραν· ὅτι ἀπὸ τὰς καταδρομὰς τῶν ἀσεβῶν πολλάκις κατερημώθη τὸ Ὄρος· ὅτι καὶ τὸ Βατοπέδιον κατερημώθη ἀπὸ τὸν Νύσσιριν ἐκεῖνον, κρατούντων τὴν Κρήτην οἱ Ἀγαρηνοί· καὶ μετὰ ἑβδομήκοντα ἔτη, [ὅτε] Νικηφόρος ὁ Φωκᾶς ἐλύτρωσε τὴν Κρήτην, λυτρωθεὶς ὁ ἐκκλησιάρχης, ἐλθὼν εἰς Βατοπέδιον, ἀνεκάλυψε τὴν εἰκόνα τῆς Θεοτόκου καὶ τὸν τίμιον Σταυρὸν ἐπάνω τοῦ ὕδατος ἱσταμένην, καὶ τῆς λαμπάδος μενούσης ἡμμένης. Αὐτὰ εἰσὶ μεμαρτυρημένα καὶ οὐχὶ πλάσματα. Ὅθεν διὰ τὸν φόβον τῶν πειρατῶν οἱ μοναχοὶ ἡσύχαζον εἰς κελλία καὶ μικρὰ μονύδρια· ὡς καὶ εἰς τὸν Βίον τοῦ ὁσίου Εὐθυμίου φαίνεται, ὅτι ἦσαν μοναχοὶ κάτοικοι εἰς τὸ Ὄρος, πρὸς οὓς ὁ Εὐθύμιος ἐξελθὼν τοῦ σπηλαίου ἀπῆλθεν εἰς αὐτούς. Ὡσαύτως καὶ εἰς τὴν διαθήκην τοῦ ἁγίου Ἀθανασίου φαίνεται, ὅτι εἴχασιν οἱ μοναχοὶ ἀγροὺς καὶ ἀμπελῶνας· τὰ δὲ καλούμενα ἀγροὶ ἐλέγοντο καὶ μονύδρια, ὡς εἰς παλαιὰ ἔγγραφα φαίνονται.

1. *εἰκώς* 6. *ἀκενοτόμητα* 5. *ἐρισσοῦ* 9-10. *διηνεκεῖ* 12. *σιγγιλιῶδες* 17. *βατοπαίδιον* 19. *ἐκείνων* 20. *φοκᾶς* 21. *βατοπαίδιον* 25 (καὶ 29). *μονήδρια*



### *Ἕτερον χρυσόβουλλον Ῥωμανοῦ βασιλέως καὶ τῶν σὺν αὐτῷ κατὰ τὸ ἔτος ͵ϛυμβ' ἤτοι 942.*

«Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος Ῥωμανός, Κωνσταντῖνος, Στέφανος καὶ Κωνσταντῖνος πιστοὶ βασιλεῖς Ῥωμαίων.

»Τὸ ταῖς ἀγαθαῖς πράξεσιν ἐπακολουθεῖν καὶ ταύταις ἐπικουρεῖν βασιλικῆς ἐστιν ἀληθῶς προνοίας καὶ ἀγχινοίας, ὡς ἂν μόνιμον ᾖ τὸ ἀγαθὸν καὶ ἀναλλοίωτον εἰς ἀεί. Διά τοι τοῦτο τῶν πρὸ ἡμῶν βεβασιλευκότων χρυσόβουλλον ἐπιδεδωκότων τοῖς ἐν τῷ Ἄθωνι ἀσκηταῖς,
τοῦτο καὶ ἡμεῖς, ἡ ἡμετέρα ἐπισκεψαμένη καὶ ‖ ἀποδεξαμένη βασι- σ. 209
λεία, διὰ τοῦ παρόντος αὐτῆς εὐσεβοῦς ἐπικυροῖ χρυσοβουλλίου λόγου, τοῦ παραφυλάττεσθαι πάντας τοὺς ἐν τῷ Ἄθω ὄρει σχολάζοντας θείους ἄνδρας ἐν διαφόροις κατασκηνώσεσι· καὶ πρὸς τούτοις καὶ τὴν Κολοβοῦ Ἰωάννου νεουργηθεῖσαν μονὴν τῆς τοιαύτης προνοίας καταπολαύειν καὶ κατέχειν τὴν ἐνορίαν Ἱερισσοῦ καὶ μόνον καὶ ἁπλῶς πᾶν εἴ τι ἕτερον ἐν τῷ αὐτῷ χρυσοβουλλίῳ ἀναγράφεται ἀπαραποίητον διαφυλάττεσθαι, μήτε προσθήκης, μήτε ἀφαιρέσεως τῆς οἱανοῦν γενομένης· πλὴν τοῦτο διοριζόμεθα, ἵνα ἡ ἐμφερομένη ἐν τῷ αὐτῷ χρυσοβουλλίῳ ἀρχαία τῶν γερόντων Καθέδρα (α) ἀπαρενοχλήτως διατηρῆται ἀπὸ πάσης ἐπηρείας ἀγγαρείας καὶ ζημίας τῆς ὡς εἰκὸς γενομένης παρά τε ἐπισκόπων καὶ ἀρχόντων καὶ ἄλλου παντός, καθὼς ἦν καὶ ἐξ ἀρχῆς, ὡς βεβαίου καὶ ἀσφαλοῦς χρηματίζοντος

(α) Ἡ Καθέδρα τῶν γερόντων εὑρίσκετο ἐν τῷ νῦν Μετοχίῳ τῶν Ἰβήρων τὸ καλούμενον Πυργούδια· ἦτο δὲ κάθισμα κοινὸν τῶν Ἁγιορειτῶν πρὸς ἀνάπαυσιν τῶν γερόντων μοναχῶν καὶ τόπος κοινὸς εἰς ὃν συνήρχοντο διὰ τὰς καταδρομὰς τῶν θαλασσοπειρατῶν· ὕστερον δὲ ἔγιναν ταῖς Καρυαῖς κελλία, καὶ ὁ Πρῶτος τοῦ ὄρους διέτριβε. Καρυαῖς δὲ εὑρίσκεται γεγραμμένον καὶ οὐχὶ Καραῖς, ἐκ τῶν φυτῶν λεπτοκαρύων τὴν κλῆσιν λαβοῦσαι· καὶ Λαύρα κελλιωτικὴ ἐκαλεῖτο, ὅτι εἰς διάφορα κελλία ἡσύχαζον ἰδίως μοναχοί. Ἡ δὲ καθέδρα τῶν γερόντων διὰ τὸ θερμότερον μέρος πρὸς παρηγορίαν οἱ ἀσθενεῖς ἡσύχαζον ἵνα ἔχωσι καὶ παρηγορίαν ἐκ τῶν πλησιαζόντων χωρίων, καθὼς οἱ Θεσσαλονικεῖς ἄρχοντες διεχώρισαν.

5. *ἐστὶν* 13. *ἐρισσοῦ* 18. *ἀγκαρίας* *εἰκώς* 22. *ἁγιωρειτῶν*

τοῦ παρόντος ἡμῶν εὐσεβοῦς χρυσοβουλλίου λόγου, γεγενημένου κατὰ τὸν Αὔγουστον μῆνα τῆς ἑβδόμης ἐπινεμήσεως, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ῥωμανὸς καὶ Κωνσταντῖνος, Στέφανος καὶ Κωνσταντῖνος πιστοὶ βασιλεῖς Ῥωμαίων πορφυρογέννητοι ,ϛυμβ'».

## Δήλωσις.

Ἀκολουθοῦντες τὴν χρονολογίαν, ἐπειδὴ τὰ προγραφέντα τρία χρυσόβουλλα εἶναι τὰ παλαιότερα, τὸ μὲν ἐν ἔτει 875, τὸ δὲ [8]90 καὶ τὸ ἕτερον 942, ἀκολούθως ὧδε τιθέμεθα καὶ τὸ πρῶτον Τυπικὸν τοῦ Ὄρους, γενόμενον κατὰ τὸ 971 ἔτος ἐπὶ τῆς βασιλείας Ἰωάννου Τζιμισκῆ· τὸ ὁποῖον ἔγινεν ἐξ αἰτίας τῶν πρωτείων, ὡς φαίνεται εἰς τὸν βίον τοῦ ὁσίου Ἀθανασίου τῆς Λαύρας· ὅτι ἐξ ἀπάτης καὶ ἁπλότητος ἐκινήθησαν κατὰ τοῦ ὁσίου Ἀθανασίου, καὶ ἀνῆλθον εἰς τὴν βασιλεύουσαν πρὸς τὸν βασιλέα Ἰωάννην ὅ,τε πρῶτος τοῦ ὄρους, Ἀθανάσιος καὶ οὗτος καλούμενος, καὶ ὁ Παῦλος Ξηροποταμίτης κατὰ τοῦ ἁγίου Ἀθανασίου τῆς Λαύρας, ὡς ὅτι παρέβη τὰ παλαιὰ ἤθη τῶν πατέρων τοῦ Ὄρους, καὶ ἔσπειρεν ἀγρούς, καὶ ἐφύτευσεν ἀμπελῶνας, καὶ εἰσήγαγε βόας κ. λ. π. Ὅθεν ἀπελθόντες καὶ ἐμφανισθέντες τῷ βασιλεῖ, ἐπληροφόρησεν αὐτὸν ὁ ἅγιος Ἀθανάσιος, ὅτι οὐχὶ ἐξ ἑαυτοῦ κινούμενος ἤγειρε τὴν Λαύραν, ἀλλ' ἐπειδὴ καὶ ὁ φονευθεὶς ὑπ' αὐτοῦ Νικηφόρος βασιλεὺς ἠνάγκασεν αὐτόν, σκοπὸν ἔχων τοῦ μονάσαι, καὶ ὁ ἄωρος αὐτοῦ θάνατος ἐκώλυσεν αὐτόν. Ταῦτα μαθὼν ὁ Τζιμισκῆς, καὶ τυφθεὶς τὴν συνείδησιν ὁ φονεὺς ἐκείνου γενόμενος καὶ τοῦ μονάσαι αὐτὸν κωλύσας φιλαρχίας ἕνεκα, οὐ μόνον ἀθῶωσε τὸν Ἀθανάσιον, ἀλλὰ καὶ ἀνέλαβε τὴν φροντίδα τῆς Λαύρας εἰς ἐξιλέωσιν τοῦ φόνου ὁποῦ ἔπραξε· καὶ ἐπρόσθεσε καὶ ἕτερον πολέμιον τοῦ δοθέντος παρὰ Νικηφόρου· καὶ τὰ λοιπὰ τῆς οἰκοδομῆς τῆς Λαύρας ἐτελείωσε, καὶ τὸν μέγαν πύργον αὐτὸς ἐκ βάθρων ἤγειρεν, οὗ καὶ τὸ ὄνομα σώζει, πύργος τοῦ Τζιμισχῆ καλούμενος ἕως τοῦ νῦν.

1. *χρυσοβουλίου* 7. *πλαλαιότερα* *90* 22. *Τζιμισχής* 27. *ἤγειρε* 28. *ἕως*



## 11.

### Ἐκ τοῦ Τράγου (ἤτοι μεμβράνης ἐκ δέρματος τράγου κατασκευασθείσης) ὑπόμνημα περὶ τῆς τοῦ Ὄρους Ἄθω καταδρομῆς ὑπὸ τῆς ἀφίξεως Μιχαὴλ πρώτου τῶν Παλαιολόγων καὶ Βέκκου πατριάρχου μετὰ στρατοῦ Λατίνων καὶ τῶν ὅσων κακῶν ἐν αὐτῷ διεπράξαντο *.

Μιχαὴλ τοῦ πρώτου τῶν Παλαιολόγων τὸ ῥωμαϊκὸν σκῆπτρον διέποντος καὶ ὁρῶντος αὐτὸ ἄκρως ταπεινωθὲν διὰ τὸ ὑπὸ Ἀγαρηνῶν καὶ Βουλγάρων ἐξ ἀνατολῶν καὶ δυσμῶν ἑκατέρωθεν πολεμούμενον βουλὴν πονηρὰν καὶ θεῷ ἀπαρέσκουσαν βουλευσάμενος σὺν τῷ τότε πατριαρχοῦντι Ἰωάννῃ τῷ Βέκκῳ τῷ λατινόφρονι, ὥστε προστεθῆναι τῷ λατινικῷ φρονήματι ἐπὶ προφάσει μὲν δῆθεν τῆς τῶν ἐκκλησιῶν εἰρήνης καὶ τοῦ βοηθείας ἐκεῖθεν λατινικῆς τυχεῖν κατὰ τῶν αὐτῷ ἐπανισταμένων καὶ μᾶλλον φοβούμενος Κάρολον τὸν αὐτοκράτορα Γαλλίας, παρὰ τοῦ πάπα τότε στεφθέντος, πρὸς ὃν Βαλδουῖνος ὁ τυραννικῶς βασιλεύσας ἐν Κωνσταντινουπόλει διωχθεὶς κατέφυγε, ζητῶν βοήθειαν τοῦ ἐπανελθεῖν καὶ ἐπαναλαβεῖν τὸ βυζάντιον σκῆπτρον. Ὅθεν καὶ πάντας ἔσπευσεν εἰς κρημνὸν ἑλκῦσαι τῆς τοιαύτης παπι-

* Περιλαμβάνεται πλὴν ἄλλων κωδίκων ἐν σ. 281-285 τοῦ ὑπ' ἀρ. 282 κώδικος τῆς ἐν Ἁγίῳ ὄρει μονῆς Ἁγίου Παντελεήμονος, ἐξ οὗ ἐξεγράφη τῷ 1895 ὑπὸ τοῦ συνοδεύοντός με εἰς τὸ Ἅγιον ὄρος κ. Ἀδαμ. Ἀδαμαντίου, ἀντιβληθὲν ὑπ' ἐμοῦ. Κατὰ τοῦτον δὲ τὸν κώδικα καὶ ἐκδίδεται ἐνταῦθα. Ὁ δὲ ἀναγνώστης πρέπει ν' ἀντιβάλῃ αὐτὸ πρὸς τὴν ἔκδοσιν τοῦ *Ἀνδρονίκου Δημητρακοπούλου* (Ὀρθόδοξος Ἑλλάς. Ἐν Λειψίᾳ. 1868) καὶ τὴν τοῦ κ. *Μανουὴλ Γεδεὼν* (Ὁ Ἄθως σ. 139 κ. ἑ., μὴ σημειοῦντος τὸν κώδικα, ἐξ οὗ ἐξέδωκε τὸ κείμενον τοῦτο, ὑποσημειοῦντες δὲ τὰς πρὸς τὴν ἔκδοσιν τοῦ Δημητρακοπούλου διαφοράς. Ὅπου μόνον ἀπαραίτητον παραθέτων ἐν ταῖς ὑποσημειώσεσι τὰς γραφὰς τῶν δύο προτέρων ἐκδόσεων, τὴν μὲν τοῦ Δημητρακοπούλου ἐδήλωσα διὰ τοῦ Δ, τὴν δὲ τοῦ Γεδεὼν διὰ τοῦ Γ, τὸν δὲ ἁγιορειτικὸν κώδικα διὰ τοῦ Α.

2. *διέποντος* Α 4. *βουλευσάμενος* ΓΔ : *βουλισάμενος* Α 7. *τυχεῖν* ΓΔ : *λαβεῖν* Α 9. *Βαλδουῖνος* ἔγραψα : *Βαλδουῖνος* Α : *Βαλθουῖνος* ΓΔ

κῆς αἱρέσεως, ὅπως ἕξῃ τὴν εὔνοιαν τοῦ πάπα, ἐξαιρέτως δὲ τοὺς ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω, Ὀλυμπόν τε καὶ Γαλήσιον οἰκοῦντας μοναχούς· ἀλλ᾽ ἐκεῖνοι μὲν ἀπεκρούσαντο διὰ τῆς δογματικῆς καὶ ἐλεγκτικῆς ἐπιστολῆς, ἣν πρὸς αὐτὸν ἐξαπέστειλαν· ὁ δὲ παραλαβὼν τὸν αὐτοῦ ὁμόφρονα πατριάρχην σὺν ἑτέροις ἄλλοις ἀπῆλθεν εἰς Ἰταλίαν πρὸς τοὺς Λατίνους σ. 282 || καὶ προςτεθεὶς τῇ ἐκείνων αἱρέσει καὶ τοῖς ἀλλοκότοις δόγμασιν, ἕνωσιν δῆθεν πεποίηκε καὶ ταραχοποιὸν εἰρήνην, ἥτις ἐπὶ ὀκταετίαν τὰς ἐκκλησίας πάσας ἐτάραξεν, ὡς ἐν τῷ Τόμῳ τῆς ἱερᾶς συνόδου τῆς ἐπὶ Ἀνδρονίκου τοῦ βασιλέως συγκροτηθείσης συνδιείληπται.

Ἐπαναζεύξαντος δὲ αὐτοῦ εἰς τὰ ἴδια μετὰ τῆς προςληφθείσης αὐτῷ ἐκεῖθεν σαθρᾶς δυνάμεως καὶ συχνῆς ἐπικουρίας (θαλασσοπορῶν γὰρ ἦν) ἐν παρόδῳ προσέβαλε τῷ τοῦ Ἄθωνος ἁγιωνύμῳ ὄρει, προθυμούμενος καὶ καραδοκῶν, ὅτι, εἰ τοὺς ἐν αὐτῷ μοναχοὺς συνεπομένους ἕξει τῷ ἑαυτοῦ φρονήματι καὶ τοὺς λοιποὺς πάντας ἀπόνως ἑλκύσει εἰς τὸν τῆς ἀπωλείας αὐτοῦ κρημνόν. Ὅθεν καὶ ἐν τῇ τοῦ Ἁγίου Ἀθανασίου Λαύρᾳ ἐλθών, οἱ ἐν αὐτῇ οἰκοῦντες ἰδόντες φόβῳ καὶ δειλίᾳ, ὡς οὐκ ἔδει, ληφθέντες ἢ μᾶλλον φιλοψυχήσαντες καὶ προκρίναντες οἱ τάλανες τῶν αἰωνίων τὰ πρόςκαιρα, καὶ ὡς ὁ Δημᾶς ἀγαπήσαντες τὸν νῦν αἰῶνα, καὶ χωρὶς βασάνων καὶ ἀπειλῶν θᾶττον ὑπέκυψαν, προδόντες τὴν ἑαυτῶν εὐσέβειαν, καὶ μετὰ φώτων καὶ ὕμνων καὶ προπομπῆς τοῦτον ἐδέξαντο, ὡς μωμητὰ τέκνα, υἱοὶ παράνομοι καὶ ἀλλότριοι τοῦ ἑαυτῶν πατρὸς Ἀθανασίου· καὶ ἐν τῷ Κυριακῷ λειτουργήσαντες ἀνιέρως μετὰ τῶν σὺν αὐτῷ Λατίνων καὶ λατινοφρόνων, τὴν ἀναφορὰν μετὰ ἀζύμων τῶν αἱρετιζόντων ἐποιήσαντο, τοῦ πάπα λέγω δὴ καὶ τοῦ πατριάρχου σὺν τῷ βασιλεῖ. Εἶτα ἐκεῖθεν ἀπάρας ἐν τῇ τῶν Ἰβήρων κατήχθη σεβασμίᾳ μονῇ, τὰ αὐτὰ δρᾶσαι βουλόμενος. Ἀλλ᾽ ἐψεύσθη τῆς ἐλπίδος ὁ μάταιος· οἱ γὰρ ἐν αὐτῇ οἰκοῦντες καὶ ἀσκοῦντες ὁσιώτατοι μοναχοὶ οὐκ ἐνέδωκαν τῇ δειλίᾳ, οὐδὲ ὑπήχθησαν τῷ τῆς Λαύρας πονηρῷ ὑποδείγματι· ἀλλ᾽ ἀντέστησαν στερρῶς καὶ ἀνενδότως, καὶ ἐπὶ Κύριον πεποιθότες ὡς σ. 283 ὄρος Σιών, οὐκ ἐσαλεύθησαν, ἀντεχόμενοι || τῶν ἀποστολικῶν καὶ πατρικῶν παραδόσεων, ἐλέγξαντες ἀποτόμως τὸν δυςσεβῆ βασιλέα καὶ τοὺς τούτου ὁμόφρονας ὡς αἱρετικοὺς καὶ παρανόμους. Ὁ δέ, μὴ

1. *αἱρέσεως* A 6. *αἱρέσει* A 8. *ὀκταετείαν* 10. *συνδιήληπται* A 21. *θάττον* A 22. *ἡοὶ* 25. *αἱρετιζόντων* A 28. *δράσαι*



ἐνεγκὼν τοὺς ἐλέγχους, διεῖλεν αὐτοὺς εἰς δύο, καὶ τοὺς μὲν ἐκ τοῦ ἰβηρικοῦ γένους ὄντας ἐν τῇ Ἰταλίᾳ ἐξώρισε, τοὺς δὲ λοιποὺς ἐν τῷ τῆς μονῆς πλοίῳ βαλών, ἐκέλευσε τῆς γῆς ἀποστάντας τοὺς αὐτοῦ ὑπασπιστὰς διατρῆσαι τὸ πλοῖον καὶ τῷ βυθῷ παραπέμψαι. Καὶ οὕτως ἔτυχον τοῦ μακαρίου τέλους διὰ τῆς τοῦ ὕδατος πνιγμονῆς οἱ ἅγιοι ὁσιομάρτυρες καὶ ὁμολογηταί, τελέσαντες τὴν καλὴν ὁμολογίαν. Τὰ δὲ τῆς μονῆς πάντα διαρπάσαντες, ἔρημον αὐτὴν εἴασαν.

Ἀπάραντες τοίνυν ἐκεῖθεν ἐν τῇ τοῦ Βατοπεδίου ἱερᾷ καὶ μεγάλῃ μονῇ, καὶ εἰςελθὼν ὁ βασιλεὺς ἐν αὐτῇ, τὰ ὅμοια ἦν ἀπαιτῶν τῇ προλαβούσῃ, τῇ τῆς αἱρέσεως δηλαδὴ ἑνώσει καὶ τῇ ἀναφορᾷ τῶν αἱρετικῶν· ἀλλ᾽ οἱ ἐν αὐτῇ ἀσκούμενοι ὁσιώτατοι μοναχοὶ οὐχ ὑπεῖξαν οὐδὲ ἔδωκαν ἑαυτούς, ἀλλ᾽ ἀντέστησαν γενναίως, διελέγχοντες τὴν ἐκείνων παράνοιαν γραφικαῖς ἀποδείξεσι. Διὸ καὶ τῇ ἐνστάσει αὐτῶν αἰσχυνθεὶς ὁ δυςσεβὴς βασιλεὺς ἐκέλευσε πάντας αὐτοὺς ἀπαχθῆναι ἐν γεωλόφῳ τινὶ ἔγγιστά που τῆς μονῆς· καὶ οὕτω διὰ τῆς ἀγχόνης τὸν μακάριον ὑπέστησαν θάνατον οἱ μακάριοι ὁμολογηταί, ἀπολαβόντες τὴν μακαρίαν καὶ ἀΐδιον ζωὴν ἀντὶ τῆς προςκαίρου. Τὰ δὲ τῆς μονῆς πάντα σκυλεύσαντες καὶ ἀφανίσαντες ἠρήμωσαν. Δώδεκα δὲ τῶν ἱερομονάχων λογίους ἔξωθεν τῆς μονῆς ἀπηγχόνισαν· Εὐθύμιον δὲ τὸν ἡγούμενον δήσαντες ἁλύσει, πέραν τῆς θαλάσσης εἰς τόπον παραθαλάσσιον Καλαμίτζιον καλούμενον ἐπάνω ὑφάλου πέτρας ἐάσαντες, ἀπεπνίγη ὁ ἀοίδιμος καὶ οὕτως ἔλαβε τὸν τοῦ μαρτυρίου στέφανον.

Μετὰ δὲ ταῦτα ἀπῆλθεν ἐν τῇ ἱερᾷ μονῇ τοῦ Ζωγράφου ἐπιλεγομένῃ· οἱ δὲ ἐν αὐτῇ θεοφιλέστατοι μοναχοί, τὸν ἀριθμὸν ὄντες κϛ´, ἀπέκλεισαν ἑαυτοὺς ἐν τῷ τῆς μονῆς πύργῳ, || κἀκεῖθεν ἤλεγχον αὐ- σ. 284 τὸν τοῖς ῥήμασιν ὡς βέλεσι βάλλοντες, αἱρετικοὺς καὶ παρανόμους αὐτοὺς ἀποκαλοῦντες. Ὁ δὲ παράνομος βασιλεύς, κελεύσας τοὺς ὑπ᾽ αὐτὸν συλλέξαι πλῆθος φρυγάνων καὶ κατακαῦσαι αὐτοὺς σὺν τῷ ὀχυρώματι, καὶ οὕτω τὸν διὰ πυρὸς ὑπέστησαν θάνατον οἱ μακάριοι ὁσιομάρτυρες κατὰ τὴν δεκάτην τοῦ Ὀκτωβρίου μηνός.

Ἐξελθὼν δὲ ἐκεῖθεν, κατέλαβε τὴν τῶν Καρυῶν κελλιωτικὴν Λαύραν, ἔνθα καὶ τὸ τοῦ Ὄρους πρωτεῖον ἵδρυται· ὁ δὲ πρωτεύων καὶ οἱ σὺν αὐτῷ ἀντέστησαν αὐτῷ γενναίως, τοῖς προλαβοῦσιν ὁμοίως

4. *διατρῆσαι* 8. *Βατοπαιδίου* 10. *αἱρέσεως* A 10-11. *αἱρετικῶν* 11. *ὑπεῖξα* ἔγραψα : *ὑπῆξαν* A : *ἐνέδωκαν* ΔΓ 15. *ἔγγιστά που* ΔΓ : *ἐγγιστάπου* 19. *ἀπηγχόνησαν* A 20. *ἁλύσει* A : *ἀλύσει* ΓΔ 21. *Καλαμήτζιον* A : *Καλλαμίτζιον* ΓΔ 26. *αἱρετικοὺς* A 28-29. *ὀχειρώματι* A

ἐλέγχοντες αὐτόν· ὁ δὲ εἰς ὀργὴν κινηθεὶς ἐκέλευσε πάντας αὐτοὺς μαχαίρας ἔργον γενέσθαι· καὶ οὕτως ἐτελειώθησαν οἱ ἅγιοι ὁμολογηταί. Τὴν δὲ ἐκκλησίαν πυρπολήσας καὶ τὰ τῶν μοναχῶν σκηνώματα λῃσάμενος, τὸν βουνὸν ὑπερβὰς, ἐν τῇ τοῦ Ξηροποτάμου λεγομένῃ μονῇ ἀφίκετο. Οἱ δὲ ἐν αὐτῇ οἰκοῦντες, συσχεθέντες φόβῳ καὶ ἀντὶ τῶν αἰωνίων τὰ πρόσκαιρα προτιμήσαντες, ὡς ὁ τῶν ἁγίων Τεσσαράκοντα ἔκπτωτος, ἐπὶ κακῷ τῷ τῆς Λαύρας ζηλώσαντες ὑποδείγματι, ὁμοίως αὐτὸν ὑπεδέξαντο μετὰ φώτων καὶ κρότων καὶ μεγάλης τιμῆς. Εἶτα ἐν τῷ ναῷ εἰσελθόντες ὁμοῦ τὴν λειτουργίαν τῶν Ἀζυμιτῶν ἐτέλεσαν, τοὺς αἱρετίζοντας μνημονεύσαντες. Ὁ δὲ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν Κύριος, θᾶττον συσσείσας μετ' ἤχου, τὸν μὲν ναὸν κατέβαλε καὶ τοὺς ἐν αὐτῷ ἱερεῖς τῆς αἰσχύνης κατέχωσε καὶ τὰ τῆς μονῆς τείχη ἀνέτρεψεν, ἕνα μόνον καταλιπὼν ἐκ τῶν τοίχων κεκλιμένον καὶ αὐτὸν εἰς σημεῖον ταῖς μετέπειτα γενεαῖς. Ὁ δὲ βασιλεὺς καὶ οἱ σὺν αὐτῷ, ταῦτα ἰδόντες καὶ αἰσχυνθέντες, τὰ πρόσωπα σ. 285 ἐντροπῇ καλύψαντες, ταῖς ναυσὶν ἐπιβάντες, τὰ ἴδια κατέλαβον || εἰς τἀνάθεμα· ταῦτα δὲ πάντα κατὰ τὸ 1280 ἔτος συνέβησαν.

Τούτων δὲ ἀπελθόντων, καιροῦ λαβόμενοι οἱ μοναχοί, ὅσοι κρυπτόμενοι κατελείφθησαν ἐν τοῖς δασυτέροις τόποις, φυγόντες διὰ τὸν φόβον αὐτῶν, ἐξελθόντες ἀπῆλθον ἐν τοῖς ἰδίοις σκηνώμασι, καὶ τοὺς ὑπ' ἐκείνων κτανθέντας εὑρόντες συνέστειλαν καὶ τῇ ὁσίᾳ ταφῇ παραδεδώκασι, τὰ τοῦ Δαβὶδ εὐκαίρως ἐπᾴδοντες «Ὁ θεὸς ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς».

Μετὰ δὲ ταῦτα ἐπέλαμψε τὸ τῆς ἀληθείας φάος ταῖς τοῦ Χριστοῦ ἐκκλησίαις· τὴν γὰρ ψωριῶσαν τῆς Ῥώμης ἐκκλησίαν ἐκ τῆς ποίμνης τοῦ Χριστοῦ ἀποσκορακίσαντος τοῦ εὐσεβοῦς βασιλέως Ἀνδρονίκου τοῦ Παλαιολόγου, τοῦ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντος Ἀντωνίου μοναχοῦ, τὸ πατρικὸν ἀναδεξαμένου σκῆπτρον, πολὺν δὲ ζῆλον ὑπὲρ τῆς εὐσεβείας καὶ τῶν ὀρθῶν δογμάτων τρέφοντος· ὃς καὶ σύνοδον οἰκουμενικὴν συναθροίσας καὶ τὸν Βέκκον τοῦ θρόνου καθελὼν καὶ τῷ ἀναθέματι παραδοὺς σὺν τοῖς μετ' αὐτοῦ εἰρήνην ταῖς ἐκκλησίαις μετὰ θεὸν ἐπρυτάνευσε, καθὼς ἐν τῷ Τόμῳ τῆς ἁγίας αὐτοῦ Συνόδου πλατύτερον περιέχεται. Οὗτος καὶ τὴν τοῦ Ξηροποτάμου μονὴν ἐκ βάθρων ἀνήγειρεν, ἀλλ' οὐκ ἔτι προσέφυ τὸ μανιτάριον, ὅπερ ἐν τῇ μνήμῃ τῶν ἁγίων Μ' μαρτύρων ὑποκάτωθεν τῆς ἁγίας Τραπέζης κατ' ἔτος αὐτομάτως ἐφύετο, διὰ τὸ βεβηλωθῆναι τὸ ἅγιον θυσιαστήριον ὑπὸ τῶν εἰρημένων λατινοφρόνων.

Ἡ δὲ τοῦ Βατοπεδίου μονὴ ὑπὸ Στεφάνου τοῦ τῆς Σερβίας δεσπότου ἀνεκαινίσθη, καὶ ἡ ἐν αὐτῇ σεβασμία εἰκὼν τῆς ὑπεραγίας Θεοτόκου ἐκοσμήθη· ἡ δὲ τοῦ Ζωγράφου καὶ τὰ ἐν τῷ Πρωτάτῳ τῶν Καρεῶν ἀφανισθέντα ὑπὸ τῶν τῆς Βουλγαρίας κρατούντων ἀνεκαινίσθησαν.

Εὐξώμεθα οὖν καὶ ἡμεῖς ἐκτενῶς τῷ Κυρίῳ, ἵνα διὰ πρεσβειῶν τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου, συμπρεσβευόντων καὶ τῶν ὁσίων πατέρων ἡμῶν καὶ ὁμολογητῶν (ὧν ἡ παροῦσα διήγησις), σκεπάσῃ ἡμᾶς ἀτρώτους ἐκ τῆς ἰταλικῆς σκοτομήνης. Ἀμήν.

("Επεται τὸ τέλος)

3. *πυρπολήσας* ΔΓ : *πυρπολήσας* διορθωθὲν εἰς *πυρπολήσαν.ες* Α 4. *λῃϊσάμενος* ΔΓ : *λυϊσάμενος* 10. *αἱρετίζοντας* ΔΓ : *αἱρετίζοντες* Α 15. *αἰσχυνθέντες* ΔΓ : *αἰσχυνθέντος* Α 19. *κατελείφθησαν* ΔΓ : *κατειλήφθησαν* Α 22. *ἤλθοσαν* ΔΓ : *ἤλθωσαν* Α 24. *θνησιμαῖα* ΔΓ : *θνησιμαία* Α 30. *μετονομασθέντος* ΔΓ : *μετωνομασθέντος* Α *ἀναδεξαμένου* ἔγραψα : *ἀναδεξάμενος* Α : *διαδεξαμένου* ΔΓ

1. *ὃς* ΔΓ : *ὃν* Α 7. *ὑποκάτωθεν* ΔΓ : *ὑπὸ κάτωθεν* Α 18. *σκοτομήνης* ΔΓ : *σκωτομήνης* Α

## ΤΡΙΑ ΚΕΙΜΕΝΑ ΣΥΜΒΑΛΛΟΝΤΑ ΕΙΣ ΤΗΝ ΙΣΤΟΡΙΑΝ ΤΟΥ ΝΑΥΤΙΚΟΥ ΠΑΡΑ ΤΟΙΣ ΒΥΖΑΝΤΙΝΟΙΣ

Ἀξιόλογος συμβολὴ εἰς τὰ κατὰ τὸ βυζαντιακὸν ναυτικόν, περὶ οὗ δυστυχῶς ὀλίγας ἔχομεν καὶ ἀνεπαρκεῖς εἰδήσεις, εἶνε τὰ κατωτέρω ἐκδιδόμενα τρία κείμενα.

Τούτων τὸ πρῶτον (Α΄), ἀναφερόμενον εἰς τὴν καταμέτρησιν τῶν πλοίων, περισώζεται ἐν φ. 88β - 91α τοῦ ὑπ' ἀρ. 367 ἑλληνικοῦ Παλατίνου κώδικος τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ, γεγραμμένου τὸν ιγ΄ αἰῶνα, ἐξ οὗ καὶ ἄλλα ἐξεδώκαμεν ἤδη ἀξιόλογα κείμενα [1], ἐπιφυλασσόμενοι νὰ ἐκδώσωμεν καὶ ἕτερα. Συσχετιστέον δὲ τὸ κείμενον τοῦτο πρὸς τὸ ἐν τῷ ἀρχείῳ τῆς ἐν Πάτμῳ μονῆς χρυσόβουλλον τοῦ Ἰωάννου Παλαιολόγου τὸ ἐκδεδομένον ὑπὸ τοῦ Ἰωάννου Σακκελίωνος [2]. Δεῖται δὲ ἡ ἑρμηνεία τοῦ βατικανικοῦ κειμένου, περιέργου δι' ἄλλα τε καὶ τοὺς ἐν αὐτῷ ποικίλους καὶ ἐν πολλοῖς πρωτοφανεῖς καὶ δυσερμηνεύτους ὅρους [3], πολλῆς μελέτης εἰδικοῦ περὶ τὰ ναυτικὰ ἀνδρός [4].

Τὰ δὲ δύο ἄλλα κείμενα ἐλήφθησαν ἐκ τοῦ κώδικος 135 τῆς Μαρκιανῆς βιβλιοθήκης, ὄντος τῶν ἀνηκόντων ποτὲ εἰς τὸν καρδινάλιον Βησσαρίωνα, ἐν φ. 420β - 423β. Καὶ εἶνε μὲν ὁ κῶδιξ οὗτος γεγραμμένος τὸν δέκατον τρίτον αἰῶνα, ἀλλὰ τὸ κείμενον ἀνέρχεται προφανῶς εἰς πολὺ ἀρχαιότερον χρόνον,

1 Ἴδε Νέου Ἑλληνομνήμονος Τόμ. Ε΄ σ. 43 κ. ἑ. Τόμ. ς΄ σ. 32 κ. ἑ.

2 Ἴδε Πανδώρας Τόμ. ΙΗ΄ σ. 225, 464 καὶ Miklosich—Müller Acta et diplomata Τόμ. ς΄ σ. 122 κ. ἑ.

3 Σὺν τοῖς ἄλλοις παρατηρητέον, ὅτι ὁ κῶδιξ μέχρι μέν τινος γράφει *μεγαρικόν*, εἶτα δὲ *μαγαρικόν* ἢ καὶ *μακαρικόν*, ἐγὼ δ' ἔγραψα ἀπανταχοῦ *μεγαρικόν*. Ὁμοίως δ' ἐν τῷ κώδικι ἀλλαχοῦ μὲν γράφεται *πρώρας*, ἀλλαχοῦ δὲ *πρώρης*, ἐτήρησα δ' ἀμφοτέρους τούτους τοὺς τύπους.

4 Ἀξιόλογος εἶνε ἡ μελέτη τοῦ κ. *Μ. Γούδα* Ἡ καταμέτρησις τῶν ἐμπορικῶν πλοίων κτλ. κατὰ τοὺς Βυζαντηνοὺς χρόνους ἐν τῇ Βυζαντίδι Τόμ. Α΄ τεῦχ. α΄. Ἐν Ἀθήναις 1909.



καὶ δὴ εἰς τὰς ἡμέρας καθ' ἃς ἐθαλασσοκράτουν ἐν τῷ νοτίῳ Αἰγαίῳ καὶ τῇ Συρίᾳ οἱ Σαρακηνοί, καθιστῶντες ἐπικίνδυνον τὸν πλοῦν εἰς τοὺς Βυζαντίνους, ἄρα εἰς τὸν δέκατον περίπου ἢ ἑνδέκατον αἰῶνα. Περιέχουσι δὲ τὰ κείμενα ταῦτα τὰ πορίσματα τῆς θαλασσίας πείρας τῶν ἐν τοῖς νοτίοις τῆς Μικρᾶς Ἀσίας Κιβυρραιωτῶν καὶ Μαρδαϊτῶν.

Πράγματι τὸ μὲν θέμα Κιβυρραιωτῶν, οὕτω καλούμενον ἀπὸ τῆς πόλεως Κιβύρρας, κειμένης μὲν ἐν τῇ ἀρχαίᾳ Παμφυλίᾳ [1], ἀλλ' ἀνηκούσης εἰς τὸ θέμα Θρακησίων, ἤρχετο ἀπὸ τοῦ ὄρους Ταύρου καὶ κατέβαινεν εἰς τὴν θάλασσαν, περιλαμβάνον ὅλην τὴν παρ' ἀρχαίοις Κιλικίαν, μέγα μέρος τῆς Παμφυλίας, τὴν Λυκίαν καὶ τὸ πλεῖστον τῆς Καρίας μέχρι τῆς Μιλήτου [2]. Τῶν δ' εἰς τὸ αὐτὸ θέμα ἀνηκουσῶν νήσων αἱ σπουδαιόταται ἦσαν ἡ Ῥόδος, ἡ Κῶς καὶ ἡ Λέρος. Ἕνεκα δὲ τῆς παραθαλασσίου καὶ νησιωτικῆς θέσεως καὶ διὰ τὸ ἀσφαλὲς τῶν ἐν αὐτῷ κρυπτῶν λιμένων τὸ θέμα τοῦτο ἦτο τῶν ἐξαιρέτων σταθμῶν τοῦ βυζαντιακοῦ στόλου, ἰδίως ἀπὸ τῶν ἡμερῶν Λέοντος τοῦ Ἰσαύρου [3]. Ἐντεῦθεν δὲ περίβλεπτον ἦτο τὸ ἀξίωμα τοῦ διοικοῦντος τὸ θέμα *στρατηγοῦ τῶν* ***Κιβυρραιωτῶν***, ἐν ᾧ ἐν τοῖς χρόνοις τοῖς ἀρχαιοτέροις τοῦ Λέοντος οἱ Κιβυρραιῶται ἀπετέλουν ναυτικὸν δροῦγγον, διοικούμενον ὑπὸ ἰδίου δρουγγαρίου μέχρι τοὐλάχιστον τοῦ ἔτους 697 [4]. Εἶχον δ' ἐν τοῖς μετὰ ταῦτα χρόνοις καὶ τούτου τοῦ θέματος οἱ στρατηγοί, ὡς συνήθως οἱ τῶν ἄλλων σπουδαιοτέρων θεμάτων [5], τὸν στρατιωτικὸν βαθμὸν πρω-

1 Πρβλ. Tafel Dissertatio de Constantino Porphyrogenneto σ. 7.— Rambaud L'empire byzantin. Ἐν Παρισίοις. 1870. H. Gelzer Die Genesis der byzantinischen Themenverfassung. Ἐν Λειψίᾳ, 1899 σ. 34.

2 *Κωνσταντίνου Πορφυρογεννήτου* Περὶ θεμάτων ἐκδ. Βόννης σ. 38, 18.

3 *Κωνσταντίνου Πορφυρογεννήτου* Περὶ θεμάτων ἐκδ. Βόννης σ. 36, 15 κ. ἑ. Gelzer ἔνθ' ἀν. σ. 33.

4 Gelzer ἔνθ' ἀν. σ. 33. *Σπυρ. Π. Λάμπρου* Ἱστορία τῆς Ἑλλάδος Τόμ. Δ΄ σ. 357.

5 Αὐτόθι σ. 458.

τοσπαθαρίου, ἀντιστοιχοῦντα πρὸς τὸν σημερινὸν βαθμὸν ἀντιστρατήγου.

Διὰ ταῦτα εὐνόητον εἶνε πῶς παρὰ στρατηγοῦ τῶν ἐμπειροθαλάσσων Κιβυρραιωτῶν ἠδύνατο νὰ προέλθῃ πραγματεία οἵα ἡ κατωτέρω ὑπὸ στοιχεῖον Γ' ἐκδιδομένη, ἐν ᾗ περισυνελέχθησαν τὰ πορίσματα τῶν παρατηρήσεων τῶν ναυτικῶν τοῦ θέματος ἐν τελείᾳ ἐπιγνώσει οὐ μόνον τῶν κατὰ τὴν θάλασσαν, ἀλλὰ καὶ τῶν ἀπὸ τῶν Σαρακηνῶν κινδύνων. Μόνον δὲ λυπηρὸν εἶνε, ὅτι δὲν περιεσώθη τὸ ὄνομα τοῦ συγγραφέως. Τίς οἶδε μὴ οὗτος ἦτό τις τῶν στρατηγῶν ἐκείνων τοῦ θέματος, ὧν ἔχομεν καὶ σήμερον ἔτι σωζομένας τὰς σφραγίδας [1], ἢ καί τις τῶν δύο ἐκ τῶν γενναίων πρὸς τοὺς Ἄραβας ἀγώνων γνωστῶν στρατηγῶν τῶν Κιβυρραιωτῶν, ὁ Κωνσταντῖνος Χαγὲ ὁ νικητὴς τοῦ 1035 [2] ἢ ὁ Κωνσταντῖνος Καβαλλούριος [3].

Ἐξ ὁμοίων δὲ λόγων ἐξηγεῖται καὶ ἡ προέλευσις τῆς ὑπὸ στοιχεῖον Β' ἐκδιδομένης κατωτέρω πραγματείας τῆς περιλαμβανούσης τὰς παρατηρήσεις τῶν Μαρδαϊτῶν. Ὤκουν δὲ οὗτοι τὰς παραλίας τῆς Πισιδίας καὶ Παμφυλίας καὶ τὰ περὶ τὸν Λίβανον [4]. Ἦσαν δὲ λαὸς ληστρικὸς ἅμα καὶ ναυτικός. Διὸ καὶ συνεσωρεύθησαν παρ' αὐτοῖς παντοῖαι ναυτικαὶ παρατηρήσεις, ὧν καρπὸς εἶνε ἡ εἰρημένη πραγματεία.

Καὶ δέονται μὲν καὶ τὰ δύο ταῦτα κείμενα ἰδίας ἐπεξεργασίας ὑπὸ ἔποψιν ναυτικήν. Ἀλλὰ καὶ εἰς τὸν ἀπειρότερον τῶν ναυτικῶν πραγμάτων εἶνε καταφανὴς τῶν κειμένων τούτων ἡ σημασία ὡς γνωριζόντων ἡμῖν νέα παρὰ τοῖς Βυζαντίνοις ναυτικοῖς ὀνόματα ζῳδίων καὶ ἄστρων ὡς καὶ ἀνέμων. Καὶ νέαι δὲ λέξεις προστίθενται ἐξ αὐτῶν εἰς τὸ ἑλληνικὸν λεξικόν, τὸ *ἀνεμοφθόρος* ἐνεργητικῶς, τὸ *ἀνεμοφόρος*, ἡ *βαθυστροφία*, ἡ *γαλλοία* (πρβλ. galera), τὰ *ἑπταγάληνα* ὡς λαϊκὴ ὀνομασία τῶν Ἀλκυονίδων ἡμερῶν, ἡ *καλοταρία*, ἡ *κακοταρία*, ὁ *κίρρος*, ὁ *παχνίτης*, ὁ *πεντηκοστάριος*, ἡ *πλειοδυσία* (δύσις τῶν Πλειάδων), ὁ *προδρομίτης*. Ἀξία δὲ παρατηρήσεως καὶ ἡ νέα σημασία τῶν λέξεων *ἀπολιβάζω*, *παθήματα*, *ῥήκτης* (ἄνεμος) καὶ *σταυρωτὴς* (ἄνεμος).

Καὶ ὑπὸ λαογραφικὴν δ' ἔποψιν εἶνε ἀξιοσημείωτον τὸ δεύτερον τῶν κειμένων τούτων ὡς γνωρίζον ἡμῖν διαφόρους πρὸς τὰς ἡμέρας τοῦ πλοῦ σχετιζομένας προλήψεις τῶν Βυζαντίνων ναυτικῶν. Μεταξὺ δὲ τούτων ἐξαίρετον ἔχει σημασίαν ἡ ἐν ταῖς ἀποφράσιν ἡμέραις μνεία τῆς Τρίτης, ἣν συνήθως οὐκ ὀρθῶς σχετίζουσι πρὸς τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως, συμπεσοῦσαν ἡμέραν Τρίτην [1].

Τέλος σημειωτέον, ὅτι τοῦ δευτέρου τῶν κειμένων μικρὸν μόνον μέρος ἐξεδόθη ὑπὸ τοῦ Ἰακώβου Morelli (Bibliotheca manuscripta. Ἐν Βασσάνῳ. 1802 σ. 218).

1 Ἴδε τὰς σωζομένας σφραγίδας στρατηγῶν τοῦ θέματος Κιβυρραιωτῶν παρὰ Schlumberger Sigillographie ds l'empire byzantin. Ἐν Παρισίοις. 1874 σ. 281 κ. ἑ.

2 *Κεδρηνοῦ* ἐκδ. Βόννης Τόμ. Α' σ. 514.

3 Αὐτόθι Τόμ Β' σ. 558. Πρβλ. Gfrörer Byzantinische Geschichten (Ἐν Graz. 1877. Τόμ. Β' σ. 281), ὅστις ταὐτίζει τὸν Χαγὲ πρὸς τὸν Καβαλλούριον.

4 *Θεοφάνους* ἐκδ. Βόννης σ. 542, 18.—*Κωνσταντίνου Πορφυρογεννήτου* Περὶ θεμάτων ἐκδ. Βόννης σ. 108, 3 καὶ 16, σ. 775.—*Τοῦ αὐτοῦ* Ἔκθεσις βασιλείου τάξεως ἐκδ. Βόννης σ. 654. 1 κ. ἑ. Πρβλ. τὰ σημειώματα τοῦ Reiske αὐτόθι Τόμ. Β' σ. 775.—*Ζωναρᾶ* XIV, 22, ἐκδ. *Λουδοβίκου* Dindorf (Ἐν Λειψίᾳ 1870 Τόμ. Γ' σ. 321).—*Κεδρηνοῦ* ἐκδ. Βόννης Τόμ. Α' σ. 765, 19. 771, 10.

1 Πρβλ. *Ν. Γ. Πολίτου* Διατί ἡ Τρίτη θεωρεῖται ἀποφρὰς ἡμέρα (*Σκόκου* Ἐθνικὸν ἡμερολόγιον τοῦ 1897 σ. 343 κ. ἑ.).

## Α΄.

### *Εἴδησις τῶν ἐξάμων τοῦ τε θαλασσίου μοδίου, τοῦ ἐλαϊκοῦ μέτρου, τοῦ οἰνηγοῦ, τοῦ σουαλίου καμπανοῦ καὶ τοῦ θαλασσίου τῆς ῥίγλας καὶ τοῦ ἐξάμου τῶν πλοίων πῶς ὀφείλουσιν ἐξαμώνεσθαι καὶ δηλοποιεῖσθαι αἱ τούτων χωρήσεις.*

Ὁ θαλάσσιος μόδης ὀφείλει χωρεῖν σίτου καθαροῦ καὶ ἀρρύπου λίτρας μ΄ ἢ φούκτας κϛ΄· ἡ γὰρ φούκτα ἡ κούμουλος ἡ λεγομένη ἀντλητὴ ἵστησι λίτρας αϛ΄΄. Ἡ ῥίγλα ὀφείλει εἶναι στρογγύλη χειρωμένη καὶ πύξινος. Τοῦ θαλασσίου καμπανοῦ ἑκατὸν λίτραι ἱστῶσιν μετὰ τοῦ σουαλίου καμπανοῦ λίτρας ρκε΄. Καὶ γὰρ κε΄ λίτρας ἀναδέρει ὁ θαλάσσιος πρὸς τὸν σουάλιον. Ὁ καμπανὸς τῆς πίσσης τοῦ καυσίμου ξύλου ὀφείλει ἔχειν σταθμὸν λίτρας φ΄ μετὰ τοῦ σουαλίου καμπανοῦ. Ἡ λογαρικὴ λίτρα ἔχει ἐξάγια οβ΄ οὐγγίας ιβ΄, ἡ οὐγγία ἐξάγια ϛ΄. Τὸ θαλάσσιον οἰνηγὸν μέτρον ὀφείλει εἶναι χωρήσεως οἴνου λίτρας λ΄ ἤγουν μηνῶν ι΄, τῆς μήνας ἱστώσης λίτρας γ΄. τὸ δὲ ἐλαϊκὸν μέτρον λίτρας λϛ΄ μετὰ τοῦ σουαλίου καὶ ἀμφό$^{τρ}$ καμπανοῦ πλὴν μετὰ ῥουσίου ἀδόλου καὶ ἀμφο$^{τρ}$ οἴνου ὀφείλουσιν ἐξαμώνεσθαι ἱστῶντος λίτρας λ΄ καὶ λβ΄, ὡς εἴρηται, διὰ τὸ εἶναι τὸν τοιοῦτον οἶνον βαρύτερον τοῦ ἄσπρου οἴνου. Καὶ λοιπὸν ὀφείλει εἰδέναι ὅτι τὸ μὲν οἰνηγὸν μέτρον ὀφείλει εἶναι χωρήσεως λίτρας λ΄ ἤγουν μηνῶν ι΄ τριλίτρου, τὸ δὲ ἐλαϊκὸν χωρήσεως λίτρας λϛ΄ μετὰ τοῦ ῥουσίου οἴνου, ὡς εἴρηται, τὸ δὲ καρέλλαιον (;) λίτρας λϛ΄.

### *Περὶ τοῦ ἐξάμου τῆς χωρήσεως τῶν πλοίων.*

Ὀφείλει ἀπὸ τῆς πρῴρας ἄχρι τῆς πρύμνης εἴτε τὸ ἅπαν μῆκος καὶ εὖρος τοῦ πλοίου ὑποστρῶσαι κατορδίνως κοῦφα συγκουφαρικά, ὅσα δηλαδὴ εὑρεθῇ χωροῦν τὸ μετρούμενον πλοῖον· εἶτα θεῖναι καὶ πρὸς τὸ ὕψος τοῦ τοιούτου πλοίου ἄχρι δηλονότι τῶν ζυγῶν αὐτοῦ ἐν οἷς ἐπίκειται τὰ ταβλία τοῦ πλοίου· ‖ πλὴν διὰ τὴν συντομίαν σ. 89α ἐφ' ἑνὶ τόπῳ τὸ ὕψος τοῦ πλοίου ὀφείλεις μετρῆσαι, ἐπάνω δηλαδὴ τοῦ ἑνὸς κούφου τιθεὶς, ἤγουν πρὸς τὴν κοιλίαν τοῦ κούφου ῥίζης τῶν ὠτίων τιθεὶς ἕτερον, καὶ ἐπάνω πάλιν τούτου ἕτερον ὡσαύτως ἄχρις ἂν ἐκ τῶν ζυγῶν, ὡς εἴρηται, ἐγγίσῃς εἴτε διστοίδην ἢ τριστοίδην ἢ τετραστοίδην ἢ πενταστοίδην ἢ καὶ πλεῖον πολλάκις εὑρεθῇ τὸ πλοῖον χωροῦν. Καὶ μεθ' ὃ τὴν θέσιν τῶν κούφων ἔν τε τῷ μήκει καὶ τῷ πλάτει καὶ τῷ ὕψει τοῦ πλοίου ποιήσεις ὡς ἐδιδάχθης, τότε ὀφείλουσι μετρῆσαι τὸν ἀριθμὸν τῶν τοιούτων κούφων ὅσος ἐστίν. Εἶτα κρατῶν τοῦτον, ὀφείλεις ἐξαπλασιάζειν αὐτὸν, καὶ ὅσα ἐκ τοῦ ἐξαπλασιασμοῦ ἀναδιβάσεις, τοσούτων μοδίων χωρήσεως τὸ πλοῖόν ἐστιν· καὶ γὰρ τὸ ἓν κοῦφον ἀντὶ ἓξ μοδίων σίτου λογίζεται.

Ὑπόδειγμα τοῦ πλοίου



Ἐν μὲν τῇ πρῴρῃ καὶ τῇ πρύμνῃ διὰ τὸ εἶναι στενότερα τὰ τοιαῦτα μέρη τοῦ πλοίου χωροῦν ἀνὰ κοῦφα δύο, ἐν δὲ προσώτερον ἀνὰ κοῦφα τρία καὶ ἐν τοῖς μεσαιτάτοις μέρεσιν ἀνὰ κοῦφα τέσσαρα, καθὰ δὴ καὶ τὸ σχῆμα τοῦ ἱστορηθέντος πλοίου δοκεῖ ὁμοῦ κοῦφα ιη΄. Εἶτα μετρῆσαι καὶ τὸ ὕψος· εὑρέθη τυχὸν χωροῦν ἄχρι τῶν ζυγῶν· περαιτέρω γὰρ οὐκ ὀφείλει μετρᾶν· τριστοίδην καὶ εὑρεθήσεται ἴσως, διὰ τὸ εἶναι ἐν τῇ ἀνωτέρῳ πλατύτερον, χωροῦν μεγαρικὰ κδ΄· εἶτα πάλιν τιθεὶς καὶ ἐπάνω ταῦτα ἑτέραν στοιβὴν εὑρεθέντων χωροῦν κοῦφα τριάκοντα διὰ τὸ καὶ αὖθις ἐν τῇ μέσῃ πλατύτερον εἶναι τὸ πλοῖον, ὥςπερ πάλιν ἐν τῷ τέλει τοῦ ὕψους ἔστι τὸ πλοῖον στενότερον ‖ καὶ σ. 89β

2. *οἰνογοῦ* 5. *ἀρύπου* 7. *ἵστησι* *χειρομένη* 8. *αἰκατὸν* 10. *πίσσης* 13. *ὀνηγὸν* *οἴνου* 14. *ἱστώσης* 16. *ἱστῶντος* 19. Μετὰ τὰς λέξεις *λίτρας λ΄* ἕπονται αἱ λέξεις *μετατοῦ ῥουσίου οἴνου ὡς εἴρηται* διαγεγραμμέναι 24. *κατ' ὀρδίνως*

1. *θῆναι* 3. *ἐπέκειται* 4. *ἐφ'* 5. *κούφου* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *κοῦφου* 9. *μεθὸ* *θέσιν* *τὸ μῆκος* 10. *τὸ πλάτος* 12. *εξαπλασιάζειν* *εκ* 13. *ἐξαπλασιασμοῦ* *τοσοῦτων* ἐκ τοῦ τὸ *τοσοῦτον* *πλοῖον* 15. *στενότερον* 17. *μεσετάτοις* 18. *ἱστορηθέντος* 19. *τυχὼν* ἐκ τοῦ *τυχῶν*

ἐν τῇ πρώρᾳ δηλαδὴ καὶ ἐν τῇ πρύμνᾳ· ἐν δὲ τοῖς μεσαιτάτοις μέρεσιν εὐρύτερόν ἐστιν καὶ πολυχωρότερον· ὅμως τὰ ιη' κοῦφα τῆς πρώτης στοιβῆς καὶ τὰ κδ' τῆς δευτέρας καὶ τὰ λ' τῆς τρίτης ἀναδιδάζονται κοῦφα οϐ'. Ταῦτα γοῦν τὰ οϐ' ἑξαπλασίασον, γίνονται υλϐ'. Ξυλῆς δὲ καυσίμου πισσῶν λίτρας C''· ἡ γὰρ πίσσα τοῦ ξύλου ἀνὰ δώδεκα μοδίους σίτου λογίζεται· καὶ ὀφείλεις εἰδέναι, ὅτι τὸ μὲν κοῦφον ἀντὶ ἓξ μοδίων σίτου λογίζεται, ἡ δὲ πίσσα τὰ ξύλα ἀντὶ δώδεκα μοδίων· καὶ οὕτως ψηφίζων εὑρήσεις ἑκάστου πλοίου τήν τε σιτηγήν, ξυληγὴν καὶ διὰ μεγαρικῶν χώρησιν ὅση ἐστίν. Εἶτα ὀφείλει τεθῆναι αὐτὰ εἰς τὴν εἰσαγωγὴν συνωνὴν βασιλικήν, ἄνευ δηλονότι δόσεως ναύλου ἀπὸ μὲν τῶν ἐσαβύδων τὸ ἥμισυ τῆς αὐτῆς χωρήσεως, ἀπὸ δὲ τῶν ἐξαβύδων τὸ τρίτον καὶ ἀπὸ τῶν ἐκεῖθεν τοῦ Ἱεροῦ δυτικῶν μερῶν τὰ ἥμισυ κατὰ τὰς περιλήψεις τῶν προστάξεων τῶν παλαιῶν βασιλέων καὶ τὸν παρακολουθήσαντα τύπον. Πλὴν ἔκπαλαι τῶν χρόνων οὔτε ἡ ἀντλία τοῦ πλοίου, ἐν ᾗ τὸ ἀπὸ τοῦ ἀέρος καὶ τῆς θαλάσσης εἰσερχόμενον ὕδωρ ἐν τῷ πλοίῳ ἐπισωρεύεται, ἐμετρᾶτο, οὔτε ἡ ἅπασα πρύμνα, ἀλλὰ διετηρεῖτο ἀμέτρητον εἰς ἀπόθεσιν τῶν ἐγκοίτων τῶν ναυτῶν καὶ τῶν σιδήρων καὶ σχοινίων, ἐπεὶ καὶ σχοινοθήκη λέγεται. Ὅταν δὲ μέλλεις ἐξαμῶσαι καὶ μετρῆσαι τὸ πλοῖον, ὀφείλεις προσέχειν ἵνα μὴ οἱ ἐν τῷ πλοίῳ ἐκβάλλωσι τοὺς ζυγοὺς τοῦ πλοίου τοῦ συνήθους καὶ ἐμβάλλωσιν ἑτέρους πρὸς τὰ χαμηλότερα μέρη τοῦ πλοίου, ὡς ἂν μὴ πλείονα κοῦφα ἐφ' ὕψους χωρήσῃ ἐκ τοῦ ὑψηλότερα τοὺς ζυγοὺς καὶ τὰ ταϐλία κεῖσθαι. Καὶ γὰρ ἔχουσι τόπον οἱ ναῦται, ὅταν μέλλῃ ἐξαμωθῆναι τὸ πλοῖον, ἐκβάλλειν τοὺς ζυγοὺς τοῦ πλοίου ἀφ' ὧν εἰώθασι κεῖσθαι τόπων καὶ ἢ αὐτοὺς παρακάτω τοῦ συνήθους τόπου καταϐιϐάζειν, ἤ, [ἂν] μὴ ἁρμόττωσιν οὗτοι, ἐμβάλλειν ἑτέρους ζυγοὺς πρὸς τὸ μὴ περισσότερα κοῦφα ἐφ' ὕψους τίθεσθαι καὶ ὀγκοφορεῖσθαι τὸν ἔξαμον τοῦ πλοίου. Καὶ ὀφείλεις τοῦτο προσέχειν ἐπιμελῶς. Εἰ δ' ἴσως
φ. 90α ἐθέλει κουφίσαι ‖ τὸ πλοῖον φιλοτίμως ἢ ἄλλως πως τὰ εἰς ὀξυτέλειον λήγοντα μέρη τοῦ πλοίου, τουτέστι τῆς πρώρης καὶ τῆς πρύμνης, οὐκ ὀφείλεις μετρᾶν, καὶ γενήσεται κουφότερος ὁ ἔξαμος τῆς χωρήσεως τοῦ πλοίου, τουτέστιν ἡ μέλλουσα αὐτῷ ἐπιτεθῆναι συνενή.

1. μεσαιτάτοις 2. εὐρύτερόν 5. πισσῶν λ'' πίσσα 7. ἐμβάλλωσιν ἀντὶ 9. ξυληγὴν 10. δόσεως 11. ἐσαβύδων 12. ἀπὸ τοῦ . . . δυτικοῦ 14. τύπον 20. ἐκβάλουσι 21. ἐμβάλωσιν χαμηλότερα 23. ταυλία μέλλει 25. παράκατω 25-26. καταβιβάζειν 26. ἁρμόττουσιν πρὸς τὰ 27. περισσότερα 29. ὀξυτέλαιον κουφῆσαι πῶς 30. λέγοντα 32. τουτέστιν



## *Ἕτερον ὑπόδειγμα τοῦ πλοίου.*

Ἔστω εἶναι τὸ πλοῖον χωροῦν ἐν τῇ πρώτῃ στοιβῇ ἐν τῇ πρώρᾳ
διὰ τὸ εἶναι ὀξύτερον καὶ στενότερον τὸ πλοῖον κοῦφα γ', ἐν τῷ προ-
σωτέρῳ μέρει ἐπὶ τρισὶν ἐγκοιλίοις ἀνὰ κοῦφα πέντε καὶ ἐν τῇ μέσῃ
ἐπὶ ἑτέροις τρισὶν ἐγκοιλίοις ἀνὰ κοῦφα ζ', καὶ πάλιν ἐπεὶ πρὸς τὰ
τῆς πρύμνης ἔφθασε μέρη καὶ ὀξύτερον καὶ στενότερόν ἐστι τὸ
πλοῖον, θῶμεν εἶναι μετὰ τὴν μέσην ἕτερα ἔγκοιλα γ', χωρῶντα ἀνὰ
κοῦφα ε' καὶ ἐν τῷ ὀξυτέρῳ μέρει τῆς πρύμνης χωροῦν τὸ πλοῖον
μεγαρικὰ γ', ὁμοῦ τὰ ἀμφότερα τῆς κάτω στοιβῆς κοῦφα νζ'· ἡ δέ
γε δευτέρη στοιβὴ διὰ τὸ εἶναι τὸ πλοῖον ἐν τοῖς ἀνωτέροις μέρεσι
πλατύτερον χωροῦν ἐν τῇ πρύμνῃ καὶ πρώρῃ ἐπάνω τῶν ἀνὰ τριῶν
κούφων τῆς πρώτης στοιβῆς ἐν τοῖς δυσὶ μέρεσιν ἀνὰ κούφων τεσσά-
ρων, ὁμοῦ η'; ἐν δὲ τοῖς δευτέροις μέρεσιν, ἤγουν τοῖς πρὸς τὰ τῆς
πρύμνης μέρη, τρισὶν ἐγκοιλίοις καὶ τοῖς πρὸς τὰ τῆς πρώρης ἑτέροις
τρισὶν ἐν οἷς ἐν τῇ πρώτῃ στοιβῇ ἀνὰ πέντε κοῦφα, χωροῦν ἀνὰ κοῦ-
φα ἐπάνω τούτων ζ', ὁμοῦ τῶν δύο μερῶν κϐ' καὶ ἐν τοῖς τρισὶν
ἐγκοιλίοις τῆς μέσης, ἐν οἷς ἀνὰ ζ' ἐτέθησαν, χωροῦν ἀνὰ κοῦφα ι',
ὁμοῦ λ' καὶ ὁμοῦ τὰ ὅλα τῆς πρώτης στοιβῆς κοῦφα π', καὶ ἐν τῇ
τρίτῃ ὡσαύτως στοιβῇ χωροῦν διὰ πάντων διὰ τὸ εἶναι πάλιν ἔτι πλα-
τύτερον τὸ πλοῖον, χωροῦν ἀνὰ κοῦφα ρ'. Ἐν δὲ τῇ τετάρτῃ πά-
λιν στοιβῇ, ἐγγὺς δηλαδὴ τῶν ζυγῶν καὶ τῶν ταϐλίων, ἔστω εἶναι χω-
ροῦν τὸ πλοῖον διὰ τὸ ἐν τοῖς τελευταίοις ἄνωθεν μέρεσι στενότερον εἶ-
ναι τὸ πλοῖον πάλιν κοῦφα ζ', ὁμοῦ τῶν τεσσάρων στοιβῶν σιζ', ‖ ἅτι- φ. 90β
να ἑξαπλασιαζόμενα διὰ τὸ λογίζεσθαι τὸ ἓν κοῦφον ἀντὶ μοδίων ς', γί-
νονται ͵αψπϐ', καὶ ἔστι τὸ πλοῖον χωρήσεως μοδίων τοσούτων· καὶ
ὀφείλει εἰσαγαγεῖν συνωνὴν ἀπὸ μὲν ἐσωϐύδων τὰ c'' ἤγουν μοδίων
ϡκα', ἀπὸ δὲ ἐξαϐύδων τὸ τρίτον φϙδ'· εἰ δὲ ξύλα μέλλεις εἰσαγαγεῖν,
ὀφείλει ἀντὶ φϙδ' μοδίων εἰσαγαγεῖν πίσσας λθ c'', τουτέστι κατὰ ιδ'
μόδια πίσσαν μίαν· ἡ γὰρ πίσσα ἀντὶ ιδ' μοδίων λογίζεται.

Ἀλλὰ ταῦτα μὲν ἐδίδαξεν ἡμᾶς ἡ εὑρεθεῖσα τῶν παλαιοτέρων
γραφή, ἥτις νῦν διαγινώσκεται μὴ ἔχουσα πάντη τὸ ἀσφαλὲς καὶ ἠκρι-

1. ἕτερον 3. ὀξύτερον (καὶ 21). στενώτερον 4. ἀνὰ 6. ὀξύτερον ἐκ τοῦ λ ... τε ὀξύτερον στενώτερον ἐστὶ 7. ἔγκοιλα 8. ὀξυτέρῳ 21. ταυλίων 23. τε 25. ἑξαπλασιαζόμενα ἐσωβύδων 30. πίσσα

δωμένον, ἀλλὰ τῷ δημοσίῳ ζημίαν ἐπάγουσα. Καὶ μᾶλλον εἰ μὴ μεγαρικοῖς χρήσαιτό τις ἀνὰ χωρήσεως μέτρων ϛ', ἀλλὰ πλείονος· εἰ γὰρ ἑξαμετραίοις χρήσεται, ὀφείλει τιθέναι μεγαρικὰ ἐπ' αὐτῆς τῆς πρώτης κούτζας τῆς πρῴρας καὶ ἄχρι τῆς λαοδικινῆς τῆς ἀπὸ τῆς πρῴρας καὶ διαγινώσκειν διὰ τούτων τὸ μῆκος τῆς πρῴρας· εἶθ' οὕτως ὁρᾶν πόσα ἐπιδέχεται ἡ πέζα τῆς πρῴρης, εἴτε ἓν εἴτε δύο εἴτε τρία κατὰ τὸ πλάτος καὶ καθεξῆς τὸν δεύτερον ὄρδινον, ἐὰν χωρῇ τρία μεγαρικά, εἶτα τὸν τρίτον, ἐὰν τέσσαρα, καὶ ἐφεξῆς ὁμοίως, ἐὰν πλείονας ὀρδίνους ἔχῃ, καὶ οὕτω διαγινώσκειν τῆς πρώτης στοιβῆς τὴν χώρησιν καὶ ἀναβιβάζειν τὸ ποσὸν τῶν μεγαρικῶν. Ἐπειδὴ δὲ τὸ πλοῖον ἐπὶ τὸ πλατύτερον ἄγεται κατὰ τὸ βάθος ἐν τῇ πρῴρᾳ, ὥσπερ δὴ καὶ ἐν τοῖς ἄλλοις μέρεσιν, αὐξάνειν δεῖ ἐφ' ἑκάστῳ τῶν ὀρδίνων ἀνὰ μεγαρικοῦ ἑνὸς καὶ οὕτως ἀναβιβάζειν τὴν χώρησιν τῶν μεγαρικῶν τῆς πρῴρης ἰδίᾳ, ἤγουν παρεκτὸς μετὰ τοῦτο τιθέναι μεγαρικὰ ὁμοίως ἑξαμετραῖα, ἀλλ' αὐτῆς τῆς λαοδικινῆς καὶ ἄχρι τῆς ἀντλίας τῆς πλησιαζούσης τῇ λαοδικινῇ τῇ πρύμνῃ καὶ διαγινώσκειν πόσων μεγαρικῶν τὸ μῆκος ὁ σηκὸς τοῦ πλοίου, ἤγουν τὸ χώρεμα ὅλον τοῦ πλοίου. Καὶ εἰ μὲν τὸ ὅλον μῆκος τοῦ αὐτοῦ σηκοῦ φυλάξει ἰσότητα ἐν τῇ πέζᾳ κατὰ τὸ πλάτος, μὴ ποιεῖν διαίρεσιν, ἤγουν μὴ χωρίζειν ἰδίᾳ, ἀλλ' ὁμοῦ ὁμαδεύειν ταῦτα ἐν τῇ πέζᾳ· εἶθ' οὕτως προστι-
φ. 91α θέναι ἐφ' ἑκάστων τῶν ὀρδίνων τοῦ αὐτοῦ σηκοῦ || ἐν τῇ δευτέρᾳ στοιβῇ ἀνὰ μεγαρικοῦ ἑνὸς καὶ προστιθέναι καὶ ταῦτα εἰς τὴν ποσότητα τῶν μεγαρικῶν, ἐὰν εἰς διστοίβην σώζῃ· τὸ αὐτὸ δὲ γίνεσθαι καὶ ἐὰν εἰς τριστοίβην ἢ τετραστοίβην ἐστίν, ὥστε προσθήκην ποιεῖν ἐπὶ μιᾷ ἑκάστῃ στοιβῇ, ἐφ' ἑνὶ ἑκάστῳ τῶν ὀρδίνων ἀνὰ μεγαρικοῦ ἑνός, καὶ τοιουτοτρόπως ποσοῦσθαι τὴν χώρησιν τοῦ ὅλου σηκοῦ καὶ διαγινώσκεσθαι πόσων μεγαρικῶν ἐστι χωρήσεως· μετὰ τοῦτο ἐᾶσθαι τὴν ἀντλίαν ὡς μὴ δεχομένην ἀγώγιμά τινα, ἀλλ' ὑπουργοῦσαν εἰς τὸ συναγόμενον ὕδωρ· ἡ δὲ πρύμνα πάλιν ὀφείλει μετρᾶσθαι καὶ ἡ πρῴρη ἤγουν καθ' ὃ διαγινώσκεται ἔχουσα μῆκος, πλάτος καὶ βάθος ἀπὸ τῆς χωρήσεως τῶν μεγαρικῶν· καὶ οὕτω συναγόμενον τῆς ὅλης ποσότητος

*2. ἀναχωρήσεως 3. ἑξαμετραίοις τιθῆναι μαγαρικὰ ἐπαυτῆς 5. διατούτων μίκος 7-8. μαγαρικὰ 9. ἔχειν 10. τὸν ποσὸν μαγαρικῶν 12. ἐφ 13. μαγαρικῶν 14. μαγαρικὰ 15. ἑξαμετραία 17. μακαρικῶν μίκος 22. μεγαρικοῦ 23. μαγαρικῶν 25. μαγαρικοῦ 27. μαγαρικῶν ἐᾶσθαι 28. ἀγώγημα 30. καθὸ μίκος 31. μαγαρικῶν*



τῶν μεγαρικῶν ἑξαπλασιάζεσθαι ταύτην καὶ λογίζεσθαι εἰς χώρησιν μοδίων καὶ ἀπαιτεῖσθαι τὸ ἀναλογοῦν ἀντίναυλον· ἐπέκεινα μέντοι τῆς ταβλώσεως τὸ μέτρον οὐκ ὀφείλει γίνεσθαι οὔτε μὴν τὸ ὅλον μέρος, ἀλλὰ ἀπὸ τοῦ πουλούρου ἄχρι τῶν ῥιζῶν ὠτίων καὶ τὸ τοιοῦτον μῆκος λαμβάνειν ἀντὶ πήχης.

## Β'

**Οἱ παρὰ τῶν πλευστικωτέρων Μαρδαϊτῶν ὀρθῶς παρατηρούμενοι καιροί τε καὶ ἀστέρες, ὁπόταν ζάλην ἐν τῇ θαλάσσῃ καὶ τρικυμίαν εἰώθασιν ἐμποιεῖν, ἐξ ὧν συμβαίνουσι τὰ ναυάγια, καὶ πάλιν νηνεμίας τε καὶ εὐδίας, δι' ὧν κατορθοῦνται τὰ ταξείδια.**

Κατὰ τὴν τοῦ Μαρτίου μηνὸς εἰκάδα πέμπτην, ἡνίκα κατὰ τοὺς πολλοὺς τὴν ἀρχὴν τὸ ἔαρ παραλαμβάνει, τηνικαῦτα καὶ ὁ καιρὸς ὁ παρὰ τῆς κοινῆς συνηθείας παχνίτης καλούμενος τοῦ εἶναι ἀπάρχεται καὶ μέχρι τῶν ἑπτὰ ἡμερῶν ἐπικρατεῖ· παχνίτης δὲ λέγεται διὰ τὸ ὡς ἐπὶ τὸ πλεῖστον ὀμιχλώδης εἶναι καὶ πολλὴν ἐμποιεῖν τὴν πάχνην. Κατὰ τὸν αὐτὸν δὲ καιρὸν πολλαὶ δυσκαιρίαι πεφύκασι γίνεσθαι. Εἴτε γὰρ πρὸ τῆς τῶν ἑπτὰ ἡμερῶν ἀπαρχῆς εἴτε κατὰ τὸ μέσον εἴτε κατὰ τὴν συμπλήρωσιν, βορρᾶ δηλονότι πνεύσαντος εἴτε καὶ νότου, ζάλη θαλάσσης καὶ ταραχὴ πολλὴ καθίσταται ἀναμφιβόλως. Ὅθεν οἱ τῶν Μαρδαϊτῶν δόκιμοι πλευστικοὶ τὴν τοιαύτην τοῦ ἀνέμου φορὰν ὅτε γενομένην θεάσονται, εὐθὺς τὰς ἑαυτῶν γαλλοίας πρὸς τὸ πέλαγος ἀφορμῶσι καὶ τὴν τῶν Σαρακηνῶν γῆν τὸ παράπαν ἐκκλίνουσι καὶ ἔχουσιν ἀντὶ λιμένος τὸ πέλαγος κρεῖττον, εἰς σωτηρίας τὸ τοῦ πελάγους ἄπλωμα λογιζόμενοι, ἤπερ ἀκταῖς ἀπορριφῆναι πετρώδεσι καὶ ταῖς τῶν ἐχθρῶν πολλάκις παραδοθῆναι χερσίν. Ἀλλὰ ταῦτα μὲν ἐν τῷ προρρηθέντι καιρῷ, τῷ λεγομένῳ παχνίτῃ. Κατὰ δὲ τὴν βην τοῦ Ἀπριλίου μηνὸς πάλιν ὁ καιρὸς τοῦ δευτέρου παχνίτου ἀπάρχεται,

*1. ἐξαπλασιάζεσθαι 3. ταυλώσεως 4. μῖκος 15. ἐπιτοπλεῖστον 22. σαρρακηνῶν 23. ἀντιλιμένος 27. ἀπρι λλ*

ἐπικρατῶν καὶ αὐτὸς ἡμέρας ζ΄. Εἰς δὲ τὰς τοιαύτας ἡμέρας γίνονται εὐδιεινότεροι καὶ ἐλαφρότεροι μᾶλλον οἱ ἄνεμοι διὰ τὸ τὸν Κριὸν ταῖς τοιαύταις ἡμέραις ἀνατέλλειν τοῦ ἔαρος. Ἀναμεταξὺ δὲ αὐτῶν ἀδύνατόν ἐστι τὸ μὴ γενέσθαι ταραχὴν ἀνέμων τινῶν διὰ τὸ τροπι-
φ. 120β κὸν τοῦ ἀέρος, πολλάκις δὲ καὶ ἀέρα καὶ χειμῶνα. Κατὰ δὲ τὴν ¦ δεκάτην τοῦ αὐτοῦ μηνὸς ἄρχεται ὁ τρίτος παχνίτης, ἐπικρατῶν καὶ αὐτὸς ἡμέρας ζ΄, καὶ γίνονται ἐν ταῖς ἡμέραις ταύταις ἄνεμοι σφοδροὶ καὶ ταραχαὶ θαλάσσης, ὡς τὰς τοιαύτας ἡμέρας ἐκ τῶν ἐπισυμβαινόντων ὡς τὰ πολλὰ ναυαγίων παθήματα λέγεσθαι.

Καὶ πάλιν τῇ ιθ΄ τοῦ αὐτοῦ μηνὸς ὁ δ΄ παχνίτης ἀπάρχεται· ἔστι δὲ εὐδιεινότερος οὗτος καὶ ταραχῆς ἄνευ καὶ κινήσεως ἀνέμων γινόμενος. Καὶ τῇ κϛ΄ τοῦ αὐτοῦ μηνὸς ἀπάρχεται ὁ πέμπτος παχνίτης, καὶ γίνονται ἄνεμοι σφοδροὶ καὶ ταραχαὶ θαλάσσης, καθὼς καὶ εἰς τὸν τρίτον παχνίτην γίνονται. Ὁμοίως καὶ ὁ ἕκτος παχνίτης ἀπὸ τῆς γης τοῦ Μαΐου μηνὸς ἀπαρχόμενος ποιεῖ ταραχὰς καὶ ἀνέμους σφοδρούς, καθὼς καὶ ὁ πέμπτος, διὰ τὸ καὶ τὸ ἄστρον εἶναι τοῦ ἁγίου Βασιλέως λεγόμενον τὸ παρὰ τῶν πλευστικωτέρων παρατηρούμενον ἀκριβῶς· εὐσεβέστερον γὰρ χάριν σεβάσματος τὰς τῶν ἀστέρων τροπὰς ἁγίων ὀνόμασι Χριστιανοὶ προσανέθεντο, Ἑλλήνων ταύτας τὸ πρότερον εἰς ζῷά τινα κριοὺς καὶ ταύρους καὶ καρκίνους κακῶς ἐπικαλεσάντων.

Ἀπὸ δὲ τῆς ιης τοῦ Μαΐου μηνὸς ἀπάρχεται ὁ ζος παχνίτης, καὶ γίνονται ταραχαὶ καὶ ἄνεμοι σφοδροί τε καὶ βίαιοι διὰ τὸ εἶναι καὶ ἄστρα β΄ τὰ παρὰ τῶν πλευστικῶν παρατηρούμενα, τό τε λεγόμενον τοῦ Θεολόγου καὶ τοῦ Ἁγίου Ἐπιφανίου, καὶ συμπληροῦνται τῇ ιγῃ τοῦ Μαΐου μηνὸς οἱ ἑπτὰ καιροὶ οἱ λεγόμενοι παχνῖται.

Καὶ μετὰ τὴν συμπλήρωσιν τούτων γίνονται ἄνεμοι σφοδροὶ οἱ λεγόμενοι προδρομῖται καὶ πεντηκοστάριοι· διὰ τὸ πολλάκις αὐτοὺς τῇ Πεντηκοστῇ ἐπισυμβαίνειν σφοδρότερον ἐπιπνεῖν πεντηκοστάριοι πάντως ἐπωνομάσθησαν, οἵτινές εἰσι βορέαι καὶ θρασκίαι καὶ ἐπικρατοῦσι μέχρι τῆς ιδης τοῦ Ἰουνίου μηνός.

Καὶ ἀπὸ τῆς ιδης γίνονται ἄνεμοι βορέαι οἱ λεγόμενοι ῥῆκται μέχρι τῆς ιεης τοῦ Αὐγούστου μηνός· καὶ ἀπὸ τῆς ιεης ἀποσκοποῦνται τὰ
φ. 121α ἄστρα τὰ ‖ παρατηρούμενα πλεόντων· καὶ γίνεται εἰς τὸ ἄστρον τοῦ Τιμίου σταυροῦ ταραχὴ θαλάσσης, ποτὲ μὲν πρὸ τῆς τοῦ ἄστρου ἡμέρας

3. ἀναμεταξὺ 18. χαριν 19. αἰλλήνων 20. ζῶα τινὰ 25. παχνίτας 27. προδρομῖται 29. βοραίαι



ποτὲ δὲ ὕστερον, ἴσως δέ ποτε διέρχεται τὸ τοιοῦτον ἄστρον καὶ ἄνευ ταραχῆς· ὁμοίως καὶ τὰ λοιπὰ ἄστρα.

Καὶ μετὰ τὸ παρελθεῖν τὸ ἄστρον τοῦ Τιμίου σταυροῦ παρατηρεῖται πάλιν τὸ ἄστρον τῆς Ἁγίας Θέκλης καὶ μετ᾽ αὐτὸ τὸ ἄστρον τοῦ Ἁγίου Θωμᾶ τὸ λεγόμενον Ταύρου οὐρὰ καὶ γίνεται κακοταρία πολλὴ καὶ βαθυστροφία τῆς θαλάσσης.

Καὶ μετ᾽ αὐτὸ ἕτερον ἄστρον τοῦ Ἁγίου Δημητρίου, καὶ γίνονται τὰ ἑπταγάληνα τοῦ Νοεμβρίου μηνός, ὅτι καὶ ἡ ὄρνις ἡ καλουμένη ἀλκυὼν ἐπῳάζει παρὰ τὸ χεῖλος τῆς θαλάσσης. Καὶ μετὰ τὴν συμπλήρωσιν τῶν ἑπτὰ ἡμερῶν ἀπάρχεται τὸ μικρὸν λεγόμενον καλοκαίριον καὶ ἐπικρατεῖ μέχρι καὶ τοῦ ἁγίου Φιλίππου, ὅτε καὶ ἡ Πλειὰς δύνει, ἐν δὲ ταῖς τοιαύταις ἡμέραις εἰσὶ καλοταρίαι τῆς θαλάσσης.

Ἀπὸ δὲ τοῦ ἁγίου Φιλίππου μέχρι τῆς ιεης τοῦ Φεβρουαρίου μηνὸς χελάνδιον ἢ γαλλαία οὐ πλέει· πλεόντων δὲ τῶν πλοίων ἐν τῇ θαλάσσῃ ἀποσκοπεῖται ἡ ἀνατολὴ τοῦ ἡλίου, καὶ εἰ μὲν ἀκτινοβολεῖ, σημαίνει πάντως χειμῶνα, εἰ δὲ πυροειδὴς φαίνεται, σημαίνει νότον. Ὁμοίως καὶ εἰς τὴν δύσιν αὐτοῦ τεκμαίρεταί τις· καὶ εἰ μὲν ἀκτῖνας ἀποπέμπει, σημαίνει εἴτε ἀέρα εἴτε ταραχὴν θαλάσσης, εἰ δὲ καὶ ἐπινέφελος δύνει, δηλοῖ ἀέρα καὶ τῆς θαλάσσης ταραχήν. Ἐν δὲ τῇ νυκτί, ὅτε ἔστι κατάστερος ὁ οὐρανός, πάλιν οἱ ἀστέρες ἀποσκοποῦνται παρὰ τῶν πλευστικῶν· καὶ εἰ μὲν ἀκτινοβολοῦσιν οὗτοι, δηλοῦσι φορὰν ἀνέμων· ἡ γὰρ ἀέρων κίνησις προταράσσειν εἴωθε τοὺς ἀστέρας· εἰ δὲ καὶ ἀτάραχοι φαίνονται, δηλοῦσιν εὐδίας. Οἱ γὰρ ἀστέρες δίκην λαμπάδος κινεῖσθαι καὶ ἠρεμεῖν ἐκ τῆς τοῦ ἀέρος νηνεμίας καὶ ταραχῆς βιάζονται, οἳ καὶ μεγίστην πλευστικοῖς ἀέρος χαρίζονται πρόγνωσιν. Ἐπισκοπεῖται δὲ καὶ τὸ φέγγος· καὶ εἰ μὲν φαίνεται νεφελοειδές, δηλοῖ ταρα-
χὴν ἀνέμων, καὶ εἰς οἷον ‖ ἂν μέρος φαίνηται ἡ νεφέλη τῆς σελήνης φ. 121β
ἀνεῳγμένη, ἐκεῖθεν ὁ ἄνεμος ἄρχεται κινεῖσθαι· εἰ δὲ ἔστιν ἡ σελήνη καθαρά, ἀστέρων μὴ ὄντων, δηλοῖ ἀνέμου φοράν. Σελήνης δὲ μὴ οὔσης μήτε ἀστέρων, δηλοῖ ὁμοίως φορὰν ἀνέμου. Ἀπὸ δὲ Μαΐου μηνὸς μέχρι Νοεμβρίου γίνεται ἀστραπὴ εἴτε ἐν νυκτὶ εἴτε ἐν ἡμέρᾳ· ἅπαξ γινομένη δηλοῖ ταραχὴν θαλάσσης καὶ ἀνέμων ἐπιφοράν· καὶ εἰ μὲν ἐν ἡμέρᾳ γένηται, ἐπικρατεῖ μέχρι τῆς ἡλίου δύσεως, εἰ δὲ ἐν νυκτί, μέχρι τῆς ἀνατολῆς τοῦ ἡλίου. Εἰ δὲ ἐπάλληλοι ἀστραπαὶ γίνονται, εἴτε ἐν νυκτὶ εἴτε ἐν ἡμέρᾳ, δηλοῦσιν εὐδίαν.

20-21. περιτῶν

## Γ'.

### Τοῦ πρωτοσπαθαρίου καὶ στρατηγοῦ τῶν Κιβυρραιωτῶν περὶ τῶν παρατηρουμένων ἀστέρων παρὰ τοῖς πλευστικοῖς τῶν ποιούντων ζάλας καὶ ταραχὰς ἐν τῇ θαλάσσῃ.

Τῇ ιδῃ τοῦ Σεπτεμβρίου μηνὸς ἄστρον τῆς ὑψώσεως τοῦ Τιμίου σταυροῦ, καὶ γίνεται ταραχὴ τῆς θαλάσσης ἐξ ἀνέμου βορρᾶ εἴτε λιβός, ἐπικρατοῦσα μέχρι ὡρῶν δύο. Τῇ κδῃ τοῦ αὐτοῦ μηνὸς ἄστρον τῆς Ἁγίας Θέκλης, καὶ γίνεται ταραχὴ τῆς θαλάσσης ὡς εἰ ὥρα μία. Τῇ ϛῃ τοῦ Ὀκτωβρίου ἄστρον παρατηρούμενον τοῦ Ἁγίου Θωμᾶ· κακοταρία γίνεται πολλὴ τῆς θαλάσσης, καὶ οὐδέποτε ἄνευ σάλου διῆλθε τὸ τοιοῦτον ἄστρον. Τῇ ιδῃ τοῦ αὐτοῦ μηνὸς ἄστρον τὸ καλούμενον Ταύρου οὐρά· καὶ γίνεται κακοταρία πολλὴ καὶ ζάλη μεγάλη ἐν τῇ θαλάσσῃ. Τῇ κϛῃ τοῦ αὐτοῦ μηνὸς ἄστρον τοῦ Ἁγίου Δημητρίου ποιοῦν ζάλην μεγάλην ἐν τῇ θαλάσσῃ. Τῇ ιαῃ τοῦ Νοεμβρίου μηνὸς ἄστρον τοῦ Ἁγίου Μηνᾶ, καὶ γίνονται κακοταρίαι καὶ ταραχὴ θαλάσσης πλέον τῶν λοιπῶν ἄστρων. Τῇ ιδῃ τοῦ αὐτοῦ μηνὸς ἄστρον τοῦ Ἁγίου Φιλίππου, καὶ αὐτὸ ποιοῦν θαλάσσης κακοταρίαν.

Ἀπὸ δὲ τῆς ιεῃς τοῦ αὐτοῦ μηνὸς ἄρχεται ἡ λεγομένη πλειοδυσια, καὶ κατὰ ἑβδόμην ἡμέραν, ἤγουν ἀπὸ τῆς ιεῃς ἕως τῆς κβ̅, δύνει ἄστρον, ὁμοίως καὶ καθεξῆς, καὶ ἐν ταῖς αὐταῖς ἡμέραις, ὅτε τὸ ἄστρον δύνει, γίνεται ἐν τῇ θαλάσσῃ κακοταρία· ἐπικρατεῖ δὲ ἡ τοιαύτη πλει-
φ. 422α ἀς || ἡμέρας μθ'. Ἐν δὲ τῷ μέσῳ τούτων τῶν ἡμερῶν ἔστιν ἄστρον τοῦ Ἁγίου Νικολάου, ποιοῦν καὶ αὐτὸ κακοταρίαν.

Ἀπὸ δὲ τῆς αὐτῆς ϛῃς τοῦ Δεκεμβρίου μηνὸς μέχρι τῆς ϛῃς τοῦ Ἰανουαρίου γίνονται κακοταρίαι πολλαὶ καὶ ζάλαι ἐν τῇ θαλάσσῃ. Ἀπὸ δὲ τῆς ϛῃς μέχρι εἰκάδος τοῦ Μαρτίου μηνὸς πλέουσιν οἱ πλευστικοὶ μήτε κακοταρίαν πολλὴν ἔχοντες μήτε μὴν γαλήνην τελείαν. Ἐν τῷ μέσῳ δὲ τῶν ἡμερῶν τούτων ἀστέρων παρατήρησις οὐχ ὑπάρχει. Ἀπὸ δὲ τῆς κε' τοῦ Μαρτίου μηνός, ἡνίκα τὸ ἔαρ ἔρχεται, ἄρχονται οἱ παχνῖται, καὶ ὁ πρῶτος παχνίτης ἐπικρατεῖ ἡμέρας ζ', ὁμοίως καὶ οἱ λοιποί. Εἰσὶ δὲ παχνῖται κατὰ τὴν ἀκολουθίαν τῆς πλειοδυσίας· καὶ

1. σεπτεβρίου 20. δεκεβρίου 26 (καὶ 27). παχνίται



εἰς τὴν αῃν ἡμέραν τοῦ αου παχνίτου γίνεται ἄνεμος σφοδρὸς ὁ λεγόμενος Εὖρος καὶ ἀστραπαὶ καὶ βρονταί, ὥστε μὴ δύνασθαι πλέειν ἐν τῇ τοιαύτῃ ἡμέρᾳ τινά, καὶ ἐπικρατεῖ ἡμερῶν δύο, καὶ μετέπειτα πλατύνει, καὶ δέχονται τὸν ἄνεμον ἐξ εὐωνύμων καὶ ἀρμενεύουσι δεξιά. Οἱ δὲ ἐμπειρότεροι τῆς θαλάσσης ἐκ τῶν κυμάτων καὶ τῶν ῥευμάτων διαγινώσκονται ποῦ πορεύονται. Καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀπολιβάζει, καὶ ἐπὶ τὴν αὔριον γίνεται καλοταρία καὶ ἐπικρατεῖ μέχρι τῆς αῃς τοῦ βου παχνίτου. Ὁμοίως γίνεται καὶ αὐτὸ εἰς τὸν βον παχνίτην. Εἰς δὲ τὸν γον παχνίτην γίνεται πλέον κακοταρία παρὰ τοὺς λοιποὺς παχνίτας. Εἰς δὲ τὸν τέταρτον παχνίτην γίνεται κακοταρία ἐλαφροτέρα, ὡσαύτως καὶ εἰς τὸν πέμπτον καὶ εἰς τὸν ἕκτον καὶ εἰς τὸν ἕβδομον.

Τῇ ιαῃ τοῦ Μαΐου μηνὸς ἔστιν ἀστὴρ ὁ σωρευτής, καὶ γίνεται ἄνεμος σφοδρός· ἀπὸ δὲ τῆς ιεῃς ἡμέρας τοῦ Μαΐου μέχρι τῆς κδῃς τοῦ Ἰουνίου μηνός, ὅτε καὶ ἡ τροπὴ τοῦ ἡλίου γίνεται, πλέεται ἡ θάλασσα ἀπαρατηρήτως. Ἐν τῷ μέσῳ γὰρ τούτων πλέεται ἡ θάλασσα ἀπαρατηρήτως. Ἀστέρα γὰρ ἢ ταραχὴν θαλάσσης οὐ περιβλέπονται οἱ ναυτικοί. Ἀπὸ δὲ τῆς κδῃς τοῦ Ἰουνίου μηνὸς μέχρι || τῆς ιεῃς τοῦ Αὐ- φ. 422β
γούστου φυσῶσιν οἱ ἄνεμοι οἱ καλούμενοι ῥῆκται. Ἐν δὲ τῇ Συρίᾳ φυσῶσι νότοι· δι' αὐτοῦ γὰρ τοῦ ἀνέμου ἐξέρχονται ἀπὸ Συρίας εἰς Ῥωμανίαν. Ἐπικρατοῦσι δὲ οἱ τοιοῦτοι ἄνεμοι ἡμέρας μθ', καθὼς καὶ ἡ πλειοδυσία, καὶ κατὰ ἑβδόμην ἡμέραν γίνεται ταραχὴ τῆς θαλάσσης. Τοὺς δὲ λοιποὺς ἀστέρας οἱ πλευστικοὶ οὐ παρατηροῦνται· καὶ αὐτοὺς γὰρ τοὺς εἰρημένους ἀστέρας οἱ πεῖραν πολλὴν ἔχοντες, εἰ καὶ τάχα ταραχὴ καὶ κακοταρία γίνεται ἐν τῇ θαλάσσῃ, οὐ παρατηροῦνται, ἀλλὰ καὶ ἐν ταῖς ἡμέραις τῶν τοιούτων ἀστέρων πλέουσι. Χρὴ εἰδέναι, ὅτι ἡνίκα γένηται κακοταρία ὑπὸ νότου, ὅτε ἀπὸ Συρίας ἐξερχόμενοι ἀρμενίζουσι καὶ συναντήσῃ βορρᾶς καὶ χαλάσουσι, τοῦτο μόνον σκοπεῖν δεῖ εἰς τὴν τῶν κυμάτων φοράν, ὅπως ἔχωσι ταῦτα πρύμνα· ἐξ αὐτῶν γὰρ ἐπιγινώσκουσι τὴν ὁδὸν αὐτῶν. Εἰ γὰρ ταῦτα μετ' ἐπιμελείας οὐ βλέπουσι καὶ στοχάζονται, ἀπόλλυσι τὴν ὁδὸν αὐτῶν. Χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι, ὅτε φυσᾷ ἄνεμος ῥήκτης, ἀρμενίζουσιν ἐξ Αἰγύπτου μέχρι τοῦ κάστρου Ἀντιοχείας, ὅπερ οἱ Σαρακηνοὶ Ἐντάκειον καλοῦσι, τοῦ νότου. Ἀπὸ δὲ τοῦ κάστρου Ἀντιοχείας, ἤτοι τῆς Ἀντακείας, μέχρι τῆς Ταρσοῦ ἀρμενίζουσι τοῦ κόλπου καὶ τοῦ βορρᾶ. Ἀπὸ δὲ αὐ-

7. ἡμέρας 15. τοῦ ἠουλίου 31. ἀπόλλουσι

γῆς τῆς ἡμέρας μέχρις ὥρας τρίτης ἔστιν ἐν τοῖς μέρεσιν ἐκείνοις ἄνεμος ὁ λεγόμενος κίρρος. Ἀπὸ δὲ τῆς ὥρας τρίτης μέχρις ὥρας πρώτης τῆς νυκτὸς γίνεται βορρᾶς.

Ἰστέον, ὅτι οἱ πλευστικοὶ μεγάλως παρατηροῦνται τοῦ ἀποκινῆσαι καὶ πλεῦσαι εἰς ὁδὸν ταξειδίου εἴτε ἐν ἡμέρᾳ Τρίτῃ εἴτε ἐν Πέμπτῃ. Ταύτας γὰρ τὰς β̅ ἡμέρας ὑπὲρ τὰς λοιπὰς παρατηροῦνται. Τινὲς δὲ σπανίως καὶ τὸ Σάββατον διὰ τὸ μνείαν νεκρῶν γίνεσθαι καὶ νεκρώσιμον εἶναι τὴν ἡμέραν. Ὁμοίως μεγάλως παρατηροῦνται καὶ τὴν ἡμέραν τῆς ἁγίας καὶ μεγάλης εης διὰ τὸ ἐν ταύτῃ παραδοῦναι τὸν Ἰούδαν τὸν Κύριον, ὁμοίως καὶ τὴν ἡμέραν τῆς ἁγίας καὶ ‖ μεγάλης Παρασκευῆς διὰ τὴν τοῦ Κυρίου σταύρωσιν. Ἡ δὲ β̅ τῶν ἡμερῶν, καθὼς λέγουσιν οἱ πλευστικοί, ἢ ἀνεμοφόρος ἢ ἀνεμοφθόρος τυγχάνουσα, τουτέστιν εἴτε γεννητικὴ ζάλης καὶ τρικυμίας καὶ τοῦ ἀέρος σύγχυσιν καὶ ἀκαταστασίαν ποιοῦσα εἴτε τὸν πρὶν ταύτης φυσῶντα βίαιον ἄνεμον καὶ τὴν θάλασσαν διεγείροντα πρὸς ζάλην καὶ τρικυμίαν καταπαύουσα καὶ ἠρεμοῦσα καὶ τὸν ἀέρα εὐδιεινότερον καθιστῶσα. Ἡ δὲ Παρασκευὴ τῶν ἡμερῶν, καθὼς λέγουσιν οἱ πλευστικοί, πολλάκις ὁρᾶται εἴτε εὐδίαν τοῦ ἀέρος καὶ τῆς θαλάσσης ποιοῦσα εἴτε τοῦ ἀέρος σύγχυσιν καὶ ἀκαταστασίαν καὶ ζάλην καὶ τρικυμίαν τῆς θαλάσσης παρέχουσα.

φ. 123α

Ἰστέον, ὅτι, εἰ καὶ ὅλη ἑβδομὰς σύγχυσιν καὶ ἀκαταστασίαν τοῦ ἀέρος καὶ τῆς θαλάσσης ζάλην καὶ τρικυμίαν, ἀλλ' οὖν τῇ κυρίᾳ τῶν ἡμερῶν, ἤγουν τῇ πρώτῃ ἡμέρᾳ, ἀδύνατον μὴ καὶ τὸν ἀέρα ὀλίγον εἰς εὐδιεινότερον μετελθεῖν καὶ τὴν θάλασσαν εἰς τὸ γαληνότερον ἢ παντελῶς καὶ τὸν ἀέρα εὐδιεινὸν γενέσθαι καὶ τὴν θάλασσαν εἰς τελείαν γαλήνην μετενεχθῆναι, ἔστι δ' ὅτε πολλάκις καὶ τὸν ἀέρα ἐν τῇ συγχύσει καὶ ἀκαταστασίᾳ διαμεῖναι καὶ τὴν θάλασσαν εἰς τὴν αὐτὴν ζάλην καὶ τρικυμίαν, μάλιστα ἐὰν εἴη σύνοδος τῆς σελήνης, εἴτε γέννα εἴτε ἀπόχυσις, ἢ ἐκ τῶν παρατηρουμένων ἄστρων παρὰ τοῖς πλευστικοῖς ἢ ἔκλειψις ἡλιακὴ ἢ σεληνιακή, ὅτι καὶ αὗται παρὰ τῶν ἐμπείρων πλευστικῶν παρατηροῦνται μεγάλως.

Ἰστέον, ὅτι εἰ ἔστιν ὁ ἀὴρ συννεφὴς καὶ ἐξοφωμένος, ὥστε πολλάκις καὶ ψεκασμὸν ἢ καὶ ὑετὸν ἐκ τοῦ οὐρανοῦ διὰ τὴν τοιαύτην σύγχυσιν καταφέρεσθαι, εἰ μὲν αὔξεται ἡ τοιαύτη τοῦ ἀέρος συνοχὴ ἀφ' ἑσπέρας εἴτε ἀπὸ τῆς δείλης, δεῖ σκοπεῖν διὰ τῆς νυκτὸς τὸν πρῶτον πετεινόν, εἰ δὲ οὐκ ἀναστείλῃ, χρὴ σκοπεῖν τὸν δεύτερον, εἰ δὲ ἔτι

16. ἡρεμοῦσα 20. ἀκαταστασίαν 31. συνεφής 35. ἀναστείλει κοπεῖν



ἐπιμένοι, τὸν τρίτον, εἰ δὲ καὶ πάλιν ἐπιμένοι τοῖς αὐτοῖς, σκοπεῖν τὸ αὖγος, εἰ δὲ καὶ ‖ τότε εἰς εὐδίαν μὴ ἔλθῃ, σκοπεῖν τὴν ἡμέραν, εἰθ' οὕτω τὴν ἀνατολὴν τοῦ ἡλίου. Καὶ εἰ μὲν ἔχουσι τὰ νέφη περικοπάς τινας, ὥστε τὸν αἰθέρα ὁρᾶσθαι, ἐλπὶς τοῖς ταῦτα παρατηροῦσι τυγχάνει τῇ ἡμέρᾳ ἐκείνῃ εὐδιάσειν· εἰ δὲ τοὐναντίον γίνεται, καὶ τὰ νέφη τὴν αὐτὴν συνέχειαν καὶ πυκνότητα ἔχουσι καὶ διακοπὴ ἐν αὐτοῖς μὴ γένηται, καθὼς εἴρηται, δι' ὅλης τῆς ἡμέρας ἡ τοιαύτη ταραχὴ διαμένει· πολλάκις δὲ καὶ πρὸς ὥραν ἐνάτην εἴτε δεκάτην ἢ καὶ μέχρι τῆς ἑσπέρας εὐδία γίνεται.

φ. 223β

1. τὸ τρίτον ἐπιμένει 5. κείνη 8. ἐννάτην

# ΣΥΝΟΔΙΚΟΝ ΓΡΑΜΜΑ

## ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΚΑΛΛΙΝΙΚΟΥ

Τὸ ἑπόμενον συνοδικὸν γράμμα τοῦ πατριάρχου Κωνσταντινουπόλεως Καλλινίκου, ἐκδεδομένον τὸν Ἀπρίλιον 1698 καὶ ἀναφερόμενον εἰς τὸν διορισμὸν τοῦ πρώην Εὐρίπου Ἀμβροσίου ὡς μητροπολίτου Ἄργους καὶ Ναυπλίου, σώζεται ἐν πρωτοτύπῳ συνημμένον εἰς τὸ ὑπ' ἀρ. 35 Dispaccio τοῦ Βενετοῦ γενικοῦ προνοητοῦ Πελοποννήσου Φραγκίσκου Γριμάνη ἐν τῷ Δημοσίῳ ἀρχείῳ (R. Archivio de Stato) τῆς Βενετίας, ἐν τῷ φακέλῳ Senato III (Secreta) N° 7.

***Καλλίνικος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντίνου πόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.***

Ἀναγκαῖον ὑπέρ τι ἄλλο τῷ χριστωνύμῳ πληρώματι πέφυκε τὸ θεόδοτον χρῆμα τῆς ἀρχιερωσύνης, ἅτε πηγῆς ζωηρρύτου τελούσης[1] τῶν θείων καὶ ἱερῶν μυστηρίων, δι' ὧν μυεῖται τῶν Χριστιανῶν | ἕκαστος τὰ τῆς ὀρθοδόξου πίστεως προτερήματα καὶ τελειοποιεῖται τῇ ἐξ αὐτῶν θείᾳ χάριτι καὶ καταρτίζεται εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· | ἣν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ μέγας ἀρχιερεὺς χρηματίσας, καὶ θῦμα καὶ θύτης ὁ αὐτὸς γεγονὼς ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας, ὡς κλῆρον ἔνθεον ταύτην ἐκληροδότησε τοῖς αὐτό|πταις καὶ ἱεροῖς μαθηταῖς αὐτοῦ καὶ ἀποστόλοις καὶ δι' αὐτῶν ἀλληλοδιαδόχως ἐχαρίσατο τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ τὰ σωτήρια τοῦ ὀρθοδόξου συστήματος, ἀναγκαίαν οὖσαν ὡς εἴρηται | ἀναντιρρήτως. Καὶ γὰρ χωρὶς τῆς ἀρχιερωσύνης ταύτης οὐκ ἔνεστιν οἰκοδομὴν γενέσθαι, καὶ καταρτισμὸν σωτηρίας τοῖς εὐσεβέσι. Διὸ καὶ πανταχοῦ ἀναγκαίως ἀρχιερεῖς καθί|στασθαι νενομοθέτηται

1 Τὸ πρῶτον ἐγράφη τελοῦσης



καὶ μὴ παραβλέπειν τοὺς Χριστιανοὺς ἔν τισι τῶν παροικιῶν, καὶ ἐστερημένους καταλιμπάνειν ταύτης τῆς σωτηριώδους χάριτος, ἀλλὰ προνοίας λόγοις | ἡ τοῦ Χριστοῦ ἐκκλησία μεμάθηκε, χεῖρα βοηθὸν ὀρέγειν ἁπάσαις ταῖς ἐπαρχίαις καὶ παροικίαις, ἀντιλαμβάνεσθαί τε αὐτῶν, καὶ διὰ τῆς ἀρχιερατικῆς χάριτος ψυχαγωγεῖν | τὰς δεομένας τῆς σωτηριώδους ἀντιλήψεως. Ἔνθέν τοι καὶ τῆς ἁγιωτάτης μητροπόλεως Ναυπλίου καὶ Ἄργους, δίχα γνησίου ποιμένος ἐγκαταλειφθείσης πρὸ χρόνων ἱκανῶν ὡς τοῦ ἐν | αὐτῇ γνησίως καὶ νομίμως ἀρχιερατεύοντος κὺρ Σιλβέστρου πρὸς Κύριον ἐκδημήσαντος, ἡ μετριότης ἡμῶν τοὺς ἐκκλησιαστικοὺς οἴακας θεόθεν διέπειν λαχοῦσα, οὐ δέον ἔκρινεν | ἐπι πολὺ διαμένειν ταύτην ἀπροστάτευτον, καὶ τὰ ἐκκλησιαστικὰ αὐτῆς τηνάλως φέρεσθαι· ἀλλὰ διὰ κανονικῶν ψήφων τῆς ἱερᾶς συνόδου τῶν ἐνδημούντων ἐν Κωνσταντινουπόλει | ἱερωτάτων συναδελφῶν αὐτῆς ἀρχιερέων καὶ ὑπερτίμων κατὰ τὴν εκκλησιαστικὴν ὑποτύπωσιν, εὗρεν ἄξιον καὶ ἁρμόδιον ἐν προστασίᾳ ἀρχιερατικῇ τῆς αὐτῆς ἐπαρχίας τὸν ἱερώτατον μητροπολίτην πρώην Εὐρύπου κὺρ Ἀμβρόσιον, τὸν προστατεύοντα μέχρι τοῦ νῦν τῆς αὐτῆς μητροπόλεως οὐ τοσοῦτον γνησίως, διὰ τὸ μὴ λαβεῖν καὶ παρ' ἡμῶν ἄδειαν· | οὗ ἕνεκα καὶ επιτιμίῳ καθυπεβάλομεν αὐτὸν[1] προλαβόντως, ἀλλ' ἤδη προςπεσὼν τῷ ἐλέει τῆς ἐκκλησίας ἐξήτησε συγχωρήσεως τυχεῖν, καὶ λύσεως τοῦ επιτιμίου ἐκείνου[2]· τοῦτον γοῦν· λόγῳ μεταθέσεως προβαλόντες ταυθν ἀνεδείξαμεν μητροπολίτην τῆς αὐτῆς μητροπόλεως Ναυπλίου καὶ Ἄργους γνήσιον· καὶ νόμιμον. καὶ κανονικὸν κατὰ τὴν ἐκλογὴν | καὶ τὰς ψήφους τῆς ιερᾶς συνόδου, καὶ ποιμένα, καὶ προστάτην τοῦ ἐκεῖσε χριστωνύμου πληρώματος κατεστήσαμεν· διὸ καὶ γράφοντες ἀπόφαινόμεθα συνοδικῶς, | ἵνα, ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτη Ναυπλίου. καὶ Ἄργους. καὶ ὑπέρτιμος. ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Ἀμβρόσιος ὑπάρχων συγκεχωρημένος καὶ λελυμένος | ἐκείνου τοῦ παρ' ἡμῶν καταγραφέντος ἐπιτιμίου καὶ τῶν ἀρῶν ἐλεύθερος, εἴη καὶ λέγηται ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀρχιερεὺς τῆς αὐτῆς μητροπόλεως Ναυπλίου καὶ Ἄργους γνήσιος | καὶ νόμιμος· καὶ κανονικὸς· καὶ ὀφείλει ἐπιλαβέσθαι αὐτῆς τῆς θεόθεν αὐτῷ κληρωθείσης ἐπαρχίας μετὰ πάσης τῆς ἐνορίας αὐτῆς, καὶ πάντων τῶν προσόντων αὐτῇ ἄνωθεν | καὶ

1 Τὸ πρῶτον εἶχε γραφῇ αὐτῶ
2 Τὸ πρῶτον εἶχε γραφῇ ἐκεῖνον

ἐξαρχῆς ὁρίων τε. καὶ χωρίον κτημάτων τε. καὶ πραγμάτων. καὶ τῶν λοιπῶν δικαίων καὶ προνομίων καὶ εἰσηγεῖσθαι καὶ περιέπειν τὸ ἐν αὐτῇ λογικὸν τοῦ Χριστοῦ ποίμνιον· | καὶ νουθετεῖν τὰ ψυχωφελῆ καὶ σωτήρια. καὶ ἀνάγειν ἐπὶ τὸ βέλτιον. ταῖς τε εὐαγγελικαῖς καὶ ἀποστολικαῖς εἰσηγήσεσι. καὶ τῷ κατ' αὐτὸν ὑποδείγματι τοῖς πᾶσι τὰ πάντα γιγνό|μενος κατὰ τὸν μακάριον Παῦλον· ἵνα πάντας ἢ τοὺς πλείονας κερδίσῃ, καὶ προςαγάγῃ θεῷ λαὸν περιούσιον· πρὸς τούτους ἔχῃ ἄδειαν ἐκτελεῖν τὰ τῆς ἀρχιερωσύνης, | ἐν ταύτῃ τῇ μητροπόλει αὐτοῦ καὶ ἐν πάσῃ τῇ ἐνορίᾳ καὶ τοῖς χωρίοις αὐτῆς ἀκωλύτως, μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως ἀναγνώστας σφραγίζειν. ὑποδιακόνους. καὶ | διακόνους χειροτονεῖν καὶ εἰς τὸ τοῦ πρεσβυτέρου ἀξίωμα προβιβάζειν, πνευματικοὺς πατέρας ἐγκαθιστᾶν δι' οἰκείων ἐνταλμάτων. θεῖους καὶ ἱεροῦς. ναοὺς καθιεροῦν τῷ ἑαυτοῦ σταυροπηγίῳ | κείρειν μοναχούς τε καὶ μοναζούσας καὶ τἄλλα πάντα διαπράττειν ὡς γνήσιος μητροπολίτης Ναυπλίου καὶ Ἄργους καὶ ὢν καὶ καλούμενος. τηρῶν ἐν ἅπασι τοῖς ὑπ' αὐτοῦ πραττομένοις | τὴν κανονικὴν ἀκρίβειαν. καὶ τὰς ἐκκλησιαστικὰς καὶ νομίμους παραδόσεις, ὡς λόγον ἀποδώσων θεῷ .·. ὀφειλόντων καὶ πάντων τῶν εὑρισκομένων ἐν αὐτῇ τῇ ἐπαρχίᾳ αὐτοῦ | καὶ πάσῃ τῇ ἐνορίᾳ αὐτῆς εὐλογημένων Χριστιανῶν ἱερωμένων καὶ λαϊκῶν μνημονεύειν τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, καὶ τὴν | προςήκουσαν αὐτῷ ἀπονέμειν τιμὴν καὶ εὐλάβειαν, καὶ ὑποταγὴν καὶ εὐπείθειαν καὶ ὑπακούειν καὶ ὑποτάσσεσθαι αὐτῷ ἐφοῖς ἂν λέγῃ πρὸς αὐτοῦς, ἀφορῶσιν εἰς ψυχικὴν λυσιτέ|λειαν, καὶ στέργειν, καὶ ἀγαπᾶν. αὐτὸν. ὡς ποιμένα πνευματικὸν. καὶ ἀρχιερέα καὶ προστάτην αὐτῶν. ἡ γὰρ πρὸς αὐτὸν γινομένη τιμὴ καὶ εὐλάβεια, πρὸς τὴν ἡμῶν ἀνάγεται μετριότητα | καὶ δι' αὐτῆς εἰς θεὸν οὗ τύπον σώζει ὁ ἀρχιερεὺς ἐπὶ γῆς ἔτι δὲ συντρέχειν καὶ βοηθεῖν αὐτῷ ἐν πᾶσι τοῖς χρειώδεσι καὶ ἀναγκαίοις αὐτοῦ καὶ παρέχειν ἅπαντα τὰ ἀνήκοντα | αὐτῷ ἐκκλησιαστικὰ εἰσοδήματα καὶ δικαιώματα, κανονικὰ φημί, συνοικέσια, πανηγύρεις, ζητίας καὶ εἴ τι ἄλλο σύνηθες τῷ τόπῳ, εἰρηνικῶς, καὶ εὐγνωμόνως καὶ οὐδὲν | αὐτῷ ἀντιφέρεσθαι ἢ ἐναντιοῦσθαι τοσύνολον. προςέτι κατεστήσαμεν αὐτὸν καὶ ἡμέτερον ἐπίτροπον, καὶ ἔξαρχον πατριαρχικὸν ἐπιτηρεῖν καὶ διοικεῖν τὰ αὐτόθι ἡμέτερα. | πατριαρχικὰ σταυροπήγια. καὶ λαμβάνειν τὰ ἐτήσια αὐτῶν συδοσίματα καὶ πέμπειν πρὸς ἡμᾶς ἀσφαλῶς μηδενὸς αὐτῷ ἐναντιουμένου ἢ ἀντιλέγοντος ἱερομένου | ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ,



ὅθεν εἰς ἔνδειξιν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν ἡμῶν γράμμα εἰς διηνεκῆ καὶ μόνιμον | τὴν ἀσφάλειαν:—ᾳχկηῳ: —ἐν μηνὶ Ἀπριλλίῳ:—Ἰνδικτιόνος:—ς̄: υ

† Ὁ Καισαρίας Κυπριανός : † Ὁ Νικομηδείας Παρθένιος : † Ὁ Νικαίας Γεννάδιος : † Ὁ Χαλκιδόνος Γαβριήλ : Ὁ αμασειας Ἰωαννίκιος : † Ὁ Προύσσης Κύριλλος : † Ὁ Φιλιππουπόλεως Νεόφυτος : † Ὁ Ἀθηνῶν Κύριλλος : † Ὁ Διδυμοτοίχου Ἱερεμίας :

# ΤΟ Ιϛ´ ΔΙΕΘΝΕΣ ΣΥΝΕΔΡΙΟΝ ΤΩΝ ΑΝΑΤΟΛΙΣΤΩΝ

Ἀπὸ τῆς 24 Μαρτίου μέχρι καὶ τῆς 1 Ἀπριλίου ε. ἔ. συνῆλθεν ἐν Ἀθήναις τὸ δέκατον ἕκτον διεθνὲς Συνέδριον τῶν Ἀνατολιστῶν, τῶν Ἀθηνῶν ὁρισθεισῶν ὡς ἕδρας αὐτοῦ ὑπὸ τοῦ δεκάτου πέμπτου Συνεδρίου ἐν Κοπενάγῃ κατ' Αὔγουστον 1908 ἐπὶ τῇ προτάσει τοῦ ἐν αὐτῷ ἀντιπροσωπεύοντος τὴν ἑλληνικὴν Κυβέρνησιν Σπυρ. Π. Λάμπρου.

Ἡ δὲ διὰ Β. Διατάγματος τῆς 4 Σεπτεμβρίου 1911 καταστᾰθεῖσα ὑπὸ τὴν ὑψηλὴν προστασίαν τῆς Α. Μ. τοῦ Βασιλέως καὶ τὴν ἐπίτιμον προεδρίαν τῆς Α. Β. Υ. τοῦ Διαδόχου ἐπιτροπεία, ἧς Γενικὸς γραμματεὺς διωρίσθη ὁ αὐτὸς Σπυρ. Π. Λάμπρος, ὥρισεν ὡς χρόνον τῆς συγκλήσεως τοῦ Συνεδρίου τὸ Πάσχα τοῦ 1912, τελούμενον ταὐτοχρόνως ὑπὸ πάντων τῶν χριστιανικῶν δογμάτων, ἅμα δὲ συμπῖπτον πρὸς τὴν ἐθνικὴν ἑορτὴν τῆς 25 Μαρτίου.

Ὁ Γενικὸς γραμματεὺς τοῦ Συνεδρίου, ἐκλεχθεὶς τὸ δεύτερον καὶ πρύτανις τοῦ Ἐθνικοῦ καὶ Καποδιστριακοῦ Πανεπιστημίου κατὰ τὸ ἀκαδημαϊκὸν ἔτος 1911-1912, ὑπέβαλεν εἴς τε τὴν ἀκαδημαϊκὴν Σύγκλητον καὶ τὴν ἐπιτροπείαν τοῦ Συνεδρίου τὴν γνώμην, ὅτι χάριν μεγαλοπρεπεστέρας διεξαγωγῆς τῶν κατὰ τὸ Συνέδριον σκόπιμον ἦτο νὰ τελεσθῶσι κατὰ τὸν αὐτὸν καὶ ἐκεῖνο χρόνον αἱ ἐπὶ τῇ ἑβδομηκοστῇ πέμπτῃ ἀμφιετηρίδι τοῦ Ἐθνικοῦ Πανεπιστημίου ἑορταί, ἃς αὐτοῦ εἰσηγουμένου εἶχεν ἤδη κατ' Ἀπρίλιον τοῦ 1911 ψηφίσει ἡ ἀκαδημαϊκὴ Σύγκλητος. Δεκτῆς δὲ γενομένης τῆς προτάσεως ταύτης, ἣν ἀπεδέχθη καὶ ἡ Ἐπιτροπὴ τῶν Ὀλυμπιακῶν ἀγώνων, μέλλουσα νὰ τελέσῃ τοὺς Πανελληνίους ἀγῶνας τὰς αὐτὰς ἐκείνας ἡμέρας, συνετάχθη τὸ πρόγραμμα τῶν ἑορτῶν, καὶ ἀνετέθη ἡ ἐκτέλεσις αὐτοῦ εἰς τὸν Πρύτανιν τὸν καὶ Γενικὸν



γραμματέα τοῦ τε Συνεδρίου καὶ τῆς Ἐπιτροπῆς τῶν Ὀλυμπιακῶν ἀγώνων. Ἀνέλαβε δὲ οὗτος τὸ βαρὺ ἔργον, προθυμότατα ὑποστηριχθεὶς ὑπό τε τῆς Κυβερνήσεως, τῶν πανεπιστημιακῶν ἀρχῶν καὶ ὑπαλλήλων, τῶν οἰκείων ἐπιτροπῶν καὶ παντὸς οὗ ἡ συνεργασία ἐθεωρήθη ἀναγκαία πρὸς ἐπιτυχίαν τοῦ ἔργου. Οὐ μικρὸν δὲ συνετέλεσαν εἰς τὴν παμπληθῆ εἰς Ἀθήνας θεωρίαν τῶν ἀντιπροσώπων τῶν ἑορτῶν τῆς ἀμφιετηρίδος καὶ τοῦ Συνεδρίου καὶ τῶν ἁπλῶν συνέδρων αἱ παρασχεθεῖσαι ἐκπτώσεις ναύλων τῶν τε ἑλληνικῶν καί τινων ξένων σιδηροδρόμων καὶ τῶν ἑλληνικῶν καὶ ξένων ἀτμοπλοϊκῶν ἑταιρειῶν.

Οὕτως ὁ ἀριθμὸς τῶν συνέδρων ἀνῆλθεν ἐν ὅλῳ εἰς ὀκτακοσίους περίπου, ὧν μεταξὺ ἐπιφανέστατοι Ἀνατολισταὶ καὶ ἄλλοι ἐπιστήμονες, μιᾷ φωνῇ κατά τε τὴν ἐν Ἀθήναις παρουσίαν αὐτῶν καὶ μετὰ ταῦτα δι' ἐπιστολῶν πρὸς τὸν Σπυρ. Λάμπρον καὶ δημοσιεύσεων ἐν ξέναις ἐφημερίσι καὶ περιοδικοῖς συγγράμμασιν ἐκφράσαντες τὴν τελείαν αὐτῶν εὐαρέσκειαν ἐπὶ τῇ διοργανώσει καὶ τῇ λαμπρότητι τῶν ἑορτῶν καὶ τῇ φιλοξενίᾳ, ἧς ἔτυχον παρὰ πάντων ἐν Ἑλλάδι, καὶ γενόμενοι διαπρύσιοι κήρυκες τῶν προόδων τῆς ἡμετέρας πατρίδος.

Ἀλλ' οὔτε ἡ πυκνότης τῶν ἑορτῶν καὶ δεξιώσεων, οὔτε ἡ ἐκ τῆς παντοίας φιλοξενίας ἀπασχόλησις ἐμείωσαν τὴν μετὰ ζήλου ἐπίδοσιν τῶν συνέδρων εἰς τὸ ἐπιστημονικὸν αὐτῶν ἔργον, οὗτινος προφανεῖς πρόκεινται οἱ καρποί.

Ἤδη τὸ ἀπόγευμα τῆς 24 Μαρτίου, προτεραίας τῆς ἐπισήμου ἐνάρξεως τοῦ Συνεδρίου καὶ τῶν Πανεπιστημιακῶν ἑορτῶν, συνελθόντες κοινῇ ἐν τῇ μεγάλῃ αἰθούσῃ τῶν τελετῶν τοῦ Πανεπιστημίου οἵ τε κατὰ τὴν ἀμφιετηρίδα αὐτοῦ ἀντιπρόσωποι καὶ οἱ σύνεδροι ἐξέλεξαν ὡς ῥήτορας τῆς ὑστεραίας τοὺς καθηγητὰς κ. κ. Μάξιμον Collignon, Βερθόλδον Delbrück καὶ Ἰωάννην Mahaffy.

Τὴν δὲ ὑστεραίαν 25 Μαρτίου 2 μ. μ. ἔγεινεν ἐν τῷ Παρθενῶνι ἡ ἐπίσημος ἔναρξις τοῦ τε Συνεδρίου καὶ τῶν ἀμφιετηρι-

κῶν ἑορτῶν τοῦ Πανεπιστημίου, καθ' ἣν ὡμίλησαν ἑλληνιστὶ μὲν ἡ Α. Β. Υ. ὁ Διάδοχος, ὁ Ὑπουργὸς τῆς Παιδείας καὶ πρόεδρος τοῦ Συνεδρίου κ. Ἀπόστολος Ἀλεξανδρῆς καὶ ὁ Πρύτανις Σπυρ. Π. Λάμπρος. Πλὴν δ' αὐτῶν προσεφώνησαν γαλλιστὶ μὲν ὁ κ. Collignon, γερμανιστὶ δὲ ὁ κ. Delbrück καὶ ἀγγλιστὶ ὁ κ. Mahaffy.

Τὴν δὲ 26 Μαρτίου ἤρχισαν αἱ συνεδρίαι τῶν διαφόρων τμημάτων τοῦ Συνεδρίου, αἵτινες καὶ ἐξηκολούθησαν μέχρι τῆς Παρασκευῆς, 30 Μαρτίου, τῆς λήξεως τῶν ἐργασιῶν κηρυχθείσης τῇ 31 Μαρτίου.

Τὸ Συνέδριον ἀπετελεῖτο ἐξ ἕνδεκα τμημάτων, ὧν τὸ ἐνδέκατον περιελάμβανε τριπλῆν ὑποδιαίρεσιν. Εἰς τὸ πρῶτον τμῆμα εἶχον ταχθῆ ἡ γλωσσικὴ καὶ αἱ ἰνδοευρωπαϊκαὶ γλῶσσαι, εἰς τὸ δεύτερον ἡ συγκριτικὴ ἱστορία τῶν θρησκειῶν τῆς Ἀνατολῆς, ἡ συγκριτικὴ μυθολογία καὶ ἡ λαογραφία καὶ αἱ σφηνοειδεῖς ἐπιγραφαί, εἰς τὸ τρίτον τὰ τῆς Ἰνδικῆς (λογοτεχνία, ἱστορία, ἀρχαιολογία), εἰς τὸ τέταρτον τὰ τοῦ Ἰρὰν (λογοτεχνία, ἱστορία, ἀρχαιολογία), εἰς τὸ πέμπτον τὰ τῆς Σινικῆς, τῆς Ἰαπωνίας καὶ τῆς κεντρικῆς Ἀσίας, εἰς τὸ ἕκτον τὰ τῆς Ἰνδοκίνας, τῆς Βιρμανίας, τοῦ Μαδαγασκὰρ καὶ τῆς Μαλαισίας, εἰς τὸ ἕβδομον τὰ τῶν σημιτικῶν γλωσσῶν καὶ λογοτεχνιῶν (τῆς φοινικικῆς, ἀσσυριακῆς, βαβυλωνιακῆς, ἑβραϊκῆς, ἀραμαϊκῆς, αἰθιοπικῆς), εἰς τὸ ὄγδοον τὰ τοῦ μουσουλμανικοῦ κόσμου (ἱστορία, λογοτεχνία, ἀρχαιολογία), εἰς τὸ ἔνατον ἡ αἰγυπτιολογία καὶ αἱ γλῶσσαι τῆς Ἀφρικῆς καὶ εἰς τὸ δέκατον τὰ τῶν γλωσσῶν, λαῶν καὶ πολιτισμῶν τῆς Ἀμερικῆς. Τοῦ δὲ ἑνδεκάτου τμήματος, περιλαμβάνοντος τὰ κατὰ τὴν Ἑλλάδα καὶ Ἀνατολήν, ἡ μὲν πρώτη ὑποδιαίρεσις ἀνεφέρετο εἰς τὰ τῆς Ἑλλάδος καὶ Ἀνατολῆς ἐν τοῖς ἀρχαίοις χρόνοις, ἡ δὲ δευτέρα εἰς τοὺς μέσους χρόνους καὶ ἡ τρίτη εἰς τὰ τῶν νέων χρόνων.

Πλὴν δὲ τῶν κατὰ τμήματα συνεδριῶν συνεκροτήθησαν καὶ συνεδρίαι τῆς ὁλομελείας ἐν τῇ μεγάλῃ αἰθούσῃ τοῦ Πανεπιστη-



μίου, προωρισμέναι ἰδίως εἰς τὰς ἀνακοινώσεις τὰς συνοδευομένας ὑπὸ προβολῆς φωτεινῶν εἰκόνων. Πλὴν δὲ τῆς αἰθούσης ταύτης ἕδραι τῶν τμημάτων ἦσαν ἡ Ἀκαδημία, ἡ Ἐθνικὴ βιβλιοθήκη, ἡ Γαλλικὴ Σχολή, ἡ Γερμανικὴ Σχολὴ καὶ ὁ Φιλολογικὸς Σύλλογος Παρνασσός.

Καὶ τῶν μὲν συνεδριῶν τῆς ὁλομελείας προέστη ὡς ἐπίτιμος πρόεδρος ὁ ἐν Ῥώμῃ καθηγητὴς κ. Ἄγγελος de Gubernatis, τὰ δὲ διάφορα τμήματα πλὴν τοῦ τετάρτου, εἰς ὃ οὐδεὶς σύνεδρος ἐνεγράφη, ἐξέλεξαν ἰδίους προέδρους, ἀντιπροέδρους καὶ γραμματεῖς ἐκ τῶν παρεπιδημούντων ἐπιφανῶν συνέδρων. Τῶν δὲ ὑποδιαιρέσεων τοῦ ἑνδεκάτου τμήματος, τοῦ ἑλληνικοῦ, ἐξελέχθησαν πρόεδροι οἱ ἑξῆς· τῆς μὲν πρώτης πρόεδρος ὁ ἐν Βιέννῃ καθηγητὴς κ. Αἰμίλιος Reisch καὶ γραμματεὺς ὁ διδάκτωρ κ. Α. Schober ἐκ τῶν ἑταίρων τῆς ἐν Ἀθήναις Αὐστριακῆς ἀρχαιολογικῆς σχολῆς, τῆς δὲ δευτέρας ἐπίτιμος μὲν πρόεδρος ὁ Σπυρ. Π. Λάμπρος, πρόεδροι ὁ κ. Κάρολος Diehl, καθηγητὴς ἐν Παρισίοις, καὶ ὁ κ. D. C. Hesseling, καθηγητὴς ἐν Λουγδούνῳ τῆς Ὀλλανδίας, γραμματεῖς δὲ οἱ διδάκτορες τῆς φιλολογίας κ.κ. Παῦλος Maas, Σωκράτης Κουγέας καὶ Czebe, τῆς δὲ τρίτης πρόεδροι μὲν οἱ κ. κ. Γεώργιος Χατζιδάκις, καθηγητὴς τοῦ Καποδιστριακοῦ Πανεπιστημίου, Δημ. Καμπούρογλους, ἔφορος τῆς Ἐθνικῆς βιβλιοθήκης, καὶ Π. Λωρεντζᾶτος, γυμνασιάρχης ἐν Ἀθήναις, γραμματεὺς δὲ ὁ διδάκτωρ τῆς φιλολογίας κ. Φαίδων Κουκουλές. Καὶ τὸ πρῶτον δὲ τμῆμα ἐξέλεξεν Ἕλληνα γραμματέα, τὸν διδάκτορα τῆς φιλολογίας κ. Ν. Δεκαβάλλαν.

Αἱ ἐν τοῖς διαφόροις τμήμασιν ἀνακοινώσεις ἀνῆλθον εἰς ἑκατὸν τεσσαράκοντα, οὐδὲ εἶνε εὔκολος ἡ ἀναγραφὴ αὐτῶν ἐνταῦθα τοσούτῳ μᾶλλον καθ' ὅσον αἱ πλεῖσται αὐτῶν ἀναφέρονται εἰς μελετήματα σχετιζόμενα εἰς ἐρεύνας ὀλίγον γνωστὰς παρ' ἡμῖν ἕνεκα τῆς μόλις που ἀρχομένης ἐν Ἑλλάδι ἀσχολίας περὶ τὰ τῶν ἀνατολικῶν γλωσσῶν καὶ λαῶν. Διὸ περιοριζόμε-

θα μόνον εἰς τὰς γενομένας ἐν ταῖς τρισὶν ὑποδιαιρέσεσι τοῦ ἑλληνικοῦ τμήματος καὶ εἰς ἐκείνας τῶν λοιπῶν ἐν ἄλλοις τμήμασιν ὅσαι σχετίζονται ὁπωσδήποτε πρὸς τὰ καθ' ἡμᾶς. Εἶνε δὲ αὗται αἱ ἑξῆς:

Ahmed Zéki pacha Ἡ παρὰ τῶν Ἀράβων εἰς τὸ ἑλληνικὸν πνεῦμα ἀπονεμηθεῖσα τιμή.

» » Περὶ ἀραβικῆς μεταφράσεως τοῦ Γεμιστοῦ.

» » Γεωγραφικὴ συμβολὴ περὶ τοῦ σπηλαίου τῶν ἑπτὰ παίδων ἐν τῇ χώρᾳ τῶν Ἑλλήνων.

Felix von Luschan Ἡ ἀνθρωπολογία τῆς ἀνατολικῆς Ἀσίας.

F. Bohl Ὁ ἐκ τῆς ἀνατολικῆς Ἀσίας κύκλος τῶν ζῳδίων παρὰ τοῖς Ἕλλησιν.

Aug. Heisenberg Ἡ θέσις τοῦ Παναγίου τάφου ἐν Ἱεροσολύμοις.

Hubert Pernot Ἡ χρησιμότης τῆς πειραματικῆς φωνητικῆς ἐν ταῖς γλωσσικαῖς μελέταις περὶ τῆς νέας Ἑλληνικῆς.

» » Περὶ νέας κοινῇ μετὰ τοῦ κ. Hesseling ἐκδόσεως τοῦ Ἑκατολλόγου.

Νικ. Μπαλάνου Παρατηρήσεις τινὲς περὶ τῆς ἀνορθώσεως τῆς ἰωνικῆς στοᾶς τῶν Προπυλαίων.

Κ. Ψάχου Περὶ τῆς παρασημαντικῆς τῆς βυζαντιακῆς μουσικῆς.

G. de Jerphanion Περὶ τῆς χρονολογίας τῶν γλυπτῶν τοῦ Τοκαλὶ Κιλεσσὲ ἐν Καππαδοκίᾳ.

Paul Kretschmer Ἡ ἀνάπτυξις τῆς ἰνδογερμανικῆς γλωσσολογίας.

E. Washburn Hopkins Οἱ σανσκριτικοὶ Kabairas καὶ οἱ παρ' Ἕλλησι Κάβειροι.

Γεωργίου Χατζιδάκι Περὶ φωνητικοῦ τινος νόμου ἐν τῇ ποντικῇ διαλέκτῳ.

» » Περὶ τοῦ Ἑλληνικοῦ λεξικοῦ.

Ν. Παπαγιαννοπούλου Περί τινων ἐπιγραφῶν τῶν Ψαλμῶν.

Θεοφ. Βορέα Περὶ τῆς ἀρχῆς τῆς περὶ μετεμψυχώσεως θεωρίας ἐν τῇ ἑλληνικῇ φιλοσοφίᾳ.

Σκεύου Ζερβοῦ Συμβολὴ εἰς τὴν προϊπποκράτειον μαιευτικὴν τῶν Βαβυλωνίων καὶ Ἀσσυρίων κατὰ τοὺς ἀρχαίους Ἕλληνας συγγραφεῖς.

Fr. Pullé Ἡ Ἰνδοκίνα ἐν τῇ ἀρχαίᾳ ἑλληνορωμαϊκῇ χαρτογραφίᾳ.



E. Kuhn Περὶ Δημητρίου Γαλανοῦ.

E. Pavolini Περὶ Ἀλεξάνδρου Πασπάτη.

Angelo de Gubernatis Περὶ τῆς ἑλληνικῆς προελεύσεως τῶν μεγάλων ἑλληνικῶν θεαινῶν.

V. Ussani Τὸ κείμενον τοῦ Φλαβίου Ἰωσήπου πρὸ τοῦ τετάρτου αἰῶνος.

I. Mahaffy Εἶπεν ὁ Περικλῆς περὶ τῶν Ἀθηναίων «Φιλοκαλοῦμεν μετ' εὐτελείας» ;

Lehmann—Haupt Περὶ Φείδωνος τοῦ Ἀργείου καὶ τοῦ χρόνου αὐτοῦ.

Δημ. Παππούλια Ἑλληνικὸν δίκαιον καὶ ἱστορία τοῦ ἑλληνικοῦ δικαίου.

Ἐμμ. Δαυὶδ Δύο ἀνέκδοτοι ἐπιγραφαὶ ἐκ Λέσβου.

Ἰω. Ὀλυμπίου Ἡ εἰκοσαετὴς διατριβὴ τοῦ Πλάτωνος ἐν τῇ Ἀκαδημίᾳ.

Δημ. Σαγκριώτου Περὶ τῶν Κοίλων Εὐβοίας.

Lud. Pernier Τὰ ἀρχαιότατα μινωικὰ στρώματα κατὰ τὰς τελευταίας ἀνασκαφὰς τῆς Φαιστοῦ.

Gustav Blum Ὁ ἐξηγητὴς ἐν Αἰγύπτῳ.

D. C. Hesseling Τὸ ἔπος περὶ Διγενοῦς Ἀκρίτα κατὰ τὸν κώδικα τῆς Μαδρίτης.

Charles Diehl Αἱ πρόοδοι τῶν βυζαντιακῶν μελετῶν ἐν Γαλλίᾳ ἀπὸ τοῦ 1899.

Max Maas Θρησκευτικὸς σύλλογος κατὰ τὸν ἕβδομον αἰῶνα.

Σωκράτους Κουγέα Ἡ Αἴγυπτος καὶ ἡ ἀναβίωσις τῶν κλασικῶν σπουδῶν ἐν Βυζαντίῳ.

Ἀντ. Μομφερράτου Περὶ τῶν διπλωματικῶν ἐνεργειῶν Μανουὴλ τοῦ Παλαιολόγου ἐν Εὐρώπῃ καὶ Ἀσίᾳ.

Α. Καλλιμάχου Ὑπῆρξεν ὁ Κῦρος Ἕλλην πατριάρχης Ἀλεξανδρείας καὶ συγχρόνως ἀντιβασιλεὺς τῆς Αἰγύπτου;

» » Αἱ οἰκονομικαὶ δυνάμεις τοῦ πατριαρχείου Ἀλεξανδρείας ἐπὶ τουρκοκρατίας.

Ν. Γ. Πολίτου Ἡ σημασία τῶν μαγικῶν χαρακτήρων ἐν ταῖς σωθιακαῖς ἐπιγραφαῖς, τοῖς περιάπτοις καὶ τοῖς μαγικοῖς βιβλίοις.

» » Περὶ τῶν λαογραφικῶν ἐργασιῶν κατὰ τοὺς μέσους αἰῶνας.

Φαίδωνος Κουκουλὲ Ὁ Θεσσαλονίκης Εὐστάθιος ὡς λαογράφος.

Max Vasmer Περὶ τῆς ἀξίας τῶν ἀρχαίων ῥωσικῶν Arbukowniki χάριν τῆς ἐρεύνης τῆς μεσαιωνικῆς ἑλληνικῆς γλώσσης.

Θεμ. Βολίδου Περὶ τοῦ παλαιογραφικοῦ του ἔργου ἐν Σινᾷ καὶ ἀνακοίνωσις ἀραβικῆς ἐπιγραφῆς περὶ τῆς κτίσεως τῆς ἐκκλησίας τὸν θ' αἰῶνα.

L. Ronzevalle Περὶ δανείων λέξεων ἐκ τῆς τουρκικῆς ἐν τῇ δημώδει ἑλληνικῇ τῆς Ῥούμελης καὶ ἰδίως τῆς Ἀδριανουπόλεως.

Ν. Δεκαβάλλα Περὶ τῆς ἐπεκτάσεως τῶν συμφώνων ἐν τῇ νέᾳ ἑλληνικῇ.

A. Danon Σημείωσις περὶ τῆς ἑλληνοκοραϊτικῆς λογοτεχνίας.

Α. Μπούτουρα Περὶ νεοελληνικῆς γραμματικῆς καὶ ἑλληνικῆς διαλεκτολογίας.

» » Περὶ τοῦ τσιτακισμοῦ ἐν τῇ ἑλληνικῇ γλώσσῃ.

Ἀχ. Τζαρτζάνου Περὶ τῶν ὁρίων τῆς ἀνομοιώσεως ἐν τῇ βορείῳ ἑλληνικῇ.

Π. Λωρεντζάτου Τὰ σύνθετα ἐν τῷ κεφαλληνιακῷ ἰδιώματι.

Δ. Θεοχαρίδου Τὰ ἐν Μικρᾷ Ἀσίᾳ ἀμερικανικὰ κολλέγια ἐν σχέσει πρὸς τοὺς Ἕλληνας.

Κ. Ζησίου Περὶ τῆς μητροπόλεως Μονεμβασίας.

» » Περὶ τῶν ἑλληνικῶν ἐπιγραφῶν καὶ ἐπιγραφικῶν χαραγμάτων.

» » Ποῦ εἶχον στηθῆ τὰ δύο βομβοβόλα ἐξ ὧν ἐβλήθη ἡ βόμβα ἡ καταστρέψασα τὸν Παρθενῶνα τῇ 16 Σεπτεμβρίου 1687 ;

Κατετέθησαν δὲ ὑπ' ἄλλων καὶ αἱ ἑξῆς ἀνακοινώσεις τοῦ ἀπόντος Ν. Βέη α') Ἐπιγραφικαὶ συμβολαὶ εἰς τὴν ἱστορίαν τῶν Ἰουδαίων ἐν Ἑλλάδι, Αἰγύπτῳ καὶ Ἀσίᾳ· β') Περί τινος μεσαιωνικοῦ ἔπους ἐκ τῶν κωδίκων τῶν Μετεώρων περὶ Μεγάλου Ἀλεξάνδρου καὶ τῆς Σεμιράμιδος· γ') Τοπογραφικὸς καθορισμὸς τοῦ κάστρου τοῦ Ἀρακλώβου· δ') Περὶ τοῦ ἐν τῷ κώδικι 40 Β τῆς μονῆς Μεταμορφώσεως τῶν Μετεώρων μεσαιωνικοῦ χειρογράφου Γερασίμου μοναχοῦ· ε') Περί τινων ἑλληνοεβραϊκῶν ἐλεγειῶν Κερκύρας.

Ὁ δὲ Σπυρ. Π. Λάμπρος ἕνεκα τῆς ἀδιαπτώτου διευθύνσεως τῶν κατὰ τὰς ἀμφιετηρικὰς ἑορτὰς τοῦ Πανεπιστημίου καὶ τῶν κατὰ τὸ Συνέδριον δὲν ἠδυνήθη νὰναγνώσῃ τὰς προαγγελθείσας αὐτοῦ ἀνακοινώσεις α') Ἀνατολικὰ χειρόγραφα καὶ ἔγγραφα ἐν Ἀθήναις· β') Σχέσεις τῆς Αὐστρίας καὶ Οὑγγαρίας μετὰ τοῦ Βυζαντίου· γ') Νέον ἔγγραφον συμβάλλον εἰς τὴν ἱστορίαν τῆς ἰουδαϊκῆς ἐν Κερκύρᾳ συναγωγῆς.



Μετὰ δὲ τὸ πέρας τῶν συνεδριῶν, καθ' ἃς ἔγειναν αἱ ἀνωτέρω ἀνακοινώσεις, συνῆλθεν ὑπὸ τὴν προεδρίαν τοῦ Γενικοῦ γραμματέως ἡ ἐπιτροπεία τῶν προέδρων καὶ ἀντιπροέδρων πρὸς καθορισμὸν τῆς ἕδρας τοῦ ἐπομένου δεκάτου ἑβδόμου συνεδρίου. Προετάθησαν δὲ τὸ Κάϊρον, ἡ Λειψία, τὸ Ἀμστελόδαμον, ἡ Κανταβριγία καὶ τὸ Ὀξώνιον. Μὴ ἐπιτευχθείσης δὲ ὁμοφωνίας οὔτ' ἐν ταύτῃ τῇ συνεδρίᾳ, οὔτ' ἐν τῇ κατὰ τὸ Σάββατον, 31 Μαρτίου, συνελθούσῃ συνεδρίᾳ τῶν ἐν τῷ Συνεδρίῳ ἐπισήμων ἀντιπροσώπων, ἡ ὁλομέλεια, ἥτις συνῆλθεν ὀλίγον κατόπιν, ἀπεδέχθη τὴν ὑπὸ τῶν προέδρων γενομένην πρότασιν περὶ καταστάσεως διεθνοῦς ἐπιτροπείας, ἥτις τοῦτο μὲν νὰναθεωρήσῃ τὸ καταστατικὸν τοῦ Συνεδρίου, τοῦτο δὲ νὰ ὁρίσῃ μετὰ προηγουμένας συνεννοήσεις τὴν προσεχῆ αὐτοῦ ἕδραν. Συνεκροτήθη δὲ ἡ διεθνὴς αὕτη ἐπιτροπεία ἐκ τῶν ἑξῆς ἐννέα μελῶν· E. Chavannes (Γαλλίας), Rhys Davids (Ἀγγλίας), Ἰγνατίου Guidi (Ἰταλίας), Παύλου Haupt (Ἡνωμένων πολιτειῶν)· Snouck Hurgronje (Ὀλλανδίας), E. Kuhn (Γερμανίας) Σπυρ. Π. Λάμπρου (Ἑλλάδος), H. Naville (Ἑλβετίας) Σεργίου d'Oldenbourg (Ῥωσίας). Ἡ δ' ἐπιτροπεία αὕτη ἐξέλεξε γραμματέα τὸν κ. Rhys Davids.

Ἐπὶ τούτοις ὁ Γενικὸς γραμματεὺς τοῦ ιϛ' Συνεδρίου Σπυρ. Π. Λάμπρος ἀνεκοίνωσεν εἰς τὴν ὁλομέλειαν τῶν συνέδρων τὰ κατὰ τὴν διάρκειαν τοῦ Συνεδρίου ἐλθόντα πρὸς αὐτὸ τηλεγραφήματα, καὶ εἶτα ὑπέβαλεν εἰς ψήφισιν τὰς ὑπὸ τῶν διαφόρων τμημάτων ἐκφρασθείσας εὐχάς, αἵτινες καὶ ἐνεκρίθησαν ὁμοφώνως. Μεταξὺ τούτων καὶ αἱ ἑξῆς τρεῖς εἰς τὰ καθ' ἡμᾶς ἀναφερόμεναι·

α) Εὐχὴ τῆς δευτέρας ὑποδιαιρέσεως τοῦ ἑνδεκάτου τμήματος περὶ τῆς εἰς τὴν Λαογραφικὴν ἑταιρείαν Ἀθηνῶν ἀναθέσεως συστηματικῆς περισυλλογῆς τῆς ὕλης τῆς λαογραφίας τῆς ἐκ τῶν βυζαντιακῶν χρόνων περισωζομένης. Διετυπώθη δ' ἡ εὐχὴ αὕτη οὕτω· «Τὸ βυζαντιακὸν τμῆμα τοῦ ΙϚ' Συνεδρίου

»τῶν Ἀνατολιστῶν ἐπὶ τῇ προτάσει τοῦ κ. Ν. Γ. Πολίτου ἐξέ-
»φρασε τὴν ἐπιθυμίαν, ὅπως ἐπιχειρηθῇ συστηματικὴ ἐργασία
»χάριν περισυλλογῆς τῆς ὕλης τῆς ἑλληνικῆς λαογραφίας τῆς
»περισωζομένης παρὰ τοῖς Βυζαντίνοις συγγραφεῦσιν ἢ ἐν
»τοῖς μνημείοις. Δύναται δ' ἡ ἐργασία αὕτη νὰ γείνῃ λαμ-
»βανομένου ὡς κέντρου τῆς Λαογραφικῆς ἑταιρείας τῶν Ἀθη-
»νῶν, ἀναλαμβανούσης νὰ συνεννοηθῇ μετ' ἐκείνων οἵτινες θὰ
»εἶχον τὴν προθυμίαν νὰ ἐπιχειρήσωσιν ἐρεύνας εἴτε παρά
»τινι τακτῷ συγγραφεῖ εἴτ' ἔν τινι συνόλῳ ἔργων, εἴτ' ἐν ὡρι-
»σμένοις μνημείοις, καὶ μελλούσης νὰ μεριμνήσῃ περὶ τῆς δη-
»μοσιεύσεως τῶν ἐπιτευχθησομένων πορισμάτων».

β') Εὐχὴ τοῦ αὐτοῦ τμήματος περὶ ἱδρύσεως Μουσείου βυ-
ζαντιακῆς τέχνης, διατυπωθεῖσα ὡς ἑξῆς· «Τὸ βυζαντιακὸν
»τμῆμα τοῦ ΙϚ' Συνεδρίου τῶν Ἀνατολιστῶν, γινῶσκον τὸ ἐν-
»διαφέρον τῆς ἑλληνικῆς Κυβερνήσεως περὶ τῆς διασώσεως
»τῶν μνημείων τῶν μέσων αἰώνων τοῦ ἑλληνισμοῦ καὶ ἐπιθυ-
»μοῦν νὰ βοηθήσῃ τὸ κατ' αὐτὸ εἰς τὴν διάσωσιν τῶν βυζαντια-
»κῶν μικροτεχνημάτων, ἐκφράζει τὴν εὐχήν, ὅπως ἱδρυθῇ ἐν
»Ἀθήναις Μουσεῖον βυζαντιακῆς τέχνης, ἐν ᾧ νὰ περισυλλε-
»χθῶσι καὶ ταξινομηθῶσι ταῦτα χάριν μεγίστης ὠφελείας τῶν
»βυζαντιακῶν μελετῶν».

γ') Εὐχὴ ὑπὲρ ὑποστηρίξεως τοῦ Νεοελληνικοῦ λεξικοῦ
διατυπωθεῖσα ὧδε· «Ἡ τρίτη ὑποδιαίρεσις τοῦ Συνεδρίου τῶν
»Ἀνατολιστῶν, ἔχουσα ὑπ' ὄψιν τὴν ὑπέροχον σημασίαν, ἣν
»ἔχει τὸ Νεοελληνικὸν λεξικὸν οὐ μόνον πρὸς τὴν μελέτην τῆς
»ζώσης γλώσσης, ἀλλὰ καὶ πρὸς τὴν γνῶσιν τῆς ἑλληνικῆς
»γλώσσης καθ' ὅλου καὶ ἀναφερόμενον εἰς τὰ ἐκτεθέντα ὑπὸ
»τοῦ καθηγητοῦ κ. Γ. Ν. Χατζιδάκι Περὶ τοῦ Νεοελληνικοῦ
»λεξικοῦ, ἐψήφισεν ὁμοφώνως ἐπὶ τῇ προτάσει τοῦ καθηγητοῦ
»κ. Ἀλβέρτου Thumb νὰ ὑποβάλῃ εἰς τὴν ἑλληνικὴν Κυβέρ-
»νησιν τὴν παράκλησιν, ὅπως παράσχῃ τὴν ὑλικὴν αὐτῆς ὑπο-
»στήριξιν μετὰ δαψιλείας παρεχούσης τὴν προσδοκίαν, ὅτι ἡ



»σύνταξις καὶ ἡ δημοσίευσις τοῦ σπουδαίου τούτου ἔργου θὰ
»πραγματωθῶσιν ὅσον ἔνεστι τάχιον».

Ὁμοίως δὲ ἀνηγγέλθη, ὅτι φροντίδι τῆς πρυτανείας ἐξετε-
λέσθησαν δύο ἀποφάσεις τοῦ τρίτου τμήματος περὶ ἐνδείξεως
τῆς τιμῆς αὐτοῦ πρὸς τοὺς δύο Ἕλληνας Ἀνατολιστὰς Δημή-
τριον Γαλανὸν καὶ Ἀλέξανδρον Πασπάτην διὰ τῆς στέψεως
τῆς εἰκόνος ἐκείνου τῆς ἀποκειμένης ἐν τῇ αἰθούσῃ τῆς Συγ-
κλήτου ἐν τῷ Πανεπιστημίῳ, οὗ ὑπῆρξεν ὁ πρῶτος εὐεργέτης,
καὶ τῆς καταθέσεως στεφάνου ἐπὶ τοῦ ἐν τῷ Α' Νεκροταφείῳ
Ἀθηνῶν τάφου τοῦ Πασπάτη.

Μετὰ δὲ τὴν ψήφισιν τῶν εὐχῶν τῶν τμημάτων, περατωθει-
σῶν τῶν ἐργασιῶν τοῦ Συνεδρίου ἐν τῇ συνεδρίᾳ ἐκείνῃ τῆς
ὁλομελείας, οἱ ἐκ τῶν προέδρων καθηγηταὶ κ. κ. Ἀδαλβέρτος
Bezzenberger, Ἄγγελος de Gubernatis καὶ Φραγκῖσκος Pullé
ἐξέφρασαν δι' εὐγλώττων προσλαλιῶν τὰς εὐχαριστίας τῶν
συνέδρων πρὸς τὴν Βασιλείαν καὶ τὴν Κυβέρνησιν τῆς
Ἑλλάδος, τὸ Ἐθνικὸν Πανεπιστήμιον, τὸν Πρύτανιν καὶ
Γενικὸν γραμματέα τοῦ Συνεδρίου καὶ πάντας τοὺς ὁπωσδή-
ποτε συντελέσαντας εἰς τὴν ἐπιτυχίαν αὐτοῦ, ἐν οἷς καὶ φιλό-
τιμοι ἐκ γλωσσομαθῶν φοιτητῶν ξεναγοὶ τῶν συνέδρων, πρὸς
δ' ἐπὶ τούτοις εἰς τὸν φιλόξενον ἑλληνικὸν λαόν, καὶ ηὐχήθη-
σαν τὰ βέλτιστα εἰς τὴν φιλοξενήσασαν αὐτοὺς Ἑλλάδα.

Ἐν τέλει δ' ὁ Γενικὸς γραμματεὺς ἀντευχαριστήσας ἐκήρυ-
ξε τὴν λῆξιν τοῦ Συνεδρίου, εὐχηθείς, ὅπως οἱ εὐγενεῖς ξένοι
μὴ λησμονήσωσί ποτε τὰς Ἀθήνας καὶ τὴν Ἑλλάδα.

Ἡ ἐν Ἀθήναις τέλεσις τοῦ Συνεδρίου ὠφέλησε καὶ κατὰ
τοῦτο, ὅτι ὁ μὲν ἐν Νέᾳ Ὑόρκῃ διαμένων Δανὸς ἐρευνητὴς τῆς
Σινικῆς κ. Frits von Holm ἐδωρήσατο εἰς τὴν ἑλληνικὴν Κυ-
βέρνησιν γύψινον ἐκμαγεῖον τοῦ κολοσσιαίου ἐν Peilin Νεστο-
ριανοῦ μνημείου τοῦ ὀγδόου αἰῶνος, κατατεθὲν ἐν τῇ ἀρτίως
συσταθείσῃ ἐν τῷ Ζαππείῳ μεγάρῳ ἀρχαιολογικῇ συλλογῇ ἐκ-
μαγείων, πλεῖστοι δὲ ὅσοι ἀντιπρόσωποι καὶ ἄλλοι σύνεδροι

κατέθηκαν χάριν τοῦ Συνεδρίου πλῆθος συγγραφῶν καὶ σπανίων δημοσιεύσεων ἀναφερομένων εἰς μελέτας τῶν ἀνατολικῶν γλωσσῶν καὶ λαῶν. Ἡ ἀξιόλογος αὕτη συλλογὴ κατετέθη ἐν τῇ Ἐθνικῇ Βιβλιοθήκῃ τῆς Ἑλλάδος, ἀπαρτισθέντος οὕτω τὸ πρῶτον νῦν ἰδίου τμήματος ἀνατολικῶν δημοσιευμάτων.

Ἀλλὰ καὶ εἰς ἄλλα τινὰ ἔδωκεν ἀφορμὴν ἡ ἐν Ἀθήναις τέλεσις τοῦ Συνεδρίου. Καὶ δὴ φροντίδι τοῦ Πρυτάνεως καὶ Γενικοῦ γραμματέως κατηρτίσθησαν δύο πρόχειροι ἐκθέσεις, ἡ μὲν εἰκόνων βυζαντιακῆς τεχνοτροπίας, ἧς ἐπεμελήθη κατ' ἐντολὴν τῆς συσταθείσης εἰδικῆς ἐπιτροπείας ὁ ἔφορος τῶν μεσαιωνικῶν ἀρχαιοτήτων κ. Ἀδαμάντιος Ἀδαμαντίου, νῦν καθηγητὴς τοῦ Καποδιστριακοῦ Πανεπιστημίου, ἡ δὲ τῶν ἐν Ἀθήναις ἀνατολικῶν χειρογράφων τῶν ἀποκειμένων ἐν τῇ Ἐθνικῇ Βιβλιοθήκῃ καὶ τῇ τῆς Βουλῆς, ἧς τὴν φροντίδα ἀνέλαβε, παρακληθεὶς ὑπὸ τοῦ Πρυτάνεως, ὁ ἐπιμελητὴς τῶν χειρογράφων τῆς Ἐθνικῆς Βιβλιοθήκης κ. Θεμιστοκλῆς Βολίδης. Καὶ τῆς μὲν ἐκθέσεως τῶν βυζαντιακῶν εἰκόνων, ἧς τὸ μέγιστον καὶ κράτιστον μέρος ἀπετέλεσεν ἡ μετὰ μεγίστης προθυμίας πρὸς τὸν σκοπὸν τοῦτον παραχωρηθεῖσα ἰδιωτικὴ συλλογὴ τοῦ κ. Ἀλεξίου Κολυβᾶ, ἐξεδόθη φροντίδι τοῦ κ. Ἀδαμαντίου καὶ εἰδικὸς κατάλογος γαλλιστὶ συνταχθεὶς καὶ φέρων τὴν ἐπιγραφὴν Congrès international des Orientalistes. Exposition d'icônes byzantines. Catalogue des icônes. Athènes 1912. Ἡ δὲ ὑπὸ εἰδικῶν Ἀνατολιστῶν ἐξέτασις τῶν ἐκτεθέντων ἀνατολικῶν κωδίκων ἔδωκεν ἀφορμὴν εἰς τὴν μεταξὺ τούτων ἰδίᾳ ὑπὸ τῶν κ. κ. E. Kuhn, E. Pavolini καὶ Φρ. Pullé εὕρεσιν ἀξιολόγων τινῶν χειρογράφων καὶ εἰς τὴν ὑπόδειξιν τῆς ἀνάγκης ὅπως διευκολυνθῇ ἡ μελέτη τῶν τοιούτων ὑπὸ τῶν εἰδικῶς ἀσχολουμένων ἐν τοῖς τόποις τῆς διαμονῆς αὐτῶν διὰ δανεισμοῦ εἰς τὸ ἐξωτερικόν, ὃν σήμερον ἀπαγορεύει ὁ νόμος. Τοιοῦτος δὲ δανεισμὸς θὰ συνεπέφερε καὶ τὴν εὐκολίαν Ἑλλήνων ἐρευνητῶν, δυναμένων νὰ μελετῶσιν ἐν Ἀθήναις κώδικας ἐν βιβλιοθήκαις



τοῦ ἐξωτερικοῦ ἀποκειμένους καὶ ὑπὸ τῶν Βιβλιοθηκῶν ἐκείνων ἐπὶ δανείῳ στελλομένους εἰς Ἀθήνας. Διὸ ὁ Σπυρ. Π. Λάμπρος, ὅστις, ἀπὸ μακροῦ ἤδη συνιδὼν τὴν τοιαύτην ἀνάγκην, εἶχε καὶ ἄλλοτε ὑποκινήσει τὸ ζήτημα τοῦτο παρὰ τῇ ἑλληνικῇ Κυβερνήσει, ὑπέβαλεν εἰς τὸν Ὑπουργὸν τῆς Παιδείας κ. Ἰω. Τσιριμῶκον ἔγγραφον περὶ τῆς τοιαύτης ἐπιστημονικῆς ἀνάγκης, συνυποβαλὼν καὶ τὸ σχέδιον Νόμου περὶ δανεισμοῦ χειρογράφων καὶ παλαιοτύπων εἰς τὸ ἐξωτερικόν, οὗ πάντες οἱ περὶ τὰ τοιαῦτα ἀσχολούμενοι εὔχονται τὴν εἰς τὴν Βουλὴν ὑποβολὴν καὶ ὑπὸ ταύτης ψήφισιν. Συνυπέβαλε δὲ καὶ σχέδιον ἐκθέσεως τοῦ Ὑπουργοῦ πρὸς τὴν Βουλὴν καὶ σχέδιον τοῦ οἰκείου νομοτελεστικοῦ Β. Διατάγματος.

# ΣΥΜΜΙΚΤΑ

√ —***Ἑλληνικὸς κῶδιξ τοῦ ἐν Βενετίᾳ Πατριαρχικοῦ Ἱεροσπουδαστηρίου.*** Τὸ ἐν Βενετίᾳ λεγόμενον Πατριαρχικὸν Ἱεροσπουδαστήριον (Seminario Patriarcale) κέκτηται πλὴν χιλίων περίπου ἰταλικῶν καὶ λατινικῶν κωδίκων, ἐν οἷς οὐκ ὀλίγη ἱστορικὴ ὕλη ἐνδιαφέρουσα τοὺς Ἕλληνας, καὶ ἕνα κώδικα ἑλληνικόν.

Ὁ κῶδιξ οὗτος εἶνε χαρτῷος, ἐγράφη τὸν δέκατον ἕκτον αἰῶνα καὶ σύγκειται ἐκ φύλλων 131, ὧν τὰ τελευταῖα ἄγραφα. Περιέχονται δ' ἐν αὐτῷ τὰ ἑξῆς·

1 (φ. 1α) «Βίος καὶ πολυτία τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρκου τοῦ Ἀθωνέου» (γρ. Ἀθηναίου).

2 (φ. 14α) «Τὰ ἀπο κτήσεως κόσμου ἔτι μέχρι τῆς δεῦρο».

Ἀρχ. Ἀπὸ Ἀδαμ μέχρι τοῦ Νῶε ἔτη ͵βσμβ. Τέλ. ἐν ἐσχάτοις καιροῖς ἀναδείκνυται καὶ λυμανεῖται κόσμον ἔτη τρία. Τέλος.

3 (φ. 17α). «Περὶ τῆς Παναγίας πότε ἔσχεν τὴν αρχὴν γύνεσθαι».

Ἀρχ. Μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φρικτὴν ἀνάστασιν.

4 (φ. 18β). «Ἡ αποκάλυψις τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας».

Ἀρχ. Ἐπορεύθη ποτὲ ἡ ὑπεραγία Θεοτόκος ἐν τω ὄρει τῶν ἐλαιῶν κατὰ τὸ ἔθος προσεύξασθαι.

5 (φ. 30β). «Ἐρμηνίαις. [Ἐρώτησις]. Ψυχρὸν ὕδωρ καὶ θερμῶν ὕδωρ μέγαν. [Ἑρμηνεία]. Τοῦτο (ἐν Σοδόμοις καὶ Γομῶροις. Ἐρώτησις. Τί παραδέτην εἶχεν ἡ κιβωτός. Ἐρμινήα. Τὸν τύπον τοῦ Σταυροῦ».

Ἕπονται ἄλλαι τοιαῦται βραχεῖαι Ἐρωτήσεις καὶ Ἑρμηνεῖαι.

6 (φ. 32β). «Τοῦ ὁσίου πατρὸς ἡμῶν ***Ἐφραὶμ τοῦ Σύρου*** Λόγος κατανυκτὸς εἰς τὸν μάταιον βίον τοῦ κόσμου τούτου καὶ εἰς κατάνυξιν καὶ ὀφελείαν τῶν ψυχῶν ἡμῶν».

7 (φ. 34β) «Τοῦ ὁσίου πατρὸς ἡμῶν ***Ἐφρὲμ τοῦ Σύρου*** Λόγος εἰς τὸν πάγκαλον Ἰωσήφ».

8 (φ. 60α). «Βίος καὶ πολυτεία τοῦ ὁσίου πατρὸς ἡμῶν ἀββᾶ τοῦ Μακαρίου».

9 (φ. 80β). «Βίος καὶ πολιτία καὶ ἄσκησις τῆς ὁσίας Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ».



10 (φ. 99α). «Βίος καὶ πολιτία τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας».

11 (φ. 121α). «Θαῦμα τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τυρονος».

12 (φ. 127α ***Ἰωάννου τοῦ Χρυσοστόμου*** «Λόγος περὶ τῆς ἁγίας Κυριακῆς ψυχοφελῆς».

Ἀρχ. Ἀκούσατε ἀδελφοὶ καὶ πάντα Χριστïανοὶ τί λέγει ὁ προφήτης περὶ τῆς ἁγίας Κυριακῆς».

13 (φ. 130β). «Βίος καὶ πολïτία τῶν αγίων καὶ θαυματουργῶν Ἀναργύρων Κοσμὰ καὶ Δαμιανοῦ καὶ τῆς τούτων μητρὸς καὶ θαυμάτων διήγεισις».

Ἐν φ. 158α χειρὶ νεωτέρᾳ τοῦ αὐτοῦ ις' αἰῶνος τάδε·

† Εἰς γυναῖκα να γενήση εὔκολα. Γράψε εἰς τά· Ὁ θόριβος ἐγίνετον ἐπὶ της γης· ἄγγελοι τὸ ἤκουσαν.

Ἕτερη ἑρμηνίαν εἰς λύσιν ἀνδρογήνου † Γράψε εἰς λαγοῦ δερμάτην τὰς χαρακτήρας τὰς κάτωθεν καὶ δέσε εἰς δεξιὰν τοῦ βραχιόναν. (Ἕπονται γράμματα μαγικά).

Ἕτερον. Γράψε εἰς χαρτὶν ἀγένητον καὶ δέσε εἰς το δεξιὸν του μέρος. (Ἕπονται γράμματα μαγικά).

Χαρτὶν ἀγέννητον δηλεῖ περγαμηνὴν ἐκ ζῴου ἀγεννήτου, ἔτι ἐν τῇ νηδύϊ τῆς σφαζομένης ἐπὶ τούτῳ μητρὸς εὑρισκομένου. Ἴδε ***Θόμψωνος-Λάμπρου*** Ἐγχειρίδιον παλαιογραφίας σ. 72 Πρβλ. ***Ν. Γ. Πολίτου*** Παλαιογραφικὴ σταχυολογία ἐκ τῶν μαγικῶν βιβλίων ἐν τῇ Byzantinische Zeitschrift Τόμ. Α' (1892) σ. 559 καὶ 560-1.

√ —***Ἀμοιβαὶ διδασκάλων καὶ ῥητόρων ἐπὶ τουρκοκρατίας.*** Ὡς μικρὰ συμβολὴ εἰς τὰ περὶ τῆς ἀμοιβῆς τῶν διδασκάλων τοῦ γένους καὶ τῶν ῥητόρων ἐπὶ τῆς τουρκοκρατίας, περὶ ἧς ἐλαχίστας ἔχομεν εἰδήσεις, σημειωθήτωσαν ἐνταῦθα τὰ ἑξῆς·

Οἱ διάφοροι πανηγυρικοί, οὓς βλέπομεν ἑκάστοτε ἐκφωνουμένους παρὰ λογίων ἀνδρῶν πρὸς τοὺς Ἕλληνας ἡγεμόνας τῶν παριστρίων χωρῶν καὶ τὰ μέλη τῶν αὐθεντικῶν οἴκων, δὲν ἐγράφοντο πάντοτε δωρεάν. Οὕτως ἐκ τοῦ κώδικος 745 (414) τῆς ἐν Βουκουρεστίῳ Ῥωμανικῆς Ἀκαδημίας μανθάνομεν τὴν ἀμοιβήν, ἧς ἔτυχεν ὁ ἀρχιμανδρίτης Γρηγόριος ὁ συγγραφεὺς τῶν εἰς τὸν Ἀλέξανδρον Κωνσταντίνου Μουρούζην καὶ τὸν Κωνσταντῖνον Ἀλεξάνδρου Ὑψηλάντην γραφέντων ἐγκωμίων τῶν ἐν τῷ κώδικι ἐκείνῳ περιεχομένων. Καὶ δὴ ἐν ἀρχῇ τοῦ εἰς τὸν Μουρούζην λόγου ἐσημείωσεν ὁ ῥήτωρ ἐν σ. 1 τάδε.

Μὲ ὅλον ὁποῦ τὸ γραφὲν ἐγκώμιόν ἐγράφη εἰς ἁπλῆν φράσιν, πλὴν ἤρεσε πολὺ τῷ ῥηθέντι αὐθέντῃ, ἐπειδὴ μετὰ τὴν ἀποτομὴν τοῦ προκατόχου αὐτοῦ Χαντζερλῆ, ἐξέλαβε τὰ γραφέντα μοι διανοήματα ὡς καλοὺς οἰωνισμοὺς διὰ τὴν ἑαυτοῦ αὐθεντείαν. Ὅθεν καὶ ἐχαρίσατό μοι ἑκατὸν γρόσια καὶ μετά τινας μῆνας μὲ ἐδιώρισεν ἡγούμενον εἰς τὸ μοναστήριον Βιέρσσι, διὰ τῆς συστάσεως τοῦ εὐμενεστάτου μοι δεσπότου μητροπολίτου κὺρ Δοσιθέου κατὰ τὸ 1800. Περὶ δὲ τοῦ ἐγκωμίου εἰς τὸν Ὑψηλάντην ὁμολογεῖ ὁ αὐτὸς ἐν σ. 4 τάδε· Ἐδωρήσατό μοι καὶ οὗτος ὁ αὐθέντης ἑκατὸν γρόσια. Ἐν δὲ σ. 6 σημειοῦται, ὅτι Διὰ τὸ γραφὲν ἐγκώμιον τῆς γεωργικῆς ἔδειξεν ὁ ῥηθεὶς αὐθέντης πλείονα φιλοτιμίαν καὶ ἐδωρήσατό μοι τριακόσια γρόσια, ὅμως ἐπρόσταξέ μοι ἵνα καὶ πρὸς τὴν κυρὰν προσφέρω ἕτερον λόγον περὶ πολυτελείας. Καὶ προσηνέχθη ὁ ἐφεξῆς. (Litzika Biblioteca Academiei Române. Catalogul manuscripterol grecești. Ἐν Βουκουρεστίῳ. 1909. σ. 495 κ. ἑ.)

Ἀξιολογωτάτην δὲ μαρτυρίαν περὶ σχολικῶν διδάκτρων κατὰ τὸν δέκατον πέμπτον αἰῶνα παρέχει ἡ ἑξῆς ἐνθύμησις ἐν φ. 256β τοῦ ὑπ' ἀρ. 3 κώδικος τῆς ἐν Φλωρεντίᾳ Ῥικκαρδιανῆς βιβλιοθήκης, γεγραμμένη ὑπὸ χειρὸς μεταγενεστέρας ἐν τῷ κώδικι τούτῳ τοῦ δεκάτου τετάρτου αἰῶνος· Ἐνθυμοῦ Δημήτριε σχολάρη· ὅτι ὁπόταν ἐπείγες εἰς τὸ σχολεῖον ἔδωκας καταρχὰς τὸν διδάσκαλον ἓξ δουκάτα· πληρωμένων δὲ τῶν στιχηρῶν πάλιν ἔδωκας αὐτῷ ἕτερα ἕξ· πάλιν δὲ ἀρχομένου σου μανθάνειν τὸν Λατρινὸν πολυέλεον, ἔδωκας πάλιν αὐτῷ ἕτερα ἕξ· ἀρχομένου δὲ τοῦ Κουκουμᾶ πάλιν ἕτερα ἕξ· αἰτήσας δὲ πάλιν δουκάτα εἰς τὸ μανθάνειν σοι τοὺς τετάρτους ἔδωκας αὐτῷ πάλιν ἕτερα ἕξ· ὡς ὦσιν ἅπαντα ἅπερ δέδωκας αὐτῷ δουκάτα λ'. ἐνθυμοῦ δὲ ταῦτα ἀσφαλῶς. Ἴδε G. Vitelli Indice de' Codici greci Riccardiani, Magliabecchiani e Marucelliani ἐν τοῖς Studi italiani di filologia classica Τόμ. Β', 1894, σ. 475. Τὰ μαθήματα, ὧν τὰ δίδακτρα μανθάνομεν ἐκ τοῦ σημειώματος τούτου, ἀναφέρονται ἅπαντα εἰς τὴν ἐκκλησιαστικὴν μουσικήν. Ὁ μαθητὴς Δημήτριος, οὗ ἀγνοοῦμεν δυστυχῶς τὸ ἐπώνυμον, ἐδιδάχθη παρὰ τῷ ἀγνώστῳ ἡμῖν διδασκάλῳ πρῶτον μὲν τὰ Στιχηρά, εἶτα δὲ τὸν Λατρηνὸν πολυέλεον, κατόπιν τὸν Κουκουμᾶν καὶ τέλος τοὺς τετάρτους.

Καὶ τὰ μὲν Στιχηρὰ εἶνε εὐνόητα, τίς δὲ ἡ σημασία τῶν ἄλλων ἐν τῷ σημειώματι μουσικῶν ὅρων διδάσκει ἡ κατωτέρω δημοσιευομένη ἐπιστολὴ τοῦ ἐν τῷ Ὠδείῳ Ἀθηνῶν καθηγητοῦ τῆς βυζαντιακῆς μου-



σικῆς κ. Κ. Α. Ψάχου, προθύμως ἀπαντήσαντος εἰς τὸ ἐρώτημά μου τῇ 7 Ἰουνίου 1912.

«Ὁ Λατρινὸς Πολυέλεος, ἐκ τοῦ ὄρους Λάτρου ἔχων τὸ ὄνομα, εἶνε μακρὰ σειρὰ στίχων μεμελοποιημένων ὑπὸ διαφόρων μουσικοδιδασκάλων. Ἀποτελεῖται δ' ἐκ δύο στάσεων, ὧν ἡ μὲν πρώτη ἄρχεται διὰ τῶν λέξεων Δοῦλοι Κύριον, ἡ δὲ δευτέρα ὧδε· Ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Τούτων πάλιν ἡ μὲν πρώτη ἀνάγεται εἰς ἕνα καὶ μόνον ἦχον, ἡ δὲ δευτέρα εἰς πολλούς. Ἐν τῇ πρώτῃ καὶ τῇ δευτέρᾳ ἀπαντῶσι τῶν ἑξῆς μελοποιῶν τὰ ὀνόματα· Ἀγαλλιανοῦ, Κουκουζέλους, Κορώνη, Νικηφόρου τοῦ Ἠθικοῦ καὶ Χριστοφόρου Μυστάκωνος. Ἀλλ' ὡσαύτως ἀπαντῶσι ποὺ καί που ἔν τισι τῶν στίχων τῆς δευτέρας στάσεως οἱ ὅροι Θεσσαλονικεῖον, Πολίτικον, Λατρινόν. Ἐκ τούτου συμπεραίνεται, ὅτι πρόκειται περὶ εἰδῶν, ἰδιωμάτων μᾶλλον τοῦ μέλους, τοπικῶν, ὡς ἀλλαχοῦ Κρητικόν, Ἱεροσολυμιτικόν, Παλατινὸν κτλ. Ὁ Λατρινὸς λοιπόν, ἐν ταῖς μοναῖς τοῦ Λάτρου ψαλλόμενος εἰς τοὺς ὄρθρους τῶν ἀγρυπνιῶν, διεκρίνετο τῶν ἄλλων διὰ τοῦ ἐπιτοπίου ἤθους καὶ ἰδιώματος, χαρακτηριζομένου διὰ τοῦ ὅρου Λατρινὸν (μέλος). Ἂν δὲ που παρενετίθετο ἄλλου ἰδιώματος μέλος εἴς τινα τῶν στίχων, εἰς τὸν ἀμέσως ἑπόμενον ἐτίθετο αὖθις ἐπὶ κεφαλῆς μέλος Λατρινόν.

«Καὶ ὁ Κουκουμᾶς δὲ ὁμοίως εἶνε Πολυέλεος τοῦ αὐτοῦ εἴδους, ἀποτελούμενος καὶ οὗτος ἐκ δύο στάσεων. Ἐν χειρογράφῳ τοῦ δεκάτου ἑβδόμου αἰῶνος, παρ' ἐμοὶ εὑρισκομένῳ, εὕρηνται ἀμφότεροι οἱ Πολυέλεοι ἐν συνεχείᾳ, προτασσομένου τοῦ Κουκουμᾶ, ἐν κεφαλίδι τοῦ ἑτέρου σημειουμένων τῶνδε· «Ἕτερος πολυέλεος ὀνομαζόμενος Λατρινός. διαφόρων ποιητῶν».

«Διὰ δὲ τῶν ὅρων τοὺς τετάρτους τέλος ἐννοοῦνται οἱ δύο ἦχοι τέταρτος καὶ πλάγιος τέταρτος, εἴτε καὶ τὰ διάφορα αὐτῶν εἴδη, ἰδίως δὲ τοῦ τετάρτου. Διότι τοὺς ἤχους ἐδιδάσκοντο ἀνὰ δύο, προτασσομένου τοῦ κυρίου καὶ ἐπιτασσομένου τοῦ πλαγίου. Ὡς δ' ἐν τῷ ὑμετέρῳ σημειώματι ἀναφέρεται ὁ ὅρος τοὺς τετάρτους, ἀλλαχοῦ εὑρίσκομεν ἀναφερομένους τοὺς πρώτους, τοὺς δευτέρους κτλ., ἤτοι τὸν πρῶτον κύριον καὶ πλάγιον, τὸν δεύτερον κύριον καὶ πλάγιον.

«Ὅτι δὲ δουκᾶτα ἐπληρόνοντο οἱ διδάσκοντες εἶναι γνωστὸν καὶ ἐκ μικρᾶς νουθεσίας πρὸς τοὺς μαθητὰς παρὰ Χρυσάφου τοῦ νέου συντεθείσης, ἥτις ἐν εἴδει προπαιδείας ἐν ταῖς προθεωρίαις πάντων τῶν χειρογράφων ἀπαντῶσα ἔχει ὧδε·

Ὁ θέλων μουσικὴν μαθεῖν καὶ θέλων ἐπαινεῖσθαι,
θέλει πολλὰς ὑπομονάς, θέλει πολλὰς ἡμέρας,
τιμὴν πρὸς τὸν διδάσκαλον, δουκάτα εἰς τὰς χεῖρας.
Τότε νὰ μάθῃ ὁ μαθητὴς καὶ τέλειος νὰ γίνῃ».

Εἰς τἀνωτέρω προςθέτω, ὅτι τὸν Κουκουμᾶν ὡς μελῳδὸν γινώσκομεν, καθ' ἃ ὀρθῶς παρετήρησεν ὁ. τὸ Ῥικκαρδιανὸν σημείωμα ἐκδοὺς κ. Vitelli καὶ ἐκ τοῦ φ. 45 τοῦ Κλαρκιανοῦ κώδικος XIII τῆς ἐν Ὀξωνίῳ Βοδληιανῆς βιβλιοθήκης (Coxe Catalogi codicum manuscriptorum bibliothecae Bodleianae pars prima. Ἐν Ὀξωνίῳ. 1853 σ. 925 ἐν λ. Cucumas). Ἀλλὰ καὶ ἄλλοθεν εἶνε γνωστὸς ὁ Κουκουμᾶς ὡς ὑμνῳδός, οἷον ἐκ τοῦ κώδικος 893 τῆς Ἐθνικῆς βιβλιοθήκης Ἀθηνῶν (Σακκελίωνος Κατάλογος τῶν χειρογράφων τῆς Ἐθνικῆς βιβλιοθήκης τῆς Ἑλλάδος Ἐν Ἀθήναις. 1892 σ. 162), ὅπου τονίζεται Κουκούμας. Ὠνομάζετο δὲ ὁ Κουκουμᾶς Νικόλαος, ὡς ἐμφαίνεται ἐκ τῆς ἑξῆς ἐπιγραφῆς τοῦ ὑπ' ἀριθ. 21 μουσικοῦ κώδικος τῆς μονῆς τοῦ Μεγάλου Σπηλαίου, σταλείσης μοι ὑπὸ τοῦ κ. Ψάχου· «Ἀρχὴ σὺν θεῷ ἁγίῳ τοῦ Πολυελέου τοῦ μαΐστορος κὺρ Νικολάου τοῦ καλουμένου Κουκουμᾶ μὲ διαφόρων μαθημάτων καὶ κρατημάτων».

✓ —***Σχόλια μιᾶς ἐνθυμήσεως.*** Ὁ καθηγητὴς τοῦ Καποδιστριακοῦ Πανεπιστημίου κ. Σπυρίδων Κ. Σακελλαρόπουλος ἀπέστειλεν ἡμῖν τὰ ἑξῆς·

«Λαμβάνων ἀφορμὴν ἐκ τῶν διορθώσεων τοῦ μακαρίτου συναδέλφου Σ. Βάση (Ν. Ἑλληνομν. Η', σ. 360-361) τῶν ἀναφερομένων εἰς ἐνθύμησιν δημοσιευθεῖσαν ἐν Ν. Ἑλληνομν. Ζ' σ. 259, παρατηρῶ τὰ ἑξῆς·

«Ἡ περὶ ἧς ὁ λόγος στάσις εἶναι στάσις τῶν χωρικῶν τῆς Λευκάδος, οἵτινες κατὰ τὸ ἔτος 1819 ἔλαβον τὰ ὅπλα ἕνεκεν ἑνὸς ἐγχωρίου φόρου ἐπιβληθέντος ὑπὸ τῆς Γερουσίας τῇ προτάσει τῆς ἐπιχωρίου ἀρχῆς τῆς Λευκάδος, πρὸς τὸν σκοπὸν τοῦ νὰ εὐρυνθῇ καὶ διαρρυθμισθῇ ὁ λιμὴν τῆς νήσου. Ἠγανάκτουν οἱ Λευκάδιοι χωρικοὶ διὰ τὸν ἐπιβληθέντα φόρον καὶ συγχρόνως διεμαρτύροντο διὰ τοὺς μεγάλους μισθοὺς οὓς οἱ προὔχοντες τῆς πατρίδος των ἐλάμβανον παρὰ τῶν Ἄγγλων. Ὀρθότατα λοιπὸν ὁ μακαρίτης Σ. Βάσης διορθοῖ τὸ



***ντάπια*** εἰς ***ντάτσια*** (φόρος), αἱ δὲ ἐπακολουθοῦσαι ***πάγες*** σημαίνουσι τοὺς μισθούς, τοὺς μεγάλους μισθοὺς τῶν προὐχόντων. Ὀλιγώτερον ὀρθῶς ἑρμηνεύει τὸ ***σὶρ,*** λέγων ὅτι οὕτω «προςηγορεύοντο ἐν Ἑπτανήσῳ οἱ ἀγγλίζοντες τῶν ἀρχόντων. Ὅπως ἐν Ἀγγλίᾳ δὲν τιτλοφοροῦνται πάντες διὰ τοῦ ***σὶρ,*** ἀλλ' οἱ ἔχοντες ὡρισμένην τάξιν ἐν τῇ εὐγενείᾳ ἢ τῇ πολιτικῇ ἱεραρχίᾳ, οὕτω καὶ ἐν Ἑπτανήσῳ τὸν τίτλον τοῦ ***σὶρ*** ἐλάμβανον μόνον οἱ ἔχοντες τὸ παράσημον τῶν Ἁγίων Μιχαὴλ καὶ Γεωργίου ἀνωτέρου βαθμοῦ, αἱ δὲ σύζυγοι αὐτῶν εἶχον τὴν τιμητικὴν ἐπωνυμίαν τῆς ***Λαίδης.*** Εἶναι γνωστοὶ πάντες οἱ διὰ τοῦ παρασήμου ἐκείνου τιμηθέντες κατὰ τὸ πεντηκονταετὲς περίπου διάστημα τῆς ἐν Ἑπτανήσῳ Ἀγγλοκρατίας, μεταξὺ δὲ αὐτῶν δὲν καταλέγεται ὁ Λευκάδιος ἄρχων Σταῦρος, οὗτινος τὰς οἰκίας κατέκαυσαν οἱ χωρικοί. Τὸ ***σὶρ*** λοιπὸν ἀναγνωστέον μᾶλλον ***σιὸρ*** (sior=signor), ὅπως ἐν Ἑπτανήσῳ συνήθως ὠνομάζοντο οἱ ἄρχοντες, καὶ οὗτινος τὸ θηλυκὸν εἶναι ***σιόρα***. Οἱ τύποι οὗτοι, ὡς γνωστόν, εἶναι βενετικοί. Ἐν τέλει σημειοῦμεν ὅτι περὶ τῆς στάσεως ταύτης τοῦ 1819 διαλαμβάνει διὰ μακρῶν ὁ Π. Χιώτης ἐν τῇ Ἱστορίᾳ τοῦ Ἰονίου κράτους τμ. Α', σ. 210 ἑξ.».

✓ —***Ὁ αὐτοκράτωρ Ἰωάννης ὁ Παλαιολόγος ἐν Μεθώνῃ.*** Ὁ ἐν Τεργέστῃ προηγούμενος καὶ ἀρχιμανδρίτης κ. Ἰεζεκιὴλ Βελανιδιώτης ἀπέστειλεν ἡμῖν τὰ ἑξῆς, διεξοδικῶς ἀναλύων καὶ σχολιάζων τὴν ἐν τῷ Νέῳ Ἑλληνομνήμονι Τόμ. Ζ' σ. 156 ὑπ' ἀριθ. 115 ἐκδοθεῖσαν ἐνθύμησιν·

«Δικαίως πάνυ ἀνομολογεῖτε ἐν τῷ ἀξιολόγῳ Νέῳ Ἑλληνομνήμονι (Τόμ. Ζ', σ. 120) τὴν ἱστορικὴν χρησιμότητα ἣν κέκτηνται αἱ ***ἐνθυμήσεις*** καὶ τὰ σημειώματα ὅσα εἰσὶν ἐγκατεσπαρμένα ἐν παλαιοῖς μοναστηριακοῖς ἢ ἄλλοις βιβλίοις ὡς καὶ τὰ ἐν ἀρχαίοις μνημείοις ἐπιγραφικὰ χαράγματα. Συντελοῦσι ταῦτα κατὰ πολὺ εἰς σπουδαιοτάτην συμπλήρωσιν διαφόρων ἱστορικῶν εἰδήσεων.

«Ἐξ ὅσων ἡ ἐγνωσμένη ὑμῶν φιλοπονία καὶ ὁ ἔνθερμος περὶ τὴν πάτριον ἱστορίαν ζῆλος ἐν ζηλευτῇ τάξει ἐδημοσίευσεν ἐν τῷ περὶ οὗ ὁ λόγος τεύχει τοῦ Νέου Ἑλληνομνήμονος προεκάλεσεν ἰδίᾳ τὴν ἐμὴν προσοχὴν τὸ ὅπερ σημείωμα ἐξ ἀγνώστου χρονικοῦ τοῦ ιε' αἰῶνος ἐξέγραψεν ὁ Ν. Καραϊζᾶς ἐκ κώδικος ἀποκειμένου παρὰ τῷ ποτὲ Ἀλεξάνδρῳ Καραθεοδωρῇ.

«Τὸ σημείωμα τοῦτο ἀναφέρεται εἰς τὸ περιπετειῶδες ἐκεῖνο καὶ ἀτυχὲς ταξείδιον τοῦ αὐτοκράτορος Ἰωάννου τοῦ Παλαιολόγου, ὅστις μετὰ τοῦ οἰκουμενικοῦ Πατριάρχου Ἰωσὴφ τοῦ ἀπὸ Ἐφέσου καὶ ἄλλων ἐπιλέκτων ἀρχιερέων καὶ λογάδων τοῦ Γένους ἀπέπλευσε τῇ 24 Νοεμβρίου 1437 ἐκ Κωνσταντινουπόλεως εἰς Βενετίαν πρὸς ἕνωσιν τῶν ἐκκλησιῶν. Καὶ διαιρεῖται τοῦτο εἰς δύο μέρη, ὧν τὸ μὲν ἓν ἀναφέρεται εἰς τὸν κατάπλουν τῆς αὐτοκρατορικῆς συνοδίας εἰς Μεθώνην καὶ Πύλον κατὰ τὴν μετάβασιν εἰς Βενετίαν, τὸ δὲ ἕτερον μέρος εἰς τὸν κατάπλουν τῆς ἰδίας συνοδίας εἰς Μεθώνην μετὰ διετίαν, ὅτε ἐπανέστρεφον εἰς Κωνσταντινούπολιν.

«Δὲν ἔχω πρὸ ἐμοῦ Σιλβέστρου τοῦ Συροπούλου τὴν συγγραφὴν τὴν ἀναφερομένην εἰς τὰ τῆς Φλωρεντιακῆς Συνόδου, ἵνα ἐκ τούτων φωτισθῶ τί περὶ ταύτης τῆς προσεγγίσεως ἀναγράφει, ἀλλ' αἱ νεώτεραι πηγαὶ ἢ παραλείπουσι τὸ γεγονὸς τοῦτο ἢ μόνον ἁπλῶς ἀναγράφουσιν ὅτι ὁ αὐτοκράτωρ ἵν' ἀποφύγῃ τὸν περίπλουν τῆς Πελοποννήσου ἀπεβιβάσθη εἰς Κεγχρεὰς καὶ διελθὼν τὸν χερσόνησον ἔφιππος ἀφίκετο εἰς Πύλον, ὅπου ἐπιβιβάσθη πάλιν ἐπὶ τῶν πλοίων αὐτοῦ. Πρβλ. ***Κωνστ. Παπαρρηγοπούλου*** Ἱστορία ἑλληνικοῦ ἔθνους. Ἐν Ἀθήναις 1887 Τόμ. Ε' σ. 322. ***Σπυρ. Π. Λάμπρου*** Ἱστορία Ἑλλάδος. Ἐν Ἀθήναις, 1908 Τόμ. ϛ' σ. 830. ***Α. Διομήδους Κυριακοῦ*** Ἐκκλησιαστικὴ Ἱστορία. Ἐν Ἀθήναις. 1898 Τόμ. Β' σ. 48. ***Στ. Κομητᾶ*** Ἐκκλησιαστικὴ Ἱστορία. Ἐν Ζακύνθῳ. 1861 σ. 171.

«Ἐκ τούτου ἐπιτραπήτω μοι ἵνα ἀναλύσω τὸ περιεχόμενον τῶν δύο τούτων ἀξιοσημειώτων ἐνθυμήσεων.

«Ἄγνωστος χρονογράφος ἐσημείωσεν εἰς ἄγνωστον χρονικὸν, ὅτι ἐκείνην τὴν ἡμέραν 21 Δεκεμβρίου 1437 κατέπλευσαν εἰς Μεθώνην ὁ οἰκουμενικὸς Πατριάρχης Ἰωσὴφ καὶ 29 μητροπολῖται καὶ ἐπίσκοποι μετ' ἄλλων κληρικῶν τῆς Ἁγίας Σοφίας καὶ τοῦ δεσπότου Δημητρίου, οἵτινες πάντες ἐπέβαινον εἰς κάτεργα τοῦ Πάπα, κα ἔμειναν ἐκεῖ δεκατέσσαρας ἡμέρας. Ταὐτοχρόνως σχεδὸν ὁ αὐτοκράτωρ μετὰ τῆς ἀκολουθίας του τῇ 28 ἰδίου μηνὸς ἔφθασεν εἰς Πύλαν, ὡς ὀνομάζει τὸ Χρονικὸν σημείωμα τὴν Πύλον. Κατὰ δὲ τὴν 3 Ἰανουαρίου ὁ Πατριάρχης μετὰ τῶν λοιπῶν μετέβη εἰς Πύλον πρὸς συνάντησιν τοῦ αὐτοκράτορος, ἐκεῖθεν δὲ φαίνεται ὅτι ἀπέπλευσαν διὰ Βενετίαν.

«Ὁ ἀναφερόμενος δεσπότης Δημήτριος εἶναι βεβαίως ὁ τοῦ αὐτοκράτορος ἀδελφός.



«Ἡ ἐνθύμησις, ἀναγράφουσα ὅτι τὸν Πατριάρχην ἠκολούθουν εἰκοσιεννέα ἀρχιερεῖς, διαφωνεῖ μὲ τοὺς νεωτέρους συγγραφεῖς, οἵτινες ἀναφέρουσι τούτους εἰς εἴκοσι ἕνα (Πρβλ. ***Λάμπρου*** ἔνθ' ἀν. σ. 849), καὶ συμφωνεῖ ὡς πρὸς τὴν διὰ ξηρᾶς τοῦ αὐτοκράτορος μετάβασιν εἰς Πύλον (Πρβλ. ***Παπαρρηγόπουλον*** ἔνθ' ἀν. σ. 322).

«Τὸ δεύτερον μέρος τοῦ σημειώματος εἶναι καὶ τὸ πλέον ἀξιοσημείωτον.

«Ἀναφέρει ὅτι μετὰ δύο σχεδὸν ἔτη, ἤτοι τῇ 16 Νοεμβρίου 1439, ἐπαναστρέφουσα ἡ ἐπίσημος αὕτη συνοδία μετὰ μακρὰν ταλαιπωρίαν ἐκ Φλωρεντίας εἰς Κωνσταντινούπολιν κατέπλευσε πάλιν εἰς Μεθώνην, κομίζουσα μὲν τὸν Τόμον τῆς ψευδενώσεως, ἀλλ' ἄνευ τοῦ οἰκουμενικοῦ Πατριάρχου Ἰωσὴφ καὶ τοῦ Σάρδεων Διονυσίου, περὶ ὧν ὁ χρονογράφος σημειοῖ ἁπλῶς, ὅτι οὗτοι ἐκοιμήθησαν ἐν Φλωρεντίᾳ τὸν ὕπνον τοῦ δικαίου, σταθεροὶ ἄρα ἐμμένοντες εἰς τὰ πάτρια. Πρὸς τιμὴν φαίνεται τῆς αὐτοκρατορικῆς συνοδίας ὁ Φράγκος ἐπίσκοπος Μεθώνης ἐλειτούργησε τῇ 23 τοῦ αὐτοῦ μηνὸς μετὰ τῶν ἱερέων του, ἀλλ' ὁ Ῥωμαῖος ἐπίσκοπος Ἰωσὴφ ὁ κατὰ κόσμον Κονταρᾶτος δὲν ἐλειτούργησε μετὰ τῶν Φράγκων τὴν ἰδίαν ἡμέραν, ἀλλὰ μόνον, λέγει, ἀσπασμὸν ἐν τῇ Φραγκικῇ Ἐκκλησίᾳ ἐποίησαν οἱ Ῥωμαῖοι καὶ οἱ Φράγκοι. Κατὰ δὲ τὴν ἐπομένην ἡμέραν, 24 τοῦ αὐτοῦ μηνὸς, ἐλειτούργησεν ὁ ***Ῥωμαῖος*** ἐπίσκοπος κὺρ Ἰωσὴφ καὶ ὁ κλῆρος αὐτοῦ εἰς τὸν ***Ἅγιον Ἰωάννην τὸν Θεολόγον*** ὅπου ὅλη ἡ χώρα μετέβη ***ἀπ' ἔσω καὶ ἔξω.***

«Ἀναμφιβόλως ὁ ἀναφερόμενος ἐν τῇ ***ἐνθυμήσει*** Ῥωμαῖος ἐπίσκοπος κὺρ Ἰωσὴφ, οὗ προστίθεται τὸ κατὰ κόσμον ὄνομα Κονταρᾶτος, ὅστις ἐνώπιον τοσοῦτον λαμπρᾶς καὶ περιδόξου ὁμηγύρεως ἐτέλεσε τὴν θείαν λειτουργίαν ἐν τῷ ἱερῷ ναῷ τοῦ Θεολόγου, ἦτο ὁ κανονικὸς ἐπίσκοπος Μεθώνης, ὅστις ὑπὸ τοῦ ἀγνώστου χρονογράφου προσεπικαλεῖται ***Ῥωμαῖος ἐπίσκοπος*** πρὸς διαστολὴν ἀπὸ τοῦ Φράγκου ἐπισκόπου.

«Ἀλλὰ τὸ σημείωμα τοῦτο μᾶς δίδει καὶ τὴν σπουδαίαν πληροφορίαν, ὅτι μολονότι τόσον ἦτο πρόσφατος ἡ κηρυχθεῖσα ἕνωσις τῶν ἐκκλησιῶν, δὲν ἐδέχθησαν οἱ ἡμέτεροι νὰ συλλειτουργήσωσι μετὰ τῶν παπιστῶν, ἀλλ' ἐλειτούργησαν ἐν ἄλλῃ ἡμέρᾳ. Καταδηλοῖ τοῦτο ὅτι μὲ ὅλην τὴν ὑπογραφὴν ἐν Φλωρεντίᾳ τοῦ Ὅρου τῆς ἑνώσεως, ὃν καὶ ἐκόμιζον μεθ' ἑαυτῶν ὅ τε αὐτοκράτωρ καὶ οἱ ἀρχιερεῖς, ἐν συνειδήσει ἐθεώρουν ὡς ἄνομα καὶ ἀνίερα τὰ τελεσθέντα. Ὥστε οὐχὶ

ὁ λαὸς τῆς Πόλεως μόνον ἠνάγκασε τοὺς ἀφιχθέντας ἀρχιερεῖς μετὰ ταῦτα νὰ στιγματίσωσι τὴν Σύνοδον τῆς Φλωρεντίας, ἀλλὰ καὶ αὐτοὶ οἱ συμμετασχόντες ἀρχιερεῖς ἐθεώρουν ἴσως κατὰ τὸ πλεῖστον ὁμοίως ταύτην.

«Ἀλλὰ καὶ ἑτέρου ζητήματος προκαλεῖ τὴν προσοχὴν ***ἡ ἐνθύμησις*** αὕτη. Εἶναι τοῦτο ὁ ναὸς Ἰωάννου τοῦ Θεολόγου ἐν ᾧ ἐτελέσθη ὑπὸ τοῦ Ῥωμαίου ἐπισκόπου Ἰωσὴφ ἡ θεία λειτουργία ἐνώπιον τοιαύτης ἐκλεκτῆς τοῦ ὅλου Γένους ὁμηγύρεως.

«Χρήσιμος θὰ ἦτο εἴδησις ἐκ Μεθώνης ἂν καὶ ποῦ σώζονται ἐρείπια τοιούτου ναοῦ, ἢ ἂν ἡ αἰωνόβιος παράδοσις διετήρησεν ἔστω καὶ ἁπλῶς τὴν ὀνομασίαν τοῦ ναοῦ Ἰωάννου τοῦ Θεολόγου.

«Ἡ Μεθώνη ἔχει τὴν τιμὴν ὅτι εἶχεν ἐπίσκοπον κατὰ τὸν ιβ΄ αἰῶνα Νικόλαον τὸν περίφημον ἀντιρρητικὸν θεολόγον, τὸν Ἰωσὴφ Πλουσιαδηνὸν κατὰ τὸν ιδ΄ αἰῶνα καὶ τῷ 1821 Γρηγόριον τὸν διάσημον ἐν τῇ ἀμύνῃ ἀπὸ τοῦ Ἰμβραὴμ, ὑπὲρ τῆς πατρίδος τελειωθέντα. Ἀλλ᾽ ἐκ τῆς ***ἐνθυμήσεως*** ταύτης μανθάνομεν ὅτι ἔσχε τὴν ὑπερτάτην τιμὴν νὰ φιλοξενήσῃ τὴν αὐτοκρατορικὴν συνοδίαν, ἥτις ὑπὸ τοὺς ταπεινοὺς θόλους τοῦ ναοῦ της, χοροστατοῦντος Ἰωσὴφ τοῦ Κονταράτου, ἐδοξολόγησε κατὰ τὰ πάτρια τὸν θεὸν, διαψεύδουσα οὕτω τὴν εἰς τὸν πάπαν ὑποδούλωσιν τῆς Ἀνατολῆς».

V— ***Ὁ κῶδιξ*** Historicus graecus 129 ***τῆς ἐν Βιέννῃ Αὐτοκρατορικῆς βιβλιοθήκης*** λέγεται ὑπὸ τοῦ Nessel ἐν τῷ οἰκείῳ καταλόγῳ περιέχων incerti fragmenta ad historiam Constantinopoleos pertinentia. Ἀλλ᾽ ἡ σύντομος περιγραφὴ αὕτη οὔτε ὀρθὴ τυγχάνει οὔτε τελεία εἶνε. Καὶ περιέγραψε μὲν αὐτὸν ἀκριβέστερον ὁ Kollar (Suppl. Cod. CXXX σ. 756 κ. ἑ.), ἀλλ᾽ ἐπειδὴ καὶ τούτου ἡ περιγραφὴ εἶνε βραχεῖα, δὲν θεωρῶ ἄσκοπον νὰ ἐκθέσω τὰ περὶ αὐτοῦ λεπτομερέστερον.

Ὁ κῶδιξ εἶνε χαρτῷος, ἐγράφη τὸν δέκατον ἕκτον αἰῶνα καὶ σύγκειται ἐκ φύλλων δώδεκα ἐν ὅλῳ, ὧν κολοβός. Περιέχονται δ᾽ ἐν αὐτῷ τρία τινά. Καὶ δὴ

1 (φ. 1α) Σεληνοδρόμιον. § Ἀρχ. (ἀκέφαλον) .... σελήνης· ὅπερ ἐανίδης γενήσεται· πλὴν τῆς καρδία σου τὸ ἐνύπνιον, μὴ ἐξήπης τινὰ ἕως να ἀνατίλῃ ὁ ἥλιος· εἰς τὸ ἄστρον· εἰς τὴν εὐδόμην ἐσπέραν τῆς σελήνης· ὅπερ ἐὰν ἴδῃς ἀποβήσεται. Τέλ. εἰς $\overline{\text{ΚΘ}}$ καὶ τὴν τριἀκοστὴν ἕως ἡμερῶν τριῶν γενήσεται τὸ ἐνύπνιόν σου.

2 (φ. 1β). «Περὶ τῆς εἰκοδομῆς τῆς ἁγίας Σοφίας». Ἀρχ. Τὴν



ἁγίαν Σοφίαν πρῶτον ἔκτισεν ὁ μέγας Κωνσταντῆνος δρομικὴν ὡσὰν τὴν Βλαχέρναν τὸν ναὸν καὶ εἴστατο χρόνους $\overline{\text{οδ}}$. κατὰ δὲ τὸν καιρὸν τοῦ μεγάλου Θεοδοσίου εἰς τὴν δευτέραν σύνοδον ἐστασίασαν οἱ Ἀριανοί.

Τέλ. ἐγέμισαν τὴν ἐκκλησίαν νερὸν μέχρις ὀργίας ῆ καὶ ἔρριπταν τὰ ξύλα καὶ ἀπεθύμεναν εἰς τὸ νερὸν καὶ οὐδὲν ἐσπάραττον τὰ θεμέλια καὶ οὕτως ἐτελίωσεν αὐτόν· οἱ δὲ λέγοντες, ὅτι ἀτελίωτον ἀφῆκε τὸν ναὸν Ἰουστινιανός, ἐτελείωσε δὲ Ἰουστῖνος, ψεύδονται.

3 (φ. 12α). «Ψαλμοὶ ὠφέλοιμοι εἰς πᾶν πράγμαν». Ἀρχ. Ὁ ζ΄ ψαλμὸς ὀφέλιμος εἰς ἄνθρωπον δεμένον καὶ οὐδὲν ἠμπορεῖ νὰ
σ
ποιὴ τίποτε μετὴν γυναίκαν του. Τέλ. (κολοβόν). Ὁ κς΄ ψαλμὸς γύνοσκε ὅτι ἐτούτος ὁ ψαλμὸς ἐστὶν πάνυ ὀφέλιμος ὅταν μέλειν απάγειν πόλεμον ἵ ηςφουσατον πολεμικόν· γράψε το εἰς τὸ χαρτὶ μετὰ ζαφαράδος καὶ ροδοστάματος καὶ κρέμασέ τον εἰς τὴν δεξιάν σου χεῖρα καὶ κάπνησον αὐτὸν μετα σάτηρ καὶ πεονίας καὶ χάρασέ τον καὶ εἰς το σπαθίν του· ἀκόμη ἔχει καὶ ἄλη διάφορὰν ἐὰν ἔχεις ἐχθρὸν εἰς τὴν πόρταν σου καὶ ἐ .....

# ΕΙΔΗΣΕΙΣ

— Μετὰ θλίψεως ἀγγέλλομεν τὸν αἰφνίδιον θάνατον τοῦ ἐν τῷ Καποδιστριακῷ Πανεπιστημίῳ καθηγητοῦ τῆς λατινικῆς φιλολογίας Σπυρίδωνος Βάση, συμβάντα τῇ 17 Μαΐου, βραχὺν χρόνον μετὰ τὴν συμπλήρωσιν εἰκοσιπενταετίας ἀπὸ τῆς ἐνάρξεως τῆς καρποφόρου αὐτοῦ πανεπιστημιακῆς διδασκαλίας. Ὁ μεταστὰς οὐ μόνον τὴν μελέτην τῶν λατινικῶν γραμμάτων προήγαγε παρ' ἡμῖν διὰ μελετῶν περισπουδάστων, ἀλλὰ καὶ περὶ τὰς ἑλληνικὰς μελέτας ὑπῆρξεν οὐχ ἧττον δεινός. Τῆς δὲ περισσῆς αὐτοῦ παιδείας ἀπεγεύσαντο πολλάκις καὶ οἱ ἀναγνῶσται τοῦ Νέου Ἑλληνομνήμονος, εἰς ὃν προθύμως παρεῖχε τὴν συμβολὴν αὐτοῦ διὰ παρατηρήσεων, διορθώσεων καὶ συμπληρώσεων.

Φίλοι καὶ μαθηταὶ τοῦ μεταστάντος, τιμῶντες τὴν μνήμην αὐτοῦ, συνεκρότησαν ἐπιτροπείαν ὑπὸ τὴν προεδρίαν τοῦ πλωτάρχου κ. Μιχαὴλ Γούδα πρὸς συλλογὴν ἐράνων χάριν δημοσιεύσεως ἀναμνηστικοῦ τεύχους, περιέχοντος διατριβὰς ἐπιστημονικάς. Αἱ ἐπιστημονικαὶ πραγματεῖαι καὶ αἱ ὑλικαὶ συνδρομαὶ ἀποσταλήσονται μέχρι τέλους τοῦ μηνὸς Σεπτεμβρίου τῷ Γενικῷ Γραμματεῖ τῆς ἐπιτροπείας κ. Σκεύῳ Ζερβῷ (Ὁδὸς Ἀγγέσμου ἀρ. 9).

— Ἐπὶ τῇ κατὰ μῆνα Μάρτιον τοῦ ἐνεστῶτος ἔτους μετὰ εἰκοσιπενταετῆ ἐν Ἑλλάδι ἐπιστημονικὴν δρᾶσιν ἀποχωρήσει τοῦ κ. Γουλιέλμου Δαΐρπφελδ ἐκ τῆς διευθύνσεως τοῦ ἐνταῦθα Γερμανικοῦ ἀρχαιολογικοῦ Ἰνστιτούτου συνέστη ἐπιτροπεία, ἧς μετέχουσι καὶ Ἕλληνες ἀρχαιολόγοι, χάριν συλλογῆς ἐράνων πρὸς ἵδρυσιν χαλκῆς αὐτοῦ προτομῆς ἐν αὐτῷ τῷ Ἰνστιτούτῳ. Αἱ συνδρομαὶ ἀποστέλλονται μέχρι τοῦ τέλους Αὐγούστου εἰς τὸν ταμίαν τῆς ἐπιτροπείας κ. E. Burghardt ἐν Βερολίνῳ (W. 50. Ansbachersts. 46). Μεταξὺ τῶν συνεισενεγκόντων προθύμως ἐπὶ τῇ εἰσηγήσει τοῦ πρυτάνεως Σπυρ. Λάμπρου καταλέγεται καὶ τὸ ἡμέτερον Πανεπιστήμιον, τιμῶν τὸ ἔργον τοῦ διαπρεποῦς ἐπιστήμονος καὶ φίλου τῆς Ἑλλάδος.

— Τῇ 5/18 Δεκεμβρίου ἀπέθανεν ἐν Μονάχῳ ὁ γυμνασιακὸς καθηγητὴς Θεόδωρος Preger, γνωστότατος ἐπὶ διαφόροις δημοσιεύσεσιν ἀναγομέναις εἰς τὴν βυζαντιακὴν γραμματολογίαν καὶ μάλιστα εἰς τὰ κατὰ τὰ Πάτρια τῆς Κωνσταντινουπόλεως, τὴν ἱστορίαν τῶν ἐν αὐτῇ κτισμάτων καὶ τὴν τοπογραφίαν τῆς πόλεως. Ὁ μακαρίτης Preger ἠσχολεῖτο τὸν τελευταῖον χρόνον περὶ τὴν σύνταξιν νέου καταλόγου τῶν ἑλληνικῶν κωδίκων τῆς Βασιλικῆς βιβλιοθήκης τοῦ Μονάχου πρὸς ἀντικατάστασιν τοῦ ἀπηρχαιωμένου καὶ ἐν πολλοῖς ἀτελοῦς καὶ ἐσφαλμένου καταλόγου τοῦ Ἰγνατίου Hardt.

— Εὐχαρίστως ἀναγγέλλομεν τὸν διὰ Β. Διατάγματος τῆς 26 Ἰουλίου διορισμὸν τοῦ τέως ἐφόρου τῶν χριστιανικῶν ἀρχαιοτήτων κ. Ἀδαμαντίου Ἀδαμαντίου ὡς τακτικοῦ καθηγητοῦ τῆς βυζαντιακῆς τέχνης καὶ βυζαντιακῆς ἀρχαιολογίας ἐν τῷ Καποδιστριακῷ Πανεπιστημίῳ. Ὁ κ. Ἀδαμαντίου εἶνε πολλαχῶς γνωστὸς εἰς τοὺς ἀναγνώστας τοῦ Νέου Ἑλληνομνήμονος ὡς ἀρχαῖος μαθητὴς καὶ πολύτιμος συνεργάτης τοῦ ἐκδότου αὐτοῦ. Οὐδαμῶς δ' ἀμφιβάλλομεν ὅτι εὐδοκι-



μῶν ἐν τῇ ἀνατεθείσῃ εἰς αὐτὸν ὑπὸ τῆς πολιτείας ἐντολῇ, θέλει μεγάλως συντελέσει εἰς τὴν παρ' ἡμῖν προαγωγὴν τῶν βυζαντιακῶν μελετῶν.

— Οἱ ἐν Ἑρμουπόλει κ. κ. Περ. Γ. Ζερλέντης, Ι. Κ. Βογιατζίδης καὶ Ι. Β. Κατσουρὸς ἐδημοσίευσαν ἀγγελίαν περὶ τῆς προσεχοῦς ἐνάρξεως τῆς ἐκτυπώσεως περιοδικοῦ ἐπιγραφομένου «Νησιωτικά». Τὰ Νησιωτικὰ σκοπὸν θὰ ἔχωσι τὴν ἔκδοσιν ἐρευνῶν ἀναφερομένων τοῦτο μὲν εἰς τὰς Κυκλάδας, τοῦτο δὲ εἰς τὰς ὑπὸ τὴν Τουρκίαν διατελούσας σήμερον νήσους τῆς Μικρᾶς Ἀσίας, περίπου δηλαδὴ τὰς νήσους ὅσαι κατὰ τὴν ἀρχὴν τῆς βυζαντιακῆς περιόδου ἀπετέλουν τὴν διοικητικὴν περιφέρειαν τὴν γνωστὴν ἐκ τοῦ Ἱεροκλέους ὡς ***ἐπαρχίαν τῶν νήσων***. Ἕκαστος τόμος θὰ ἀπαρτίζηται ἐξ εἴκοσι τεσσάρων τοὐλάχιστον τυπογραφικῶν φύλλων μετὰ τῶν ἀναγκαίων εἰκόνων, πανομοιοτύπων, πινάκων καὶ θὰ ἐκδίδηται εἰς τρία τετραμηνιαῖα τεύχη, τιμώμενος δραχμῶν ὀκτώ. Ὡς δεῖγμα τοῦ μέλλοντος ἀληθῶς ἀξιολογωτάτου δημοσιεύματος, εἰς ὃ εὐχόμεθα συναδελφικῶς τελείαν ἐπιτυχίαν, παρέχουσιν οἱ ἐκδόται ἐν τῇ ἀγγελίᾳ αὐτῶν τὰς ἐπιγραφὰς ἀξιολόγων μελετημάτων ἐν αὐτῷ δημοσιευθησομένων, οἷα τὰ τοῦ κ. Ζερλέντου Ἱστορία τριάκοντα ἐτῶν τῆς νήσου Μυκόνου (1676-1700).—Περὶ τῆς ἐν Μυκόνῳ ἑλληνικῆς σχολῆς.—Ἡ Σέριφος πατριαρχικὴ ἐξουσία.—Πατριαρχικὰ γράμματα τοῦ ἐν τῇ νήσῳ Μήλου μοναστηρίου Ἁγίου Ἰωάννου Σιδεριανοῦ.—Περὶ τῶν ὑπὸ τῶν σουλτάνων δοθέντων τοῖς νησιώταις ἀχτιναμέδων.—Θεοφάνης Μαυροκορδάτος μητροπολίτης Παροναξίας.—Ἰακώβου δὲ Μιλλῆ, μεγάλου μαγίστρου τῶν ἐν Ῥόδῳ ἱπποτῶν, γράμμα περὶ τοῦ ἐν Νάξῳ μοναστηρίου τοῦ Ἁγίου Ἀντωνίου.—Γράμματα τῶν Φράγκων δουκῶν τοῦ Αἰγαίου πελάγους.—Σουλεϊμὰν τοῦ Σελήμου συνθήκη μετὰ τοῦ τελευταίου Φράγκου δυνάστου Ἀνδρ. Σουμμαρίπα.—Ἰγνάτιος Ῥόσσας τελευταῖος Λατῖνος ἐπίσκοπος Ἄνδρου καὶ τοποτηρητὴς τῆς ἐπισκοπῆς Σύρου.—Ἐκκλησιαστικὴ διαφορὰ Ἑλλήνων καὶ Φράγκων ἐν Θήρᾳ.—Τάξις ἱεραρχικὴ τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν τῶν ὑπὸ τῇ Ῥοδίων μητροπόλει τελεσασῶν· ὑπὸ δὲ τοῦ κ. Ι. Βογιατζίδου Ἑρμηνεία χριστιανικῶν μνημείων ἐκ τοῦ μουσείου Ἄνδρου.—Συμβολαὶ εἰς τὴν ἐκπαίδευσιν τῶν νησιωτῶν ἐπὶ τουρκοκρατίας.—Βιογραφικὰ σχεδιάσματα ἐπιφανῶν νησιωτῶν.—Μοναστηριολογία Ἄνδρου.—Κεφάλαια ἱστορίας τῶν νησιωτῶν.—Προσθῆκαι εἰς τὴν ἱστορίαν τῶν Μαυρογενῶν.—Χριστιανικαὶ ἐπιγραφαὶ Ἄνδρου· τοῦ δὲ κ. Ἰωάννου Κατσουροῦ Πορίσματα (γλωσσικά, τοπογραφικά, τοπωνυμικά, οἰκογενειακά, γενεαλογικά, κοινωνιολογικὰ κτλ.) ἐκ τῆς μελέτης νοταριακῶν ἐγγράφων τῶν νήσων.—Συλλογὴ ναξιακῶν παροιμιῶν.—Δημώδη νησιωτικὰ ποιήματα.—Τὸ ναξιακὸν γλωσσικὸν ἰδίωμα.—Ποικίλα λαογραφικὰ τῶν Κυκλάδων.—Τοπωνυμικὸν τῆς νήσου Νάξου.

Οὐ μόνον δὲ ἡ περισπούδαστος ὕλη τοῦ νέου περιοδικοῦ καθιστάνει αὐτὸ ἄξιον πάσης συστάσεως, ἀλλὰ καὶ ἡ ἐκ τῶν προηγουμένων πεποίθησις ἡμῶν περὶ τῆς ἐρεύνης τῶν ἐκδοτῶν ἕνεκα τῆς κεκτημένης μὲν ἤδη πείρας τοῦ ἀρχαίου φιλίστορος κ. Ζερλέντη, τῆς μεθοδικῆς δ' ἐν τοῖς πανεπιστημιακοῖς φροντιστηρίοις μορφώσεως τῶν συνεργατῶν αὐτοῦ καὶ διαπρεπῶν ἡμετέρων μαθητῶν κ. κ. Βογιατζίδου καὶ Κατσουροῦ.

—Ἀπὸ τῆς 26 τοῦ προσεχοῦς Σεπτεμβρίου μέχρι τῆς 3 Ὀκτωβρίου θέλει συνέλθει ἐν Ῥώμῃ τὸ Γ' Διεθνὲς Ἀρχαιολογικὸν Συνέδριον μετὰ τὸ Α' τὸ συγκροτηθὲν τῷ 1905 ἐν Ἀθήναις καὶ τὸ Β' τὸ συνελθὸν ἐν Καΐρῳ τῷ 1909. Καὶ ἡ μὲν

προεδρία τῆς ὀργανωτικῆς τοῦ Συνεδρίου τούτου ἐπιτροπείας ἀνετέθη εἰς τὸν γενι-
κὸν ἔφορον τῶν ἀρχαιοτήτων καὶ τῶν καλῶν τεχνῶν ἐν Ἰταλίᾳ κ. Κορρᾶδον Ric-
ci, ἡ δὲ γενικὴ γραμματεία εἰς τὸν καθηγητὴν τῆς ἀρχαιολογίας κ. Λούκιον Μα-
ριάνην. Διῃρέθη δὲ τὸ Συνέδριον εἰς δώδεκα τμήματα, τὰ ἑξῆς· α) Προϊστορικὴ
καὶ πρωτοϊστορικὴ ἀρχαιολογία, β') Ἀνατολικὴ ἀρχαιολογία, γ') Προελληνικὴ
ἀρχαιολογία, δ') Ἀρχαιολογία ἰταλικὴ καὶ τυρρηνική, ε') Ἱστορία τῆς κλασικῆς
τέχνης καὶ ἑλληνικαὶ καὶ ῥωμαϊκαὶ ἀρχαιότητες, ζ') Ἐπιγραφικὴ καὶ παπυρολο-
γία, η') Νομισματική, θ') Μυθολογία καὶ ἱστορία τῶν θρησκευμάτων, ι') Ἀρ-
χαία τοπογραφία, ια') Χριστιανικὴ ἀρχαιολογία καὶ ιβ') Διοργάνωσις τῆς ἀρ-
χαιολογικῆς ἐργασίας.

Εἰς τὸ Συνέδριον τοῦτο ὥρισεν ἀντιπροσώπους αὐτοῦ τὸ Πανεπιστήμιον τοὺς
καθηγητὰς κ. κ. Σπυρ. Π. Λάμπρον, Νικόλαον Γ. Πολίτην, Παν. Καββαδίαν καὶ
Γεώργιον Δέρβον. Οἱ αὐτοὶ δὲ μετὰ τοῦ κ. Νικολάου Μ. Μπαλάνου, τμηματάρ-
χου τοῦ Ὑπουργείου τῆς Παιδείας, θέλουσιν ἀντιπροσωπεύσει ἐν αὐτῷ καὶ τὴν
ἑλληνικὴν Κυβέρνησιν.

— Ἀμέσως δὲ μετὰ τὴν λῆξιν τῶν ἐργασιῶν τοῦ Συνεδρίου τούτου θέλει συν-
έλθει ὁμοίως ἐν Ῥώμῃ ἀπὸ τῆς 3 μέχρι τῆς 8 Ὀκτωβρίου τὸ Γ' Διεθνὲς συνέ-
δριον τῆς Ἱστορίας τῆς τέχνης. Διαιρεῖται δὲ τὸ συνέδριον τοῦτο εἰς τέσσαρα
τμήματα, τὰ ἑξῆς· α') Ἱστορία τῆς παλαιοχριστιανικῆς καὶ τῆς μεσαιωνικῆς
τέχνης μέχρι τοῦ τέλους τοῦ δεκάτου τρίτου αἰῶνος, β') Ὁ δέκατος τέταρτος αἰών,
γ') Ἱστορία τῆς τέχνης ἀπὸ τοῦ δεκάτου πέμπτου αἰῶνος μέχρι τῶν καθ' ἡμᾶς ἡμε-
ρῶν καὶ δ') Μεθοδικὴ τῆς ἱστορίας τῆς τέχνης, γενικὰ μέτρα ὑπὲρ τῶν καλλιτε-
χνημάτων, ἔρευναι περὶ τῶν ἐν τῇ καλλιτεχνίᾳ τεχνικῶν τρόπων, διοργάνωσις τῆς
κοινῆς ἐργασίας. Τῆς ἐκτελεστικῆς ἐπιτοπίου ἐπιτροπείας τῆς ἀντιπροσωπευού-
σης τὴν πολυμελῆ διοργανωτικὴν ἐπιτροπείαν πρόεδρος εἶνε ὁ ἀκαταπόνητος ἐν
Ῥώμῃ καθηγητὴς κ. Ἀδόλφος Βεντούρης, γενικὸς δὲ γραμματεὺς ὁ κ. Ῥοβέρ-
τος Παπίνης.

Ἐν τῷ Συνεδρίῳ τούτῳ θἀντιπροσωπεύσῃ τὸ ἡμέτερον Πανεπιστήμιον ὁ κα-
θηγητὴς Σπυρ. Π. Λάμπρος, εἰς ὃν μετὰ τοῦ ἐν Ῥώμῃ ἐπιτετραμμένου τῆς Ἑλ-
λάδος κ. Δημητρίου Κακλαμάνου ἀνετέθη καὶ ἡ ἀντιπροσωπεία τῆς ἑλληνικῆς
Κυβερνήσεως.

— Εἰς ἀνταπόδοσιν τῆς φιλοφροσύνης τοῦ Πανεπιστημίου τοῦ γαλλικοῦ Λου-
γδούνου (Lyon), ἀποστείλαντος εἰς Ἀθήνας τοὺς καθηγητὰς αὐτοῦ καὶ κοσμή-
τορας τῆς Ἰατρικῆς Σχολῆς καὶ τῆς τῶν Φυσικῶν καὶ μαθηματικῶν ἐπιστημῶν
κ. κ. Λουδοβῖκον Hugouneng καὶ Κάρολον Déperet, οἵτινες ἐδίδαξαν κατὰ τὸν
παρελθόντα Μάρτιον ἐν τῷ ἡμετέρῳ Πανεπιστημίῳ ἰατρικὰ καὶ γεωλογικὰ μαθή-
ματα, ἡ Σύγκλητος τοῦ ἡμετέρου Πανεπιστημίου ἔγνω νἀναθέσῃ τὴν ἐν Λου-
γδούνῳ διδασκαλίαν πανεπιστημιακῶν μαθημάτων εἰς τοὺς καθηγητὰς τῆς Νομι-
κῆς Σχολῆς κ. κ. Ἀνδρέαν Ἀνδρεάδην καὶ Νικόλαον Σαρίπολον καὶ εἰς τὸν τῆς
Φιλοσοφικῆς σχολῆς Σπυρ. Π. Λάμπρον. Καὶ ὁ μὲν κ. Ἀνδρεάδης θέλει διδά-
ξει περὶ τῆς ἱστορίας τῶν οἰκονομικῶν τῆς Ἑλλάδος, ὁ δὲ κ. Σαρίπολος περὶ τοῦ
νέου ἑλληνικοῦ συντάγματος καὶ ὁ Σ. Λάμπρος περὶ τῶν κατὰ τὰ τελευταῖα ἔτη
προόδων τῶν βυζαντιακῶν μελετῶν.

— Ἅμα τῷ πέρατι τῶν ἑορτῶν τῆς ἑβδομηκοστῆς πέμπτης ἀμφιετηρίδος τοῦ



Ἐθνικοῦ Πανεπιστημίου καὶ τῶν ἐργασιῶν τοῦ ΙϚ' Διεθνοῦς Συνεδρίου τῶν Ἀνα-
τολιστῶν ὁ Πρύτανις τοῦ Πανεπιστημίου καὶ Γενικὸς γραμματεὺς τοῦ Συνεδρίου
Σπυρ. Π. Λάμπρος διὰ Β. Διατάγματος τῆς 10 Ἀπριλίου προήχθη εἰς ἀνώτερον
ταξιάρχην τοῦ τάγματος τοῦ Σωτῆρος. Εἰς τὸν αὐτὸν εἶχεν ἀπονεμηθῆ πρότερον ὁ
ταξιάρχης τοῦ γερμανικοῦ τάγματος τοῦ Στέμματος, ὀλίγον δὲ κατόπιν ἠξιώθη
τοῦ ἀνωτέρου ταξιάρχου τοῦ Αὐστριακοῦ τάγματος τοῦ Φραγκίσκου Ἰωσὴφ καὶ
ἀνωτέρου ταξιάρχου τοῦ ἰταλικοῦ τάγματος τῶν ἁγίων Μαυρικίου καὶ Λαζάρου.

— Ἡ Πρυτανεία τοῦ Πανεπιστημίου ἐξέδωκε τὰς ἑξῆς προκηρύξεις ἱστορι-
κῶν καὶ ἀρχαιολογικῶν διαγωνισμῶν·

Α'.

Τῇ συστάσει καὶ χορηγίᾳ τοῦ φιλογενοῦς κ. Εὐσταθίου Εὐγενίδου ἐπὶ τῇ ἑβδο-
μηκοστῇ πέμπτῃ ἀμφιετηρίδι τοῦ Ἐθνικοῦ Πανεπιστημίου, ἐπιθυμοῦντος νὰ συν-
τελέσῃ εἰς τὴν μελέτην καὶ τὴν γνῶσιν τῆς πατρίου ἱστορίας, προκηρύσσονται
τρεῖς ἱστορικοὶ καὶ λαογραφικοὶ διαγωνισμοὶ ὑπὸ τοὺς ἑξῆς ὅρους.

1) Προκηρύσσεται διαγωνισμὸς πρὸς συγγραφὴν Ἱστορίας καὶ Λαογραφίας τῆς
Ῥαιδεστοῦ ἐπὶ βραβείῳ χιλίων δραχμῶν.

2) Προκηρύσσεται διαγωνισμὸς πρὸς συγγραφὴν Ἱστορίας καὶ Λαογραφίας τῆς
Αἴνου ἐπὶ βραβείῳ χιλίων δραχμῶν.

3) Προκηρύσσεται διαγωνισμὸς πρὸς συγγραφὴν Ἱστορίας καὶ Λαογραφίας τῆς
Ἀδριανουπόλεως ἐπὶ βραβείῳ χιλίων δραχμῶν.

4) Οἱ συγγραφεῖς τῶν προκηρυσσομένων ἔργων θέλουσιν ἀποστείλει ταῦτα εἰς
τὸ γραφεῖον τῆς Πρυτανείας, καθαρῶς καὶ εὐαναγνώστως γεγραμμένα, ἀνωνύμως,
μετὰ συνημμένου δελτίου ἐνσφραγίστου φέροντος ἔνδοθεν μὲν τὸ ὄνομα τοῦ συγ-
γραφέως, ἔξωθεν δὲ ῥητὸν γεγραμμένον τὸ αὐτὸ καὶ ἐπὶ τοῦ χειρογράφου.

5) Τὰ χειρόγραφα τοῦ μὲν πρὸς συγγραφὴν Ἱστορίας καὶ Λαογραφίας τῆς
Ῥαιδεστοῦ διαγωνισμοῦ γίνονται δεκτὰ εἰς τὸ γραφεῖον τῆς Πρυτανείας μέχρι τῆς
31ης Ὀκτωβρίου 1913.

Τὰ τοῦ διαγωνισμοῦ πρὸς συγγραφὴν Ἱστορίας καὶ Λαογραφίας τῆς Αἴνου
γίνονται δεκτὰ εἰς το γραφεῖον τοῦ Πανεπιστημίου μέχρι τῆς 31ης Ὀκτω-
βρίου 1914.

Τὰ δὲ χειρόγραφα τοῦ διαγωνισμοῦ πρὸς συγγραφὴν Ἱστορίας καὶ Λαογρα-
φίας τῆς Ἀδριανουπόλεως γίνονται δεκτὰ εἰς τὸ γραφεῖον τῆς Πρυτανείας μέχρι
τῆς 31ης Ὀκτωβρίου 1915.

8) Τὰ χειρόγραφα ἐπ' οὐδενὶ λόγῳ ἐπιστρέφονται.

*Ἐν Ἀθήναις τῇ 29 Αὐγούστου 1912.*

***Ὁ Πρύτανις***

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΣ

B'.

Τῇ συστάσει καὶ χορηγίᾳ τῆς φιλομούσου κ. Σοφίας Σλῆμαν ἐπὶ τῇ ἑβδομηκοστῇ πέμπτῃ ἀμφιετηρίδι τοῦ Ἐθνικοῦ Πανεπιστημίου

α') Προκηρύσσεται διαγωνισμὸς πρὸς συγγραφὴν ἐπισκοπήσεως ἁπασῶν τῶν ἐν Ἑλλάδι καὶ Κρήτῃ ἀνασκαφῶν καὶ ἐρευνῶν περὶ τῆς μυκηναϊκῆς ἐποχῆς ἐν σχέσει πρὸς τὸν βίον καὶ τὸ ἔργον τοῦ Ἐρρίκου Σχλῆμαν.

β') Τὰ χειρόγραφα, γεγραμμένα καθαρῶς καὶ εὐαναγνώστως εἰς καθαρεύουσαν Ἑλληνικήν, γίνονται δεκτὰ εἰς τὸ γραφεῖον τῆς Πρυτανείας μέχρι τῆς 28 Φεβρουαρίου 1914. Ὀφείλουσι δὲ νὰ εἶνε ἀνώνυμα, συνοδευόμενα ὑπὸ συνημμένου δελτίου ἐνσφραγίστου, φέροντος ἔνδοθεν μὲν τὸ ὄνομα τοῦ συγγραφέως, ἔξωθεν δὲ ῥητὸν γεγραμμένον τὸ αὐτὸ καὶ ἐπὶ τοῦ χειρογράφου.

γ') Ἡ κρίσις ἀνατεθήσεται εἰς ἐπιτροπείαν ἐκ δύο καθηγητῶν τῆς Φιλοσοφικῆς Σχολῆς ὑπ' αὐτῆς ἐκλεγομένων καὶ ἑνὸς λογίου ἐκλεγομένου ὑπὸ τῆς χορηγοῦ ἐκ συνεννοήσεως μετὰ τῆς Συγκλήτου.

δ') Ὁ συγγραφεὺς τοῦ βραβευομένου ἔργου θέλει λάβει παρὰ τοῦ ταμείου τοῦ Ἐθνικοῦ καὶ Καποδιστριακοῦ Πανεπιστημίου ἔπαθλον δραχμῶν δισχιλίων.

ε') Ὁ βραβευόμενος συγγραφεὺς ὀφείλει νὰ παραδώσῃ τὸ ἔργον αὐτοῦ ἐν χειρογράφῳ εἰς τὴν χορηγὸν ὡς κτῆμα αὐτῆς, ἥτις θέλει ἐκδώσει αὐτὸ ἰδίᾳ δαπάνῃ.

στ') Τὰ εἰς τὸ γραφεῖον τῆς Πρυτανείας κατατιθέμενα χειρόγραφα δὲν ἐπιστρέφονται.

Ἐν Ἀθήναις τῇ 29 Αὐγούστου 1912.

Ὁ Πρύτανις

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΣ

---

***Τὸ διπλοῦν τοῦτο τεῦχος ἐξεδόθη ἐν καθυστερήσει τῇ 30 Σεπτεμβρίου 1912.***